D Quæ πρωτογεννήματα Origenes et LXX Interpretes appellant, dicuntur Hebræis בכורים eaque e frugibus integris necdum elaboratis Deo offerenda excipiebantur, neque magna copia, neque certa. Offerebantur autem festo primitiarum tempore πρὸ τῶν πάντων καρπῶν, juxta præceptum Exodi XXIII, 16, 19. Eorum vero offerendorum ritus traditur Levit. II, 14. At ἀπαρχαὶ Judæis sunt תרומות quæ ex universis frugibus jam elaboratis sepositæ, sacerdotibus tradebantur ea copia quæ amplior esset sexagesima parte, minor quadragesima. Ut ex omnibus igitur frugibus excernerentur THERUMOTH, fruges universas jam ante collectas esse oportuit, quod contingebat in festo Pentecostes, ut est Levit. XXIII, 15 ; Num. XXVIII, 26 ; Deuter. XVI, 9, 10. Sunt qui primitias novorum fructuum oblatas volunt mense TISRI, festo Scenopegiæ. Nam tum uni-

χὴν [primitias] et πρωτογέννημα [primam genituram]. Siquidem post omnes fructus dedicatur ἀπαρχὴ [primitiæ]; ante omnes vero fructus πρωτογέννημα [prima genitura]. Proinde haud equidem quis aberrabit, si ex omnibus Scripturis quæ in omnibus Ecclesiis et feruntur et creduntur esse divinæ, Moysis legem dixerit πρωτογέννημα [primam genituram], Evangelium vero ἀπαρχὴν [primitias], quandoquidem post omnes prophetarum fructus qui fuerunt usque ad Dominum Jesum, perfectus ille sermo germinavit.

5. Quod si propter interpretationem datam τῇ ἀπαρχῇ [primitiis], reclamet aliquis dicens rursum post Evangelia circumferri etiam tum Acta, tum Epistolas apostolorum, et idcirco hoc minus verum esse quod superius de hoc vocabulo tradidimus, nempe Evangelium totius Scripturæ ἀπαρχὴν [primitias] esse; dicendum sane est eorum qui sapientes in Christo, quique ex his prædictis Epistolis utilitatem perceperunt quidem, sed tamen, quo fidem mereantur, indigent testimoniis quæ in legalibus et propheticis scriptis continentur, hanc esse mentem ut sapientiæ quidem plena et credibilia et vehementer sancita apostolica esse dicant, sed iis neutiquam consimilia: *Hæc dicit Dominus omnipotens* [25]. Et hanc ob causam inspice complectatur necne suas Epistolas Paulus cum dicit [26]: *Omnis Scriptura afflatu prodita utilis est*; et cum ait [27]: *Dico ego, non Dominus*; et illud [28]: *Sic in omnibus Ecclesiis ordino*; itemque [29]: *Qualia passus sum Antiochiæ, Iconii, Lystris*, et his similia, interdum ab ipso scripta, et juxta potestatem, non tamen secundum accuratam sinceritatem sermonum, qui sunt ex divina inspiratione. Deinde hoc etiam ostendendum est veterem Scripturam non esse Evangelium, quæ venientem non ostendit, sed prænuntiat; omnem vero novam, Evangelium esse, quæ non solum, ut in Evangelii initio scriptum est, ait: *Ecce Agnus Dei, ecce qui aufert peccata mundi* [30], verum etiam quæ varias opiniones doctrinasque continet ejus per quem Evangelium est Evangelium. Præterea, si Deus posuit in Ecclesia apostolos et prophetas, et evangelistas, pastoresque et doctores [30*], cum accurate examinaverimus quodnam sit evangelistæ officium, et invenerimus pertinere ad eum non semper enarrare quonam pacto Servator cæcum a nativitate

ἀπαρχὴ, πρὸ δὲ πάντων τὸ πρωτογέννημα. Τῶν τοίνυν φερομένων Γραφῶν καὶ ἐν πάσαις Ἐκκλησίαις Θεοῦ πεπιστευμένων εἶναι θείων οὐκ ἂν ἁμάρτοι τις λέγων πρωτογέννημα μὲν τὸν Μωϋσέως νόμον, ἀπαρχὴν δὲ τὸ Εὐαγγέλιον· μετὰ γὰρ τοὺς πάντας τῶν προφητῶν καρποὺς, τῶν μέχρι τοῦ Κυρίου Ἰησοῦ, ὁ τέλειος ἐβλάστησε λόγος.

5. Ἐὰν δέ τις ἀνθυποφέρῃ διὰ τὴν ἔννοιαν τῆς ἀναπτύξεως τῶν ἀπαρχῶν φάσκων μετὰ τὰ Εὐαγγέλια τὰς Πράξεις καὶ τὰς Ἐπιστολὰς φέρεσθαι τῶν ἀποστόλων, καὶ κατὰ τοῦτο μὴ ἂν ἔτι σώζεσθαι τὸ προαποδεδομένον περὶ ἀπαρχῆς, τὸ ἀπαρχὴν πάσης Γραφῆς εἶναι τὸ Εὐαγγέλιον· λεκτέον ἤτοι νοῦν εἶναι σοφῶν ἐν Χριστῷ, ὠφελημένων ἐν ταῖς φερομέναις Ἐπιστολαῖς, δεομένων ἵνα (19) πιστεύωνται μαρτυριῶν τῶν ἐν τοῖς νομικοῖς καὶ προφητικοῖς λόγοις κειμένων, ὥστε σοφὰ μὲν καὶ πιστὰ λέγειν καὶ σφόδρα ἐπιτεταγμένα (20) τὰ ἀποστολικὰ, οὐ μὴν παραπλήσια τῷ· *Τάδε λέγει Κύριος παντοκράτωρ*· καὶ κατὰ τοῦτο ἐπίστησον εἰ, ἐπὰν λέγῃ ὁ Παῦλος· *Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος*, ἐμπεριλαμβάνει καὶ τὰ ἑαυτοῦ γράμματα, ἢ οὐ τό· *Κἀγὼ λέγω* (21), *καὶ οὐχ ὁ Κύριος*, καὶ τό· *Ἐν πάσαις Ἐκκλησίαις διατάσσομαι*, καὶ τό· *Οἷα ἔπαθον ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις*, καὶ τὰ τούτοις παραπλήσια ἐνίοτε ὑπ' αὐτοῦ γραφέντα καὶ κατ' ἐξουσίαν, οὐ μὴν τὸ εἰλικρινὲς τῶν ἐκ θείας ἐπιπνοίας (22) λόγων· ἢ καὶ τούτῳ παραστατέον (23), ὅτι ἡ Παλαιὰ μὲν οὐκ Εὐαγγέλιον, οὐ δεικνύουσα τὸν ἐρχόμενον, ἀλλὰ προαγγέλλουσα καὶ προκηρύσσουσα· πᾶσα δὲ ἡ Καινὴ τὸ Εὐαγγέλιόν ἐστιν, οὐ μόνον ὁμοίως τῇ ἀρχῇ τοῦ Εὐαγγελίου φάσκουσα (24)· *Ἰδοὺ ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*, ἀλλὰ καὶ ποικίλας δοξολογίας περιέχουσα καὶ διδασκαλίας τοῦ δι' ὃν τὸ Εὐαγγέλιον Εὐαγγέλιόν ἐστιν (25). Ἔτι δὲ εἰ ὁ Θεὸς ἔθετο ἐν τῇ Ἐκκλησίᾳ ἀποστόλους, καὶ προφήτας, καὶ εὐαγγελιστὰς, ποιμένας τε καὶ διδασκάλους, ἐπὰν ἐξετάσωμεν τί τὸ ἔργον τοῦ εὐαγγελιστοῦ, ὅτι οὐ πάντως διηγήσασθαι τίνα τρόπον ὁ Σωτὴρ τυφλὸν ἀπὸ γενετῆς ἰάσατο, ὀδωδότα νεκρὸν ἀνέστησεν, ἤ τι τῶν παραδόξων πεποίηκεν· οὐκ ὀκνήσομεν χαρακτηριζομένου τοῦ εὐαγγελιστοῦ, καὶ ἐν προ-

[25] II Cor. vi, 18. [26] II Tim. iii, 16. [27] I Cor. vii, 12. [28] ibid. 17. [29] II Tim. iii, 11. [30] Joan. i, 29; [30*] Ephes. iv, 11.

versos fructus fuisse collectos intelligitur ex Exod. xxiii, 16, et Levit. xxiii, 39. Atqui de fructibus quoque dabantur THERUMOTH, Num. xviii, 13; Deuter. xviii, 4, et xxvi, 2. Igitur datæ illæ sunt post collectionem fructuum, hoc est mense TISRI, in festo Tabernaculorum. Atque hanc primitiarum oblationem videtur respexisse Origenes, cum ait: Μετὰ τοὺς πάντας καρποὺς ἀνεφέροντο αἱ ἀπαρχαί. Nam ante Scenopegiam universi fructus, uvæ puta et oleæ, neutiquam potuerunt esse collectæ. HUETIUS.

(19) Legendum videtur, ὠφελημένων μὲν ἐν ταῖς φερομέναις ἐπιστολαῖς, δεομένων δέ, etc.

(20) Codex Bodleianus pro ἐπιτεταγμένα habet ἐπιτετευγμένα.

(21) *Ἢ οὐ τό· Κἀγὼ λέγω*, κ. τ. λ. Sic nostri codices mss. Male autem Huetius in textu habet, ἢ οὕτω· Λέγω, etc.

(22) *Γραφέντα καὶ κατ' ἐξουσίαν, οὐ μὴν τὸ εἰλικρινὲς τῶν ἐκ θείας ἐπιπνοίας*. Hæc apud Huetium desunt, sed restituuntur ex codicibus Bodleiano et Barberino.

(23) *Τούτῳ παραστατέον*. Ita codd. Regius, Barberinus et Bodleianus. Perionius tamen legit τοῦτο, cui nos cum Tarino assentimur.

(24) *Φάσκουσα*. Codex Barberinus, φράζουσα.

(25) *Διδασκαλίας τοῦ δι' ὃν τὸ Εὐαγγέλιον Εὐαγγέλιόν ἐστιν*, κ. τ. λ. Sic recte habet codex Bodleianus, sicque legit Ferrarius; in codice Barberino pro δι' ὃν legitur δι' οὗ. Apud Huetium vox Εὐαγγέλιον semel exstat.

τρεπτικῷ λόγῳ τῷ εἰς πιστοποίησιν τῶν περὶ Ἰησοῦ A Εὐαγγέλιόν πως εἰπεῖν τὰ ὑπὸ τῶν ἀποστόλων γεγραμμένα. Ἀλλ' ὅσον ἐπὶ τῇ δευτέρᾳ ἀποδόσει τῷ ἀνθυποφέροντι διὰ τὸ μὴ ἐπιγεγράφθαι τὰς Ἐπιστολὰς Εὐαγγέλιον, ὡς οὐ καλῶς πᾶσαν τὴν καινὴν Διαθήκην Εὐαγγέλιον ἡμῶν ὀνομασάντων, λεκτέον, ὅτι πολλαχοῦ τῶν Γραφῶν δύο τινῶν ἢ πλειόνων τῷ αὐτῷ ὀνόματι ὀνομαζομένων, κυριώτερον ἐπὶ τοῦ ἑτέρου τῶν λεγομένων κεῖται τὸ ὄνομα· οἷον λέγοντος τοῦ Σωτῆρος· *Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς* (26), ὁ Ἀπόστολός φησι τετάχθαι ἐν τῇ Ἐκκλησίᾳ καὶ διδασκάλους. Οὐκ ἔσονται οὖν οὗτοι διδάσκαλοι ὅσον ἐπὶ τῇ ἀκριβείᾳ τῆς τοῦ Εὐαγγελίου (27) φωνῆς· οὕτως οὐκ ἔσται Εὐαγγέλιον τὸ κατὰ τὰς Ἐπιστολὰς πᾶν γράμμα, ὅταν παραβάλληται τῇ διηγήσει τῶν περὶ Ἰησοῦ πράξεων καὶ παθημάτων B καὶ λόγων αὐτοῦ. Πλὴν ἀπαρχὴ πάσης Γραφῆς τὸ Εὐαγγέλιον, καὶ πασῶν τῶν κατ' εὐχὴν ἡμῶν πράξεων ἐσομένων ἀπαρχὴν ποιούμεθα εἰς τὴν ἀπαρχὴν (28) τῶν Γραφῶν.

6. Ἐγὼ δ' οἶμαι, ὅτι καὶ, τεσσάρων ὄντων τῶν Εὐαγγελίων, οἱονεὶ στοιχείων τῆς πίστεως τῆς Ἐκκλησίας, ἐξ ὧν στοιχείων ὁ πᾶς συνέστηκε κόσμος, ἐν Χριστῷ καταλλαγεὶς τῷ Θεῷ, καθά φησιν ὁ Παῦλος· *Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ*, οὗ κόσμου τὴν ἁμαρτίαν ἦρεν Ἰησοῦς· περὶ γὰρ τοῦ κόσμου τῆς Ἐκκλησίας ὁ λόγος ἐστὶν ὁ γεγραμμένος· *Ἰδοὺ ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν* C *τοῦ κόσμου*, ἀπαρχὴν τῶν Εὐαγγελίων εἶναι τὸ προστεταγμένον ἡμῖν ὑπὸ σοῦ κατὰ δύναμιν ἐρευνῆσαι τὸ κατὰ Ἰωάννην· τὸν γενεαλογούμενον εἰπών (29), καὶ ἀπὸ τοῦ ἀγενεαλογήτου ἀρχόμενον· Ματθαῖος μὲν γὰρ, τοῖς προσδοκῶσι τὸ ἐξ Ἀβραὰμ καὶ Δαυῒδ Ἑβραίοις γράφων, *Βίβλος*, φησὶ, *γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυῒδ, υἱοῦ Ἀβραάμ*· καὶ Μάρκος εἰδὼς ὃ γράφει, ἀρχὴν διηγεῖται τοῦ Εὐαγγελίου, τάχα εὑρισκόντων ἡμῶν τὸ τέλος αὐτοῦ παρὰ τῷ Ἰωάννῃ ἐν ἀρχῇ Λόγον Θεὸν Λόγον. Ἀλλὰ καὶ Λουκᾶς εἰρηκὼς ἐν ἀρχῇ τῶν Πράξεων· *Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν καὶ διδάσκειν* (30), ἀλλά γε τηρεῖ τῷ ἐπὶ τὸ στῆθος ἀναπεσόντι τοῦ Ἰησοῦ D τοὺς μείζονας καὶ τελειοτέρους (31) περὶ Ἰησοῦ λόγους· οὐδεὶς γὰρ ἐκείνων ἀκρατῶς ἐφανέρωσεν αὐτοῦ τὴν θεότητα, ὡς Ἰωάννης παραστήσας αὐτὸν λέγοντα· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· Ἐγώ εἰμι ἡ ἀνάστασις· Ἐγώ εἰμι ἡ θύρα· Ἐγώ εἰμι ὁ ποι-*

A sanaverit, fetentem mortuum excitaverit, vel aliquid supra hominum opinionem fecerit; non dubitabimus affirmare aliquo modo Evangelium esse quæ scripserint apostoli, cum ad evangelistæ munus attineat, adhortatoria etiam oratione fidem iis quæ de Jesu tradita sunt, acquirere. Quantum vero attinet ad hoc quod secundo loco tradidimus, si objecerit aliquis quod minus probe nominaverimus totum Testamentum novum Evangelium, eo quod Evangelii inscriptionem non habeant Epistolæ, huic dicemus sæpe in Scripturis, cum duo vel plura eodem vocabulo nuncupantur, magis proprie uni eorum illud tribui: verbi gratia, dicente Servatore [31]: *Ne vocetis magistrum super terram*, inquit Apostolus [32] magistros in Ecclesia ordinatos fuisse. Non B erunt ergo hi magistri secundum exactam intelligentiam vocis hujus Evangelii: sic etiam non erit Evangelium, qualiscunque tandem illa fuerit Scriptura, quæ sub nomine Epistolarum fuerit, si conferatur cum Scriptura quæ actiones, passiones sermonesque Jesu contineat. Attamen totius Scripturæ primitiæ est Evangelium, actionumque omnium quæ ex animi sententia nobis cessuræ sunt, primitias facimus in primitiis Evangelii.

6. Arbitror vero ego, etiamsi quatuor sint Evangelia veluti elementa fidei Ecclesiæ, ex quibus elementis totus constat hic mundus Deo per Christum reconciliatus, sicut inquit Paulus [33], *Deus erat in Christo, mundum sibi reconcilians;* cujus mundi peccatum sustulit Jesus; de mundo enim Ecclesiæ sermo ille est scriptus [34]: **6** *Ecce Agnus Dei, qui* C *aufert peccatum mundi*, Evangeliorum primitias Evangelium esse Joannis nobis propositum, cujus sensum pro virili nostra jussi sumus abs te investigare. Idque arbitror considerans genealogiam texentem, et incipientem ab eo qui genealogia caret. Nam Matthæus quidem cum scriberet Hebræis, qui venturum ex Abrahamo et Davide exspectabant: *Liber* inquit, *generationis Jesu Christi filii David, filii Abraham* [35]. Marcus vero sciens quod scribit, initium enarrat Evangelii, fortassis quod inveniamus finem ipsius apud Joannem, qui in principio Verbum Deum fuisse inquit. Lucas etiam cum dixisset [36]: *Primum quidem sermonem feci de omnibus quæ cœpit Jesus facere et docere*, majores perfectioresque de Jesu D sermones reservat ei qui supra pectus Jesu recubuit. Nullus enim illorum adeo pure manifestavit illius divinitatem, ut Joannes quippe qui inducat illum dicentem: *Ego sum lux mundi: Ego sum via, veritas et vita: Ego sum resurrectio: Ego sum ostium: Ego sum pastor bonus* [37]; et in Apocalypsi [38]: *Ego sum A, et Ω, principium et finis, primus et no-*

[31] Matth. xxiii, 8, 9. [32] Ephes. iv, 11. [33] II Cor. v, 19. [34] Joan. i, 30. [35] Matth. i, 1. [36] Act. i, 1. [37] Joan. viii, 12; xiv, 6; xi, 25; x, 7, 9, 11. [38] Apoc. i, 8; xxii, 13.

(26) *Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς.* Locus habetur Matth xxiii, 8, ubi pro καθηγητής exemplaria quædam habent διδάσκαλος. Hunc autem versum cum sequenti confudit Origenes. Huetius.

(27) *Τοῦ Εὐαγγελίου.* Tarinus censebat legendum τοῦ διδασκάλου.

(28) *Εἰς τὴν ἀπαρχὴν*, etc. Omittendum videtur εἰς.

(29) Pro εἰπών Ferrarius legit σκοπῶν, ego vero legendum censeo εἰπόν, quod refero ad præcedens τὸ κατὰ Ἰωάννην.

(30) *Τέλος αὐτοῦ παρὰ τῷ Ἰωάννῃ.... ἤρξατο ὁ Ἰησοῦς ποιεῖν καὶ διδάσκειν.* Hæc omnia apud Huetium desiderantur, sed restituuntur partim ex codice Bodleiano, partim ex Barberino.

(31) Codex Bodleianus, τελεωτέρους.

vissimus. Audeamus igitur dicere primitias Scripturarum omnium Evangelium esse ; Evangeliorum vero primitias, Evangelium a Joanne traditum ; cujus sensum percipere nemo potest, nisi qui supra pectus Jesu recubuerit, vel acceperit a Jesu Mariam, quæ etiam ipsius mater fiat : adeo talem tantumque esse necesse est, qui Joannes alius sit futurus, ut quemadmodum Joannes, itidem etiam et iste a Jesu Jesus exsistere ostendatur. Nam si nullus est Mariæ filius, judicio eorum qui de ipsa sane senserunt, præterquam Jesus : dicitque Jesus matri : *Ecce filius tuus* [39], et non, ecce etiam hic est filius tuus : perinde est, ac si dixisset : Ecce hic est Jesus quem genuisti. Etenim quisquis perfectus est, non amplius vivit ipse, sed in ipso vivit Christus [40]. Cumque in ipso vivat Christus, dicitur de eo Mariæ : Ecce filius tuus Christus. Quid ergo attinet dicere quanta nobis opus sit mente ut in testaceis abjectæ litteræ thesauris reconditum verbum digne valeamus interpretari, præsertim cum littera passim a quibusvis legatur, verbumque per vocem sensibile audiatur ab omnibus qui **7** auditum præbent corporalem ? Qui enim accurate apprehensurus sit, vere is dicat oportet : *Nos autem Christi sensum habemus, ut sciamus quæ a Deo donata sunt nobis* [41]. Quod vero omne Testamentum Novum sit Evangelium, adduci possumus ad credendum ex his quæ Paulus dicit, quando alicubi [42] scribit : *Secundum Evangelium meum.* Inter scripta enim Pauli nullus exstat liber qui vocari Evangelium consueverit. Sed quidquid vel prædicavit vel dixit est Evangelium ; quæ vero prædicavit et dixit, hæc etiam scripsit ; ergo ex his colligitur ipsius scripta Evangelium esse. Quod si Pauli scripta sunt Evangelium, profecto idem censendum est de Petri etiam scriptis ; et ut in universum loquar, omnia quæ ipsius Christi confirmant adventum, et quæ stabiliunt præsentiam illius, quæque inducunt ipsam in animos cupientium suscipere Dei sermonem, stantem pro foribus, et pulsantem, et ingredi volentem in animas, sunt Evangelium.

7. Sed tempus jam est accuratius exquirere quid vox Evangelii significet, et quare hi libri inscriptionem hanc habeant. Est igitur Evangelium sermo qui rerum nuntium continet, quæ quod utiles sint, jure merito lætitiam pariunt auditori, simul atque ab ipso admissa fuerint quæ nuntiantur. Nec vero minus talis oratio est Evangelium, quamvis ex habitu audientis perpendatur : vel, Evangelium oratio

A *μὴν ὁ καλός*· καὶ ἐν τῇ Ἀποκαλύψει· *Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος· ὁ πρῶτος καὶ ὁ ἔσχατος.* Τολμητέον τοίνυν εἰπεῖν ἀπαρχὴν μὲν πασῶν Γραφῶν εἶναι τὰ Εὐαγγέλια, τῶν δὲ Εὐαγγελίων ἀπαρχὴν τὸ κατὰ Ἰωάννην· οὗ τὸν νοῦν οὐδεὶς δύναται λαβεῖν μὴ ἀναπεσὼν ἐπὶ τὸ στῆθος Ἰησοῦ, μηδὲ λαβὼν ἀπὸ Ἰησοῦ τὴν Μαρίαν γινομένην καὶ αὐτοῦ μητέρα· καὶ τηλικοῦτον δὲ γενέσθαι δεῖ τὸν ἐσόμενον ἄλλον Ἰωάννην, ὥστε οἱονεὶ τὸν Ἰωάννην δειχθῆναι ὄντα Ἰησοῦν ἀπὸ Ἰησοῦ. Εἰ γὰρ οὐδεὶς υἱὸς Μαρίας, κατὰ τοὺς ὑγιῶς περὶ αὐτῆς δοξάζοντας (32), ἢ Ἰησοῦς, φησὶ δὲ Ἰησοῦς τῇ μητρί· *Ἴδε ὁ υἱός σου*, καὶ οὐχί· Ἴδε καὶ οὗτος υἱός σου· ἴσον εἴρηκε τῷ· Ἴδε οὗτός ἐστιν Ἰησοῦς ὃν ἐγέννησας. Καὶ γὰρ πᾶς ὁ τετελειωμένος

B ζῇ οὐκέτι, ἀλλ' ἐν αὐτῷ ζῇ Χριστός· καὶ ἐπεὶ ζῇ ἐν αὐτῷ Χριστὸς, λέγεται περὶ αὐτοῦ τῇ Μαρίᾳ· Ἴδε ὁ υἱός σου ὁ Χριστός. Ἡλίκου τοίνυν νοῦ ἡμῖν δεῖ, ἵνα τὸν ἐν τοῖς ὀστρακίνοις τῆς εὐτελοῦς λέξεως θησαυροῖς ἐναποκείμενον λόγον (33) τοῦ ὑπὸ πάντων τῶν ἐντυγχανόντων ἀναγινωσκομένου γράμματος, καὶ ὑπὸ πάντων τῶν παρεχόντων τὰς σωματικὰς ἀκοὰς ἀκουομένου, αἰσθητοῦ διὰ φωνῆς λόγου, ἐκλαβεῖν κατ' ἀξίαν δυνηθῶμεν, τί δεῖ καὶ λέγειν ; Τὸν γὰρ μέλλοντα ταῦτα ἀκριβῶς καταλαμβάνειν μετὰ ἀληθείας εἰπεῖν δεῖ· *Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν.* Ἔστι δὲ προσαχθῆναι ἀπὸ τῶν ὑπὸ Παύλου λεγομένων περὶ τοῦ πᾶσαν τὴν Καινὴν εἶναι τὰ Εὐαγγέλια (34), ὅταν που

C γράφῃ· *Κατὰ τὸ Εὐαγγέλιόν μου*· ἐν γράμμασι γὰρ Παύλου οὐχ ἔχομεν βιβλίον Εὐαγγέλιον συνήθως καλούμενον. Ἀλλὰ πᾶν ὃ ἐκήρυσσε καὶ ἔλεγε, τὸ Εὐαγγέλιον ἦν· ἃ καὶ ἐκήρυσσε καὶ ἔλεγε, ταῦτα καὶ ἔγραφε· καὶ ἃ ἔγραφε ἄρα Εὐαγγέλιον ἦν. Εἰ δὲ τὰ Παύλου Εὐαγγέλιον ἦν, ἀκόλουθον λέγειν, ὅτι καὶ τὰ Πέτρου Εὐαγγέλιον ἦν, καὶ ἁπαξαπλῶς τὰ συνιστάντα τὴν Χριστοῦ ἐπιδημίαν, καὶ κατασκευάζοντα τὴν παρουσίαν αὐτοῦ, ἐμποιοῦντά τε αὐτὴν ταῖς ψυχαῖς τῶν βουλομένων παραδέξασθαι τὸν ἑστῶτα ἐπὶ τὴν θύραν, καὶ κρούοντα, καὶ εἰσελθεῖν βουλόμενον εἰς τὰς ψυχὰς λόγον Θεοῦ.

7. Τί δὲ βούλεται δηλοῦν ἡ Εὐαγγέλιον προσηγορία, καὶ διὰ τί ταύτην ἔχει τὴν ἐπιγραφὴν ταῦτα τὰ βιβλία, ἤδη καιρὸς ἐξετάσαι. Ἔστι τοίνυν τὸ Εὐαγ-

D γέλιον λόγος περιέχων ἀπαγγελίαν πραγμάτων κατὰ τὸ εὔλογον διὰ τὸ ὠφελεῖν εὐφραινόντων τὸν ἀκούοντα, ἐπὰν παραδέξηται τὸ ἀπαγγελλόμενον· οὐδὲν δ' ἧττον ὁ τοιοῦτος λόγος Εὐαγγέλιόν ἐστιν, ἂν καὶ (35) πρὸς τὴν σχέσιν τοῦ ἀκούοντος ἐξετάζηται· ἢ Εὐαγγέλιόν

[39] Joan. xix, 26. [40] Galat. ii, 20. [41] I Cor. ii, 12, 16. [42] Rom. ii, 16.

(32) *Κατὰ τοὺς ὑγιῶς περὶ αὐτῆς δοξάζοντας.* Tum ex hoc loco, tum ex iis quæ habet Origenes tom. xi *in Matthæum* et homilia 7 *in Lucam*, liquet ipsum pro heterodoxis habuisse eos qui perpetuam Mariæ virginitatem negabant. In eo certe errore, inquit Huetius, fuisse Tertullianus creditur, eumque duobus locis prodidisse, libro *De monogamia*, cap. 8, et lib. *De carne Christi*, cap. 7; sed obscure, nec satis aperte. At clare eum cum aliis professus est Apollinarius, teste Epiphanio, qui Antidicomarianitas eos appellabat, hæres. lxxvii, cap. 26, et hæres. lxxviii, cap. 1. Post Apollinarium eadem vesania laborarunt Eunomius, Helvidius, Jovinianus et Bonosus. Sed hanc hæresim luculento adversus Helvidium opere contrivit Hieronymus.

(33) *Λόγον.* Forte legendum νοῦν.

(34) *Τὰ Εὐαγγέλια.* Ferrarius legit τὸ Εὐαγγέλιον. Paulo post nostri codices habent : οὐχ ἔχομεν βιβλίον εὐαγγέλιον. Huetii editio omisit βιβλίον.

(35) *Ἔστιν, ἂν καί.* Hæc desunt in codice quem secutus est Huetius.

ἐστι λόγος περιέχων ἀγαθοῦ τῷ πιστεύοντι παρουσίαν ἢ λόγος ἐπαγγελλόμενος παρεῖναι τὸ ἀγαθὸν τὸ προσδοκώμενον. Πάντες δὲ οἱ (36) προειρημένοι ἡμῖν ὅροι (37) ἐφαρμόζουσι τοῖς ἐπιγραφομένοις Εὐαγγελίοις· ἕκαστον γὰρ Εὐαγγέλιον σύστημα ἀπαγγελλομένων ὠφελίμων τῷ πιστεύοντι, καὶ μὴ παρεκδεξαμένῳ, τυγχάνον ὠφέλειαν ἐμποιοῦν, κατὰ τὸ εὔλογον εὐφραίνει διδάσκον τὴν δι' ἀνθρώπους τοῦ πρωτοτόκου πάσης κτίσεως Χριστοῦ Ἰησοῦ σωτήριον αὐτοῖς ἐπιδημίαν. Ἀλλὰ καὶ ὅτι λόγος ἐστὶν ἕκαστον Εὐαγγέλιον διδάσκων τὴν τοῦ ἀγαθοῦ Πατρὸς ἐν Υἱῷ τοῖς βουλομένοις παραδέξασθαι ἐπιδημίαν, παντὶ τῷ πιστεύοντι σαφές· ὅτι δὲ καὶ ἀγαθὸν ἐπαγγέλλεται διὰ τῶν βιβλίων τούτων τὸ προσδοκηθὲν οὐκ ἀσαφές· σχεδὸν γὰρ ὁ Βαπτιστὴς Ἰωάννης τὴν παντὸς τοῦ λαοῦ λαβὼν φωνήν φησι πέμψας τῷ Ἰησοῦ· *Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;* Προσδοκώμενον γὰρ ἀγαθὸν τῷ λαῷ ὁ Χριστὸς ἦν, περὶ οὗ κηρυσσόντων τῶν προφητῶν, μέχρι καὶ τῶν τυχόντων πάντες εἰς αὐτὸν ἔσχον οἱ ὑπὸ νόμον καὶ προφήτας τὰς ἐλπίδας, ὡς μαρτυρεῖ ἡ Σαμαρεῖτις λέγουσα· *Οἶδα, ὅτι Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός· Ὅταν ἔλθῃ ἐκεῖνος, ἀπαγγελεῖ ἡμῖν ἅπαντα.* Ἀλλὰ καὶ Σίμων καὶ Κλεόπας, ὁμιλοῦντες πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τῷ Ἰησοῦ αὐτῷ τῷ Χριστῷ ἀναστάντι, οὐδέπω γινώσκοντες ἐγηγέρθαι αὐτὸν ἐκ νεκρῶν φασι· *Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; Εἰπόντος δὲ, Ποῖα; ἀποκρίνονται, Τὰ περὶ Ἰησοῦ τοῦ Ναζαρηνοῦ, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ, ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. Ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ.* Πρὸς τούτοις Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εὑρὼν τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, λέγει· *Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι, μεθερμηνευόμενον, Χριστός.* Καὶ μετ' ὀλίγα ὁ Φίλιππος, εὑρὼν τὸν Ναθαναὴλ, λέγει αὐτῷ· *Ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν τὸν Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ.*

A est, continens boni præsentiam cuicunque credenti: vel, oratio affirmans adesse bonum quod exspectabatur. Omnes autem quas prædiximus definitiones iis conveniunt quæ inscribuntur Evangelia: cum enim unumquodque Evangelium sit coacervatio nuntiorum utilium ei qui fidem adjungit, neque præter germanam scientiam intelligit, et emolumentum afferat, jure merito lætitiam parit, docens salutarem adventum ad homines, et propter homines, primogeniti omnis creaturæ, nempe Jesu Christi. Quin etiam quod Evangelium unumquodque sit oratio, docens boni Patris in Filio adventum ad volentes eum excipere, credenti cuilibet perspicuum est. Quod autem exspectatum etiam bonum per hos libros promittitur, non est obscurum: totius namque B populi fere ore loquens Baptista Joannes in legatione ad Jesum missa ait[43]: *Num tu es ille venturus, an alium exspectamus?* Exspectatum enim a populo bonum, Jesus erat; de quo prophetis annuntiantibus, et etiam e vulgo quilibet homines qui sub lege et prophetis erant, in eo spem habebant; Samaritide illa hoc testante atque dicente[44]: *Novi quod Messias venit, qui dicitur Christus. Cum ergo venerit ille, nobis nuntiabit omnia.* Quin et Simon et Cleopas, inter se sermones conferentes de omnibus quæ ipsi Jesu Christo, qui resurrexerat, accidissent, nondum ipsum e mortuis excitum fuisse scientes, inquiunt[45]: *Tu solus peregrinus es Hierosolymis, neque cognovisti quæ facta sunt illic his diebus? Cumque ille dixisset, Quæ? responderunt, De Jesu* C *Nazareno, qui fuit vir Propheta, potens opere et sermone coram Deo et toto populo: et quomodo tradiderunt eum summi sacerdotes et principes nostri in condemnationem mortis, et crucifixerunt eum. Nos autem sperabamus eum esse illum qui redempturus esset Israel.* Ad hæc Andreas, frater Simonis Petri, reperto fratre suo Simone, dicit[46]: *Invenimus Messiam quod est, si interpreteris, Christus.* Cumque paulo post Philippus reperisset Nathanaelem, dicit illi[47]: *De quo scripsit Moyses in lege, et prophetæ, invenimus Jesum filium Joseph Nazarenum.*

8. Δόξαι δ' ἂν τις ἐνίστασθαι τῷ πρώτῳ ὅρῳ, ἐπεὶ καὶ τὰ μὴ ἐπιγεγραμμένα Εὐαγγέλια ὑποπίπτει αὐτῷ· ὁ γὰρ νόμος καὶ οἱ προφῆται λόγοι πιστεύονται εἶναι περιέχοντες ἀπαγγελίαν πραγμάτων κατὰ τὸ εὔλογον διὰ τὸ ὠφελεῖν εὐφραινόντων τοὺς ἀκούοντας, ἐπὰν παραδέξωνται τὰ ἀπαγγελλόμενα. Λεχθείη δ' ἂν πρὸς τοῦτο ὅτι πρὸ τῆς Χριστοῦ ἐπιδημίας ὁ νόμος καὶ οἱ προφῆται, ἅτε μηδέπω ἐληλυθότος τοῦ τὰ ἐν αὐτοῖς μυστήρια σαφηνίζοντος, οὐκ εἶχον τὸ ἐπάγγελμα τοῦ περὶ τοῦ Εὐαγγελίου ὅρου· ὁ δὲ Σωτὴρ, ἐπιδημήσας καὶ τὸ Εὐαγγέλιον σωματοποιηθῆναι ποιήσας, τῷ Εὐαγγελίῳ

8. Quod si quis repugnare velit primæ definitio- D ni, quia cadant et alia sub eam quæ non inscribantur Evangelii titulo, dicatque legem et propheticos sermones continere nuntium rerum quæ, quod utiles sint, merito lætitiam pariunt auditori simul ac ab ipso approbatæ fuerint, respondebimus legem et propheticos sermones ante Christi adventum, quia nondum advenisset ille qui in his contenta reseraret mysteria, non habuisse ejusmodi nuntium quod Evangelii definitione continetur: Servatorem vero, ad nos cum accessisset, et ut Evangelium corpore esset præditum effecisset, perfecisse cum

[43] Matth. xi, 3. [44] Joan. iv, 25. [45] Luc. xxiv, 18, 19 et seqq. [46] Joan. i, 41. [47] Joan. i, 45.

(36) *Λόγος περιέχων ἀγαθοῦ τῷ πιστεύοντι παρουσίαν.... Πάντες δὲ οἱ.* Hæc omnia desiderantur in editione Huetii, restituuntur ex codicibus Barberino et Bodleiano.

(37) *Ὅροι.* Codex Bodleianus, λόγοι.

Evangelio, ut omnia essent instar Evangelii. Neque præter propositum exemplo uterer, qui pauca.... Quando enim.... filiis hominum divinitate sua, ablato, quod in lege et prophetis erat, velamine, Deum certis rationibus ostendit, palam oculos ponens his qui sapientiæ ejus discipuli vellent fieri, quænam vera lex Moysis contineret, quorum exemplum et umbram colebant antiqui: et quænam sit veritas rerum in historiis contentarum, quæ in figura contingebant illis, propter nos scripta, ad quos fines sæculorum **9** deducti sunt [48]. Nullus ergo ad quem Christus accesserit, vel in Hierosolymorum urbe, vel in Samaritarum monte Deum adorat; sed cum didicerit Deum spiritum esse, spiritualiter illum colens spiritu et veritate, non amplius sub figuris Patrem universorum mundique opificem adorat. Quamobrem ante illud Evangelium quod per Christi adventum est ortum, nihil rerum antiquarum Evangelium erat. Porro Evangelium, quod est Novum Testamentum, cum nos a vetustate litteræ abduxisset, spiritus novitatem nunquam senescentem, et ad Novum Testamentum proprie pertinentem, quæ in omnibus est Scripturis, luce cognitionis illustravit. Necesse autem erat, id quod efficiebat ut in Testamento Veteri putaretur Evangelium esse, præcipue Evangelium appellari.

9. Attamen non ignorandum nobis est Christi adventum, antequam corpore ad terras descenderet, intelligibilem multo ante factum fuisse perfectioribus, minimeque parvulis, quippe qui a pædagogorum curatorumque cura ac tutela liberi essent, ob oculos habentes plenitudinem eam temporis quæ mente cernebatur; ut erant illi patriarchæ, et Moyses ille tantus servus, ac reliqui prophetæ, qui Christi gloriam contemplati sunt. Cæterum ut ante corporalem et manifestum adventum ad perfectos advenerat, sic etiam post divulgatam ipsius præsentiam ad eos qui etiamnum sunt parvuli, quia sint sub curatoribus et administratoribus, ac nondum pervenerint ad temporis plenitudinem, sermones quidam præcursores Christi advenerunt, animis puerilibus accommodati, qui jure pædagogi vocentur. At vero ipse Filius, ipse glorificatus Deus Verbum nondum advenit; nimirum exspectans ut Dei homines divinitatem illius percepturi decentem apparatum faciant. Jam et hoc quoque sciamus necesse est: ut lex umbram continet futurorum bonorum, quæ declarantur ab ea lege quæ annuntiatur secundum veritatem, sic etiam Evangelium, quod vel a quibuscunque vulgaribus intelligi existimatur, umbram docet mysteriorum Christi. Atque equidem quod Joannes appellat Evangelium sempiternum, quod proprie dici posset spirituale, aperte viris cordatis et intelligentibus ob oculos ponit omnia de

A πάντα ὡσεὶ Εὐαγγέλιον πεποίηκεν· καὶ οὐκ ἂν ἀπὸ σκοποῦ χρησαίμην τῷ παραδείγματι τοῦ μικρὰ καὶ ὅτι ὅλον..... Ὅταν γὰρ. . . . . υἱοὺς (38) τῶν ἀνθρώπων τῇ θειότητι αὐτοῦ περιελὼν τὸ ἐν τῷ νόμῳ καὶ προφήταις κάλυμμα (39) πάντων τὸ Θεῖον ἀπέδειξε, φανερῶς παραστήσας τοῖς βουληθεῖσι τῆς σοφίας αὐτοῦ γενέσθαι μαθηταῖς τίνα τὰ ἀληθινὰ τοῦ Μωϋσέως νόμου, ὧν ὑποδείγματι καὶ σκιᾷ ἐλάτρευον οἱ πάλαι, καὶ τίς ἡ ἀλήθεια τῶν ἐν ταῖς ἱστορίαις πραγμάτων, ἅτινα τυπικῶς συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ δι' ἡμᾶς, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. Πᾶς οὖν ᾧ Χριστὸς ἐπιδεδήμηκεν, οὔτε ἐν Ἱεροσολύμοις οὔτε ἐν τῷ τῶν Σαμαρειτῶν ὄρει (40) προσκυνεῖ τῷ Θεῷ· ἀλλὰ μαθὼν, ὅτι πνεῦμα ὁ Θεὸς, πνευματικῶς λατρεύων αὐτῷ B πνεύματι καὶ ἀληθείᾳ, οὐκέτι δὲ τυπικῶς, προσκυνεῖ τὸν τῶν ὅλων Πατέρα καὶ δημιουργόν. Οὐκοῦν πρὸ τοῦ Εὐαγγελίου, ὃ γέγονε διὰ τὴν Χριστοῦ ἐπιδημίαν, οὐδὲν τῶν πάλαι Εὐαγγέλιον ἦν. Τὸ δὲ Εὐαγγέλιον, ὅπερ ἐστὶ Διαθήκη Καινὴ, ἀποστῆσαν ἡμᾶς παλαιότητος τοῦ γράμματος, τὴν μηδέποτε παλαιουμένην καινότητα τοῦ πνεύματος, οἰκείαν τῆς Καινῆς Διαθήκης τυγχάνουσαν, ἐν πάσαις ἀνακειμένην Γραφαῖς, τῷ φωτὶ τῆς γνώσεως ἀνέλαμψεν. Ἐχρῆν δὲ τὸ ποιητικὸν τοῦ καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ νομιζομένου Εὐαγγελίου ἐξαιρέτως καλεῖσθαι Εὐαγγέλιον.

9. Πλὴν οὐκ ἀγνοητέον Χριστοῦ ἐπιδημίαν καὶ πρὸ τῆς κατὰ σῶμα ἐπιδημίας τὴν νοητὴν γεγονέναι τοῖς τελειοτέροις καὶ οὐ νηπίοις, οὐδὲ ὑπὸ παιδαγωγοὺς C καὶ ἐπιτρόπους ἐπιτυγχάνουσιν, οἷς τὸ νοητὸν τοῦ χρόνου πλήρωμα ἐνέστη, πατριάρχαις, καὶ Μωϋσεῖ τῷ θεράποντι, καὶ τοῖς τεθεαμένοις Χριστοῦ τὴν δόξαν προφήταις. Ὥσπερ δὲ πρὸ τῆς ἐμφανοῦς καὶ κατὰ σῶμα ἐπιδημίας ἐπεδήμησε τοῖς τελείοις, οὕτω καὶ μετὰ τὴν κεκηρυγμένην παρουσίαν τοῖς ἔτι νηπίοις, ἅτε ὑπὸ ἐπιτρόπους τυγχάνουσι καὶ οἰκονόμους, καὶ μηδέπω ἐπὶ τὸ πλήρωμα τοῦ χρόνου ἐφθακόσιν, οἱ μὲν πρόδρομοι Χριστοῦ ἐπιδεδημήκασι παισὶ ψυχαῖς ἁρμόζοντες λόγοι, εὐλόγως ἂν κληθέντες παιδαγωγοί· αὐτὸς δὲ ὁ Υἱὸς ὁ δεδοξασμένος Θεὸς Λόγος οὐδέπω, περιμένων τὴν δέουσαν γενέσθαι προπαρασκευὴν τοῖς μέλλουσι χωρεῖν αὐτοῦ τὴν θεότητα ἀνθρώποις Θεοῦ. Καὶ τοῦτο δὲ εἰδέναι ἐχρῆν, ὅτι, ὥσπερ ἐστὶ νόμος σκιὰν περιέχων τῶν μελλόντων ἀγαθῶν D ὑπὸ τοῦ κατὰ ἀλήθειαν καταγγελλομένου νόμου δηλουμένων, οὕτω καὶ Εὐαγγέλιον σκιὰν μυστηρίων Χριστοῦ διδάσκει τὸ νομιζόμενον ὑπὸ πάντων τῶν ἐντυγχανόντων νοεῖσθαι. Ὃ δέ φησιν Ἰωάννης Εὐαγγέλιον αἰώνιον, οἰκείως ἂν λεχθησόμενον πνευματικὸν, σαφῶς παρίστησι τοῖς νοοῦσι τὰ πάντα ἐνώπιον περὶ αὐτοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ τὰ παριστάμενα μυστήρια ὑπὸ τῶν λόγων αὐτοῦ, τά τε πράγματα ὧν αἰνίγματα ἦσαν αἱ πράξεις αὐτοῦ. Τούτοις δὲ ἀκόλουθόν ἐστιν ἐκλαμβάνειν, ὅτι ὃν τρόπον ἐν φανερῷ

[48] I Cor. x, 11.

(38) *Καὶ οὐκ ἂν ἀπὸ σκοποῦ χρησαίμην τῷ παραδείγματι τοῦ μικρὰ καὶ ὅτι ὅλον.... Ὅταν γὰρ.... υἱούς*, etc. Hæc omnia desunt apud Huetium, sed restituuntur ex codicibus Bodleiano et Barberino, in quibus adhuc lacuna inest.

(39) Codex Bodleianus, τὸ ἐν προφήταις καὶ τοῦ νόμου κάλυμμα. Mox pro πάντων τὸ Θεῖον legendum videtur πάντως τὸ Θεῖον.

(40) *Ὄρει.* Hæc vox restituitur ex codice Barberino.

Ἰουδαῖός τίς ἐστι καὶ περιτετμημένος, οὕτω Χριστιανὸς (41) καὶ βάπτισμα. Παῦλος μὲν καὶ Πέτρος ἐν φανερῷ πρότερον ὄντες οἱ Ἰουδαῖοι, καὶ περιτετμημένοι, ὕστερον καὶ ἐν τῷ κρυπτῷ τοιοῦτοι τυγχάνειν ἀπὸ Ἰησοῦ εἰλήφασι, τὸ ἐν φανερῷ εἶναι Ἰουδαῖοι διὰ τὴν τῶν πολλῶν σωτηρίαν, κατ' οἰκονομίαν (42), οὐ μόνον λόγοις ὁμολογοῦντες, ἀλλὰ καὶ διὰ τῶν ἔργων δεικνύντες. Τὸ δ' αὐτὸ καὶ περὶ τοῦ Χριστιανισμοῦ αὐτῶν λεκτέον. Καὶ ὥσπερ οὐκ ἔστιν ὠφελῆσαι δυνατὸν Παῦλον τοὺς κατὰ σάρκα Ἰουδαίους, ἐὰν μὴ, ὅτε ὁ λόγος αἱρεῖ, περιτέμῃ τὸν Τιμόθεον, καὶ ὅτε εὔλογόν ἐστι ξυράμενον, καὶ προσφορὰν ποιήσαντα, καὶ ἁπαξαπλῶς τοῖς Ἰουδαίοις Ἰουδαῖον γενόμενον, ἵνα τοὺς Ἰουδαίους κερδήσῃ· οὕτως τὸν ἐκκείμενον εἰς πολλῶν ὠφέλειαν οὐκ ἔστι διὰ τοῦ ἐν Χριστῷ Χριστιανισμοῦ (43) μόνον δυνατὸν τοὺς στοιχειουμένους ἐν τῷ φανερῷ Χριστιανισμῷ βελτιῶσαι καὶ προαγαγεῖν ἐπὶ τὰ κρείττονα καὶ ἀνωτέρω. Διόπερ ἀναγκαῖον πνευματικῶς καὶ σωματικῶς Χριστιανίζειν, καὶ ὅπου μὲν χρὴ τὸ σωματικὸν κηρύσσειν Εὐαγγέλιον, φάσκοντα μηδὲν εἶναι (44) τοῖς σαρκίνοις ἢ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον, τοῦτο ποιητέον· ἐπὰν δὲ εὑρεθῶσι κατηρτισμένοι τῷ πνεύματι (45), καὶ καρποφοροῦντες ἐν αὐτῷ, ἐρῶντές τε τῆς οὐρανίου σοφίας, μεταδοτέον αὐτοῖς τοῦ λόγου ἐπανελθόντος ἀπὸ τοῦ σεσαρκῶσθαι, ἐφ' ὃ ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.

A ipso Filio Dei, tum mysteria ab ipsius sermonibus exhibita, tum res quarum ænigmata ipsius actiones erant. His consequens est exponere ut in manifesto Judæus quis est, et circumcisus, sic Christianum esse et baptisma. Quin **10** etiam Paulus quidem et Petrus, qui in manifesto Judæi antea erant et circumcisi, postea tantum in occulto, tales ut essent, a Jesu acceperunt, cum non alia de causa etiam se in manifesto Judæos esse quam propter multorum salutem et secundum œconomiam, non solum verbis faterentur, verum etiam factis declararent. Id quod etiam de eorum Christianismo censendum est. Et quemadmodum Judæis secundum carnem adjumento esse non potest Paulus, nisi quando postulat ratio, circumcidat Timotheum, et quando consentaneum est tondeatur, oblationem offerat, et, ut in universum dicam, Judæis Judæus efficiatur ut Judæos lucrifaciat : ita fieri nequit ut is qui multorum utilitati expositus est, evehat ad præstantiora, et in sublime, melioresque reddat per Christianismi in occulto exsistentis legem eos qui exteriorem Christianismum sequuntur. Hanc ob causam, tum spiritu, tum corpore Christiani ut simus necesse est, et quando corporale Evangelium prædicandum est, dicendo carnalibus nihil eos scire nisi Jesum Christum, et hunc crucifixum, hoc faciendum est. Cum autem inventi fuerint elevati spiritu, et in ipso fructificantes, amantesque sapientiæ cœlestis, hi participes efficiendi sunt verbi [et Filii Dei] regressi post incarnationem ad id quod erat in principio apud Deum.

B

10. Ταῦτα δὲ ἐξετάζοντες περὶ τοῦ Εὐαγγελίου οὐ μάτην εἰρηκέναι ἡγούμεθα, οἱονεὶ αἰσθητὸν Εὐαγγέλιον νοητοῦ καὶ πνευματικοῦ τῇ ἐπινοίᾳ διακρίνοντες· καὶ γὰρ νῦν πρόκειται τὸ αἰσθητὸν Εὐαγγέλιον μεταλαβεῖν εἰς πνευματικόν. Τίς γὰρ ἡ διήγησις τοῦ αἰσθητοῦ εἰ μὴ μεταλαμβάνοιτο εἰς πνευματικόν; Ἤτοι οὐδεμία ἢ ὀλίγη καὶ τῶν τυχόντων ἀπὸ τῆς λέξεως αὐτοὺς πεπεικότων λαμβάνειν τὰ δηλούμενα. Ἀλλὰ πᾶς ἀγὼν ἡμῖν ἐνέστηκε πειρωμένοις εἰς τὰ βάθη τοῦ εὐαγγελικοῦ νοῦ φθάσαι καὶ ἐρευνῆσαι τὴν ἐν αὐτῷ γυμνὴν τύπων ἀλήθειαν. Τῶν δὴ εὐαγγελιζομένων ἐν ἀγαθῶν ἀπαγγελίᾳ νοουμένων, οἱ μὲν ἀπόστολοι τὸν Ἰησοῦν εὐαγγελίζονται· λέγονται μέντοι ὡς ἀγαθὸν καὶ τὴν ἀνάστασιν εὐαγγελίζεσθαι, καὶ αὐτήν πως οὖσαν Ἰησοῦν (46)· Ἰησοῦς γάρ φησιν· *Ἐγώ εἰμι ἡ ἀνάστασις*· Ἰησοῦς δὲ τὰ τοῖς ἁγίοις ἀποκείμενα εὐαγγελίζεται τοῖς πτωχοῖς, παρακαλῶν αὐτοὺς ἐπὶ τὰς θείας ἐπαγγελίας. Καὶ μαρτυροῦσιν αἱ θεῖαι Γραφαὶ τοῖς ὑπὸ τῶν ἀποστόλων εὐαγγελισμοῖς, καὶ τῷ ὑπὸ τοῦ Σωτῆρος ἡμῶν (47)· ὁ μὲν

C 10. Cæterum hæc haud frustra nos disseruisse existimamus, Evangelii sensum accurate investigantes, et Evangelium sensibile ab Evangelio intelligibili separantes. Etenim nunc nobis propositum est ut Evangelium sensibile transmutemus in intelligibile et spirituale; alioqui quæ enarratio erit Evangelii sensibilis, nisi accommodetur ad intelligibile et spirituale? nulla sane vel exigua, eaque vulgarium qui ex verbis ipsis vim eorum quæ declarantur percipere sibi persuadent. Verum tota contentio nostra eo nobis dirigenda est, ut pertingere conemur profunditatem sensus evangelici, accuratius indagantes veritatem in ipso figuris nudam. Atque equidem si considerentur ea quæ annuntiantur in bonorum promissione : apostoli quidem Jesum prædicant; dicuntur quidem, ceu bonum, resurrectionem etiam annuntiare, quæ ipsa aliquo modo est Jesus, dicente Jesu [44] : *Ego sum resurrectio*. Jesus vero quæ sanctis reposita sunt evangelizat pauperibus, cohortans eos ad divina pro-

D

[44] Joan. xi, 25.

(41) *Ἐν φανερῷ Ἰουδαῖός τίς ἐστι καὶ περιτετμημένος, οὕτω Χριστιανός*. Hæc desunt apud Huetium, sed restituuntur e codd. Bodleiano et Barberino.

(42) *Κατ' οἰκονομίαν*. Ferrarius vertit, *propter ædificationem*; legebat κατ' οἰκοδομίαν. Sed in nostris codicibus legitur κατ' οἰκονομίαν.

(43) *Τοῦ ἐν Χριστῷ Χριστιανισμοῦ*. Omnino legendum τοῦ ἐν κρυπτῷ Χριστιανισμοῦ.

(44) *Εἶναι*. Ferrarius legebat εἰδέναι· quæ lectio melior videtur.

(45) *Κατηρτισμένοι τῷ πνεύματι*. Ferrarius legebat κατηρμένοι, *elevati*.

(46) *Καὶ αὐτήν πως οὖσαν Ἰησοῦν*. Sic recte habet codex Bodleianus, nec aliter legisse videtur Ferrarius. Male in textu Huetii legitur, καὶ αὐτὴν πως οὖν Ἰησοῦν.

(47) *Καὶ τῷ ὑπὸ τοῦ Σωτῆρος ἡμῶν*. Sic habet codex Bodleianus, nec aliter legebat Ferrarius; verumtamen in codd. Regio et Barberino legitur καὶ τὸ ὑπὸ τοῦ Σωτῆρος ἡμῶν.

missa. Quibus **11** sane bonis annuntiationibus, vel apostolorum, vel Servatoris nostri divinæ quoque attestantur Scripturæ : David enim de apostolis, fortassis etiam de evangelistis ait [50] : *Dominus dabit verbum evangelizantibus virtute multa : rex virtutum dilecti ;* simul etiam docens non compositionem verborum, non prolationem vocum, non elaboratam orationis pulchritudinem ad persuadendum conducere, sed virtutis divinæ suppeditationem. Quare Paulus etiam alicubi [51] sic inquit : *Non agnoscam sermonem istorum qui sunt inflati, sed virtutem. Nec enim est in sermone regnum Dei, sed in virtute.* Et alias [52] : *Sermo meus et prædicatio mea non in persuasibilibus sapientiæ verbis, sed in demonstratione spiritus et virtutis.* Huic virtuti attestantes Simon et Cleopas dicunt [53] : *Nonne cor nostrum ardens erat in via, cum reserabat nobis Scripturas?* Verum apostoli, quia quantitas virtutis a Deo prædicantibus suppeditatæ est præstans, multam habuere virtutem juxta illud quod apud Davidem dicitur [54] : *Dominus dabit verbum evangelizantibus virtute multa.* Porro Isaias, cum diceret [55] : *Quam pulchri sunt pedes evangelizantium bona*, prædicationem intelligens apostolorum maturam, et in tempore atque opportune factam, dum in eo iter faciunt qui dixit [56] : *Ego sum via*, laudat pedes incedentes per viam Christi Jesu, ingredientesque per ostium ad Deum. Itaque bona evangelizant illi, quorum pedes sunt pulchri [bona inquam], scilicet Jesum.

11. Nec miretur quispiam si nomine bonorum numero multitudinis exposuimus annuntiari Jesum ab evangelizantibus : expositis enim rebus nomina habentibus, quibus Dei Filius nuncupatur, sciemus quomodo multa bona sit Jesus, quem annuntiant ii quorum speciosi sunt pedes. Vita bonum est unum, at Jesus est vita. Bonum alterum lux est mundi, lux vera, lux hominum. At hæc omnia dicitur esse Filius Dei. Ad hæc, præterquam quod vita et lux est, aliud etiam est bonum, juxta considerationes nostras, veritas scilicet. Rursus est aliud bonum, quod est quartum bonum, nempe via, quæ ad hæc bona nos conducat. Hæc autem omnia Servator seipsum esse docet, dicens [57] : *Ego sum via, veritas et vita.* Quomodo autem non bonum est resurgere hominem excusso pulvere et **12** mortalitate, hocque a Domino assequi secundum quod ipse Jesus est resurrectio qui etiam inquit : *Ego sum resurrectio* [58]? Quin et ostium etiam, per quod ad summam beatitudinem quis ingreditur, est bonum. At Christus inquit : *Ego sum ostium* [59]. Quid vero opus est verba facere de sapientia, *quam condidit Deus in initio viarum suarum in opera sua* [60], qua adgaudebat Pater ipsius, oblectatus in multifaria ipsius pulchritudine intelligibili, quæ solis intellectualibus oculis cernitur,

A Δαυῒδ περὶ τῶν ἀποστόλων, τάχα δὲ καὶ εὐαγγελιστῶν λέγων· *Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ· ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ·* ἅμα καὶ διδάσκων, ὅτι οὐ σύνθεσις λόγου, καὶ προφορὰ φωνῶν, καὶ ἠσκημένη καλλιλεξία ἀνύει πρὸς τὸ πείθειν, ἀλλὰ δυνάμεως θείας ἐπιχορηγία. Διόπερ καὶ ὁ Παῦλός που φησί· *Γνώσομαι οὐ τὸν λόγον τὸν πεφυσιωμένον, ἀλλὰ τὴν δύναμιν· οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει·* καὶ ἐν ἄλλοις· *Καὶ ὁ λόγος μου, καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως.* Ταύτῃ τῇ δυνάμει μαρτυροῦντες ὁ Σίμων καὶ ὁ Κλεόπας φασίν· *Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν τῇ ὁδῷ* (48), *ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς;* Οἱ δὲ
B ἀπόστολοι, ἐπεὶ καὶ ποσότης ἐστὶ δυνάμεως ἐπιχορηγουμένης ὑπὸ Θεοῦ διαφέρουσα τοῖς λέγουσιν, εἶχον κατὰ τὸ παρὰ τῷ Δαυῒδ λεγόμενον· *Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ*, πολλὴν δύναμιν. Ἡσαΐας δὲ φάσκων· *Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων ἀγαθά*, τὸ ὡραῖον καὶ ἐν καιρῷ γινόμενον τῶν ἀποστόλων ὁδευόντων τὸν εἰπόντα· *Ἐγώ εἰμι ἡ ὁδός*, κήρυγμα νοήσας, ἐπαινεῖ πόδας τοὺς διὰ τῆς νοητῆς ὁδοῦ Χριστοῦ Ἰησοῦ βαδίζοντας, διά τε τῆς θύρας εἰσιόντας πρὸς τὸν Θεόν· ἀγαθὰ δὲ εὐαγγελίζονται οὗτοι ὧν ὡραῖοί εἰσιν οἱ πόδες, τὸν Ἰησοῦν.

C 11. Καὶ μὴ θαυμάσῃ τις εἰ πληθυντικῷ ὀνόματι τῷ τῶν ἀγαθῶν τὸν Ἰησοῦν ἐξειλήφαμεν εὐαγγελίζεσθαι· ἐκλαβόντες γὰρ τὰ πράγματα καθ' ὧν τὰ ὀνόματα κεῖται ἃ ὁ Υἱὸς τοῦ Θεοῦ ὀνομάζεται, συνήσομεν πῶς πολλὰ ἀγαθά ἐστιν Ἰησοῦς, ὃν εὐαγγελίζονται οὗτοι ὧν ὡραῖοί εἰσιν οἱ πόδες· ἓν μὲν γὰρ ἀγαθὸν ζωὴ, Ἰησοῦς δὲ ζωή. Καὶ ἕτερον ἀγαθὸν φῶς τοῦ κόσμου, φῶς τυγχάνον ἀληθινὸν, καὶ φῶς τῶν ἀνθρώπων· ἅπερ πάντα ὁ Υἱὸς εἶναι λέγεται τοῦ Θεοῦ. Καὶ ἄλλο ἀγαθὸν κατ' ἐπίνοιαν παρὰ τὴν ζωὴν καὶ τὸ φῶς, ἡ ἀλήθεια. Καὶ τέταρτον παρὰ ταῦτα ἡ ἐπὶ ταύτην φέρουσα ὁδός. Ἅπερ πάντα ὁ Σωτὴρ ἡμῶν διδάσκει ἑαυτὸν εἶναι λέγων· *Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή.* Πῶς δὲ οὐκ ἀγαθὸν τὸ ἀποτιναξάμενον τὸν χοῦν καὶ τὴν νεκρότητα ἀναστῆναι τούτου
D τυγχάνοντα ἀπὸ τοῦ Κυρίου, καθὸ ἀνάστασίς ἐστιν, ὃς καί φησιν· *Ἐγώ εἰμι ἡ ἀνάστασις;* Ἀλλὰ καὶ ἡ θύρα, δι' ἧς τις εἰς τὴν ἄκραν εἰσέρχεται μακαριότητα, ἀγαθόν· ὁ δὲ Χριστός φησιν· *Ἐγώ εἰμι ἡ θύρα.* Τί δὲ δεῖ περὶ σοφίας λέγειν, *ἣν ἔκτισεν ὁ Θεὸς ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ*, ᾗ προσέχαιρεν ὁ Πατὴρ αὐτῆς, ἐνευφραινόμενος τῷ πολυποικίλῳ νοητῷ κάλλει αὐτῆς, ὑπὸ νοητῶν ὀφθαλμῶν μόνων βλεπομένῳ, καὶ εἰς ἔρωτα τὸν τὸ θεῖον κάλλος κατανοοῦντα οὐράνιον προσκαλουμένῳ; Ἀγαθὸν γὰρ ἡ σοφία τοῦ

[50] Psal. LXVII, 12, 13. [51] I Cor. IV, 19, 20. [52] I Cor. II, 4. [53] Luc. XXIV, 32. [54] Psal. LXVIII, 12. [55] Isa. LII, 7 ; Rom. x, 15. [56] Joan. XIV, 6. [57] ibid. [58] Joan. XI, 25. [59] Joan. x, 9. [60] Prov. VIII, 22.

(48) *Καιομένη ἦν ἐν τῇ ὁδῷ.* Codex Regius καιομένη ἦν ἐν ἡμῖν τῇ ὁδῷ. Legendum videtur, καιομένη ἦν ἐν ἡμῖν ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ.

Θεοῦ, ὅπερ μετὰ τῶν προειρημένων εὐαγγελίζονται ὧν ὡραῖοι οἱ πόδες. Ἀλλὰ καὶ ἡ δύναμις τοῦ Θεοῦ ἤδη ὄγδοον ἡμῖν ἀγαθὸν καταλέγεται, ἥτις ἐστὶν ὁ Χριστός. Οὐ σιωπητέον δὲ οὐδὲ τὸν μετὰ τὸν Πατέρα (49) τῶν ὅλων Θεὸν Λόγον· οὐδενὸς γὰρ ἔλαττον ἀγαθοῦ καὶ τοῦτο τὸ ἀγαθόν. Μακάριοι μὲν οὖν οἱ χωρήσαντες ταῦτα τὰ ἀγαθὰ, καὶ παραδεξάμενοι ἀπὸ τῶν ὡραίων τοὺς πόδας καὶ εὐαγγελιζομένων αὐτά. Πλὴν κἂν Κορίνθιός τις ὢν, κρίνοντος Παύλου οὐδὲν εἰδέναι παρ' αὐτῷ ἢ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον, τὸν δι' ἡμᾶς ἄνθρωπον μανθάνων παραδέξηται τὰ ἐν ἀρχῇ τῶν ἀγαθῶν (50) γίνεται ὑπὸ τοῦ ἀνθρώπου Ἰησοῦ ἄνθρωπος γινόμενος Θεοῦ, καὶ ἀπὸ τοῦ θανάτου αὐτοῦ ἀποθνήσκων τῇ ἁμαρτίᾳ· *καὶ γὰρ ἐκεῖνος, ὃ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ*· ἀπὸ δὲ τῆς ζωῆς αὐτοῦ, ἐπεὶ ὁ Ἰησοῦς ὃ ζῇ, ζῇ τῷ Θεῷ, πᾶς ὁ σύμμορφος γενόμενος τῆς ἀναστάσεως αὐτοῦ, λαμβάνει τὸ ζῆν τῷ Θεῷ. Τίς δὲ διστάξει εἰ αὐτοδικαιοσύνη ἀγαθόν ἐστι, καὶ αὐτοαγιασμὸς, καὶ αὐτοαπολύτρωσις; ἅπερ καὶ αὐτὰ οἱ Ἰησοῦν εὐαγγελιζόμενοι εὐαγγελίζονται, λέγοντες αὐτὸν γεγονέναι ἡμῖν δικαιοσύνην ἀπὸ Θεοῦ, καὶ ἁγιασμὸν, καὶ ἀπολύτρωσιν. Παρέσται δὲ ἀπὸ τούτων (51) τὰ γεγραμμένα περὶ αὐτοῦ δυσεξαρίθμητα, παριστάντα πῶς πλῆθος ἀγαθῶν ἐστιν Ἰησοῦς, ἀπὸ τῶν δυσεξαριθμήτων καὶ γεγραμμένων καταστοχάζεσθαι τῶν ὑπαρχόντων μὲν ἐν αὐτῷ, εἰς ὃν εὐδόκησεν ἅπαν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι σωματικῶς, οὐ μὴν ὑπὸ γραμμάτων κεχωρημένων (52)· καὶ τί λέγω ὑπὸ γραμμάτων; ὅτε καὶ περὶ ὅλου τοῦ κόσμου φησὶν ὁ Ἰωάννης· ὅτι, *οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία*. Ταυτὸν οὖν ἐστιν εἰπεῖν, ὅτι τὸν Σωτῆρα οἱ ἀπόστολοι εὐαγγελίζονται, καὶ τὰ ἀγαθὰ εὐαγγελίζονται· οὗτος γάρ ἐστιν ὁ ἀπὸ τοῦ ἀγαθοῦ Πατρὸς τὸ ἀγαθὰ εἶναι λαβὼν, ἵνα ἕκαστος ὃ χωρεῖ, ἢ ἃ χωρεῖ διὰ Ἰησοῦ λαβὼν, ἐν ἀγαθοῖς τυγχάνῃ. Οὐχ οἷοί τε δὲ ἦσαν οἱ ἀπόστολοι, ὧν ὡραῖοι οἱ πόδες, καὶ οἱ τούτων ζηλωταὶ εὐαγγελίζεσθαι τὰ ἀγαθὰ, μὴ πρότερον Ἰησοῦ αὐτοῖς αὐτὰ εὐαγγελισαμένου· ὡς ὁ Ἠσαΐας φησί· *Αὐτὸς ὁ λαλῶν πάρειμι, ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθὰ, ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου, λέγων· Σιὼν βασιλεύσει σου ὁ Θεός.* Τίνα γὰρ τὰ ὄρη, ἐφ' ὧν αὐτὸς ὁ λαλῶν παρεῖναι

quæque considerantem divinam pulchritudinem ad amorem cœlestem invitat? Bonum enim est Sapientia Dei. At hoc quoque, præter ea quæ supra recensuimus, ii annuntiant, quorum pedes sunt pulchri. Potentia Dei præterea octavum nobis bonum annumeratur, qui est Christus. Verum enimvero haud silentio prætereundum est illud Verbum, quod post Patrem universorum est Deus. Namque et hoc bonum nullo alio bono est inferius. Itaque beati qui admiserint hæc bona, quique perceperint ea, ab iis qui pedes habent pulchros atque qui evangelizant. Verumtamen quamvis Corinthius quispiam exstiterit, apud quem affirmet Paulus se nihil scire, nisi Jesum Christum, et hunc quidem crucifixum [61], edoctusque hunc nostri causa hominem factum attigerit initia bonorum, is ab homine Jesu fit homo Dei, et ex morte ejus moriens peccato. *Etenim quod ille mortuus fuit peccato, mortuus est semel* [62]; ex vita vero ipsius, quoniam Jesus est illud quod vivit, vivit Deo unusquisque, et conformis factus resurrectioni ejus hoc assequitur, ut vivat Deo. Quis autem ambigat an ipsa justitia, ipsa sanctificatio atque ipsa redemptio sit bonum? quæ etiam ipsa, Jesum evangelizantes, evangelizant: dicentes eum factum fuisse nobis justitiam a Deo, et sanctificationem, et redemptionem [63]. Ex his ergo licebit intelligere ea quæ de eo scripta sunt, et vix enumerari possunt, probando Jesum bonorum esse multitudinem: atque ex his quæ ægre enumerari possunt et scripta sunt, conjecturam capere de iis quæ in ipso quidem insunt, in quem beneplacitum fuit omnem plenitudinem divinitatis corporaliter **13** habitare, haud tamen a litteris continentur: quid dico a litteris, quando et de toto mundo dicat Joannes: *Nec ipse, opinor, mundus caperet eos qui scriberentur libros* [64]. Dicere ergo apostolos evangelizare Servatorem, perinde est ac si diceremus eos evangelizare bona omnia. Quamobrem hic est ille qui a bono Patre accepit ut esset tot bona: ut unusquisque eo quod capit, vel iis quæ capit, cum per Jesum ea perceperit, fruatur bonis. Haud poterant autem apostoli, quorum pulchri sunt pedes, et horum studiosi imitatores evangelizare bona, nisi Jesus antea ipsis evangelizasset; quemadmodum loquitur Isaias [65]: *Ego ipse, qui loquebar, adsum, sicut opportunitas in montibus, sicut pedes*

[61] I Cor. II, 2. [62] Rom. VI, 10. [63] I Cor. I, 30. [64] Joan. XXI, 25. [65] Isa. LII, 6, 7.

(49) *Μετὰ τὸν Πατέρα*. Ferrarius, *cum Patre*, perperam. Verte *secundum Patrem*, *post Patrem*. Unde locum hunc conciliare poteris cum illo altero tomi octavi *Contra Celsum*: Ἔστω δέ τινας, ὡς ἐν πλήθει πιστευόντων, καὶ δεχομένων διαφωνίαν, διὰ τὴν προπέτειαν ὑποτίθεσθαι τὸν Σωτῆρα εἶναι τὸν ἐπὶ πᾶσι Θεόν· ἀλλ' οὔτι γε ἡμεῖς τοιοῦτον, οἱ πειθόμενοι αὐτῷ λέγοντι· *Ὁ Πατὴρ ὁ πέμψας μείζων μού ἐστι.* Supremum universorum Deum Filium non esse affirmat, sed Patrem; Filium vero universorum quidem Deum esse, sed post Patrem. Quæ quamvis male sonent, excusari tamen possunt, si omnia Filium a Patre accepisse meminerimus, ac proinde se esse universorum Deum Patri acceptum referre. Primo ergo et per se universorum Deus est Pater, quia a se Deus est: Filius secundo et per alium est universorum Deus, quia habet a Patre sic tanquam ab origine et principio ut sit Deus: est enim Deus de Deo, ut habet Symbolum. Sed hæc alibi. HUETIUS.

(50) *Τὸν δι' ἡμᾶς ἄνθρωπον μανθάνων παραδέξηται τὰ ἐν ἀρχῇ τῶν ἀγαθῶν*, etc. Hunc locum, in editione Huetii luxatum, sic restituit codex Barberinus.

(51) *Παρέσται δὲ ἀπὸ τούτων*, etc. Locum hunc sanaveris, si legeris, καὶ ἀπὸ τῶν δυσεξαριθμήτων γεγραμμένων, quemadmodum videtur legisse Perionius cujus interpretationem Ferrarianæ hoc loco prætuli.

(52) *Κεχωρημένων*. Codd. Regius et Barberinus, κεχωρημένῳ.

evangelizantis pacem, sicut evangelizans bona, quoniam auditam salutem tuam faciam, dicens : Sion, regnabit Deus tuus. Quinam enim sunt montes in quibus ipse qui loquitur inesse se dicit, nisi hi qui nulla re inferiores sunt iis qui super terram sunt maximi et altissimi? quos quæsitos oportuit ab his qui Novi Testamenti ministri sunt idonei, scilicet ut servent præceptum dicens : *Super montem altum ascende qui evangelizas Sion; exalta cum fortitudine vocem tuam qui annuntias Hierusalem* [65]. Nec mirere si evangelizaturis bona, bona quoque Jesus evangelizet, quæ non alia sunt a se ipso, quandoquidem seipsum illis evangelizat Filius Dei qui ipsum per alios dicere nequeunt. Verumtamen qui ascendit montes, illis evangelizans bona, haud contemptui habet pauperes spiritu, a bono illo edoctus Patre, *qui solem suum exoriri facit super bonos et malos, et qui pluit super justos et injustos* [66]. Namque his quoque evangelizat, sicut ipsemet testatur, ex eo quod sumpto Isaiæ libro legit : *Spiritus Domini super me, propterea quod unxit me, ad evangelizandum pauperibus misit me, ut prædicem captivis remissionem, et cæcis visum. Complicatum enim librum cum reddidisset ministro, resedit. Cumque omnium in eum defixi essent oculi, dixit : Hodie Scriptura hæc impleta est in auribus vestris* [67].

A ὁμολογεῖ, ἢ οἱ μηδενὸς τῶν ἐπὶ γῆς ὑψηλοτάτων καὶ μεγίστων ἥττονες; οὕστινας ζητεῖσθαι δεῖ ὑπὸ τῶν ἱκανῶν διακόνων τῆς καινῆς Διαθήκης, ἵνα τηρήσωσι τὴν λέγουσαν ἐντολήν· *Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιὼν, ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ.* Οὐ θαυμαστὸν δὲ εἰ τοῖς μέλλουσιν εὐαγγελίζεσθαι τὰ ἀγαθὰ Ἰησοῦς εὐαγγελίζεται τὰ ἀγαθὰ, οὐκ ἄλλα τυγχάνοντα ἑαυτοῦ· ἑαυτὸν γὰρ εὐαγγελίζεται ὁ Υἱὸς τοῦ Θεοῦ τοῖς δυναμένοις οὐ δι' ἄλλων αὐτὸν μαθεῖν· πλὴν ὁ ἐπιβαίνων τῶν ὀρῶν καὶ εὐαγγελιζόμενος αὐτοῖς τὰ ἀγαθὰ, μαθητευθεὶς τῷ ἀγαθῷ Πατρὶ, *ἀνατέλλοντι τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχοντι ἐπὶ δικαίους καὶ ἀδίκους*, τοὺς τὴν ψυχὴν πτωχοὺς οὐχ ὑπερηφανεῖ· καὶ τού-
B τοις γὰρ εὐαγγελίζεται, ὡς αὐτὸς μαρτυρεῖ λαβὼν τὸν Ἡσαΐαν καὶ ἀναγνούς· *Τὸ πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν· πτύξας γὰρ τὸ βιβλίον καὶ ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε· καὶ πάντων ἐνατενιζόντων αὐτῷ φησι· Σήμερον πεπλήρωται ἡ Γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.*

12. Necessario etiam illud sciendum est, omnem bonam actionem erga Jesum factam hoc Evangelium continere, quomodo etiam continet mulieris illius præclaram illam actionem quæ mala opera cum admisisset, resipuissetque, boni odoris unguentum potuit, ob insignem et ex animo factam a malis mutationem, super Jesum fundere, quo facto tota domus, **14** atque adeo quotquot illic aderant, illius unguenti fragrantiam sensu perceperunt; quocirca etiam scriptum est : *Ubicunque prædicatum fuerit hoc Evangelium in omnibus gentibus, dicetur etiam istius factum ad memoriam suam* [68]. Porro perspicuum est Christum sibi accepta referre, quæcunque in discipulos suos collata fuerint. Unde beneficium accipientes ostendere volens, dantibus beneficium dixit : *Quod his fecistis, mihi fecistis* [69]. Quamobrem quævis actio bona a nobis in proximum collata, ad Evangelium refertur, quod in cœli tabulis inscribitur, agnosciturque ac legitur ab omnibus qui universorum cognitione digni habiti fuerint : cum ex adverso etiam pars Evangelii accusationem contineat eorum qui deliquerunt in Jesum. Itaque Judæ proditio populique impii vociferatio dicentis : *Tolle hunc a terra, et crucifige, crucifige eum* [70], et irrisiones eorum, a quibus est spinis coronatus, et his similia per ordinem in Evangeliis posita sunt. Quibus consequens est ut consideremus quod quisquis Jesu discipulos prodi-

12. Ἀναγκαῖον δὲ εἰδέναι, ὅτι ἐμπεριλαμβάνεται τῷ τοιούτῳ Εὐαγγελίῳ καὶ πᾶσα ἡ εἰς Ἰησοῦν γινομένη πρᾶξις ἀγαθὴ, ὥσπερ καὶ τῆς τὰ πονηρὰ ἔργα πεποιηκυίας καὶ μετανενοηκυίας εὐωδίαν δεδυνημένης (53) διὰ τὴν ἀπὸ τῶν κακῶν γνησίαν μετάστασιν
C καταχέαι τοῦ Ἰησοῦ, καὶ παντὶ τῷ οἴκῳ τὴν τοῦ μύρου πνοὴν εἰς αἴσθησιν πάντων τῶν ἐν αὐτῷ ἐμπεποιηκυίας· διὸ καὶ γέγραπται· *Ὅπου ἂν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο, ἐν πᾶσι τοῖς ἔθνεσι, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς.* Σαφὲς δὲ, ὅτι εἰς Ἰησοῦν γίνεται τὰ εἰς τοὺς μαθητευθέντας αὐτῷ ἐπιτελούμενα. Δεικνὺς γοῦν τοὺς εὖ πεπονθότας φησὶ τοῖς πεποιηκόσι· *Τούτοις ὃ ἐποιήσατε, ἐμοὶ ἐποιήσατε·* ὥστε πᾶσα πρᾶξις ἀγαθὴ ἡ εἰς τὸν πλησίον ὑφ' ἡμῶν ἐπιτελουμένη εἰς τὸ Εὐαγγέλιον ἀναφέρεται, τὸ ἐν ταῖς πλαξὶ τοῦ οὐρανοῦ γραφόμενον, καὶ ὑπὸ πάντων τῶν ἠξιωμένων τῆς τῶν ὅλων γνώσεως ἀναγινωσκόμενον· ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου μέρος ἐστὶ τοῦ Εὐαγγελίου εἰς
D κατηγορίαν τῶν πραξάντων τὰ εἰς Ἰησοῦν ἁμαρτανόμενα. Ἡ γοῦν Ἰούδα προδοσία, καὶ ἡ τοῦ ἀσεβοῦς λαοῦ καταβόησις, φάσκοντος· *Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον, καὶ σταύρου, σταύρου αὐτὸν*, καὶ οἱ ἐμπαιγμοὶ τῶν αὐτὸν τῇ ἀκάνθῃ στεφανωσάντων, καὶ τὰ τούτοις παραπλήσια ἐγκατατέτακται τοῖς Εὐαγγελίοις. Ἀκόλουθον δὲ τούτοις ἐστὶ νοῆσαι, ὅτι πᾶς ὁ τῶν μαθητῶν (54) τοῦ Ἰησοῦ προδότης, εἶναι λελόγισται τοῦ Ἰησοῦ προδότης. Πρὸς γοῦν τὸν ἔτι

[65] Isa. XL, 2. [66] Matth. V, 45. [67] Luc. IV, 18, 19, 21. [68] Matth. XXVI, 13. [69] Matth. XXV, 40. [70] Joan. XIX, 6, 15.

(53) *Ἐμπεριλαμβάνεται.... εὐωδίαν δεδυνημένης.* Ita codd. Bodleianus et Barberinus supplent lacunam quæ in editione Huetiana conspicitur.

(54) *Ὁ τῶν μαθητῶν*, etc. Deest apud Huetium τῶν μαθητῶν, sed exstat ad marginem codicis Barberini, quemadmodum Ferrarii et Perionii interpretatio et ipsa sententia postulant.

διώκοντα Σαῦλον· *Σαοὺλ, Σαοὺλ, τί με διώκεις;* A καί· *Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις.* Τινὲς δὲ (55) τὰς ἀκάνθας ἔχουσιν, αἷς τὸν Ἰησοῦν ἀτιμάζοντες στεφανοῦσιν, οἳ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου συμπνιγόμενοι (56), λαβόντες τὸν λόγον τοῦ Θεοῦ οὐ τελεσφοροῦσι. Διόπερ φυλακτέον μήποτε καὶ ἡμεῖς ὡς ταῖς ἰδίαις ἀκάνθαις στεφανοῦντες τὸν Ἰησοῦν ἀναγραφόμενοι, τοιοῦτοι ἀναγινωσκώμεθα παρὰ τοῖς τὸν ἐν πᾶσι, καὶ παρὰ πᾶσι λογικοῖς ἢ ἁγίοις Ἰησοῦν μανθάνουσι, τίνι τε τρόπῳ (57) μύρῳ ἀλείφεται, καὶ δειπνίζεται, καὶ δοξάζεται, ἢ ἐκ τῶν ἐναντίων ἀτιμάζεται, καὶ ἐμπαίζεται, καὶ τύπτεται. Ἀναγκαίως δὲ ταῦθ' ἡμῖν εἴρηται δεικνύουσιν ὡς ἀγαθαὶ ἡμῶν πράξεις, καὶ αἱ ἁμαρτίαι τῶν πταιόντων τῷ Εὐαγγελίῳ ἐγκατατάσσονται, ἤτοι εἰς ζωὴν αἰώνιον, ἢ εἰς ὀνειδισμὸν, καὶ B εἰς αἰσχύνην αἰώνιον.

derit, is reputetur Jesum prodidisse. Hinc ad Paulum adhuc se persequentem [dicit Jesus :] *Saul, Saul, cur me persequeris* [71] ? Et illud : *Ego sum Jesus* [*Nazarenus*,] *quem tu persequeris* [72]. Qui vero spinas habent, quibus spretum Jesum coronent, nisi hi qui divitiarum sollicitudinibus ac præsentis vitæ voluptatibus suffocati, ex accepto Dei verbo nullum referunt fructum ? Proinde cavendum est nobis ne quando in eorum numerum redacti ac descripti qui Jesum suis coronant spinis, hujus generis homines esse legamur ab iis qui discunt quo pacto Jesus, qui in omnibus et penes omnes rationis compotes et sanctos commoratur, tum unguento ungatur, tum convivio excipiatur, ac deinde glorificetur tum contra spernatur, irrideaturque ac vapulet. Necessario autem hæc a nobis dicta sunt demonstrantibus omnes actiones nostras bonas, et peccata delinquentium per ordinem in Evangelio esse posita, aut ad vitam æternam, aut ad opprobrium et confusionem sempiternam.

13. Εἰ δὲ ἐν ἀνθρώποις εἰσὶν οἱ τετιμημένοι διακονίᾳ τῇ τῶν εὐαγγελιστῶν, καὶ αὐτὸς ὁ Ἰησοῦς εὐαγγελίζεται ἀγαθὰ, καὶ πτωχοῖς εὐαγγελίζεται, οὐκ ἔδει τοὺς πεποιημένους ὑπὸ τοῦ Θεοῦ πνεύματα ἀγγέλους, καὶ τοὺς ὄντας πυρὸς φλόγα λειτουργοὺς τοῦ τῶν ὅλων Πατρὸς, ἐστερῆσθαι τοῦ καὶ αὐτοὺς εἶναι εὐαγγελιστάς. Διὰ τοῦτο καὶ ἄγγελος, ἐπιστὰς τοῖς ποιμέσι φησὶ, δόξαν ποιήσας περιλάμπειν αὐτούς· *Μὴ φοβεῖσθε, ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος ἐν πόλει Δαυΐδ*· ὅτε καὶ μηδέπω ἀνθρώπων συνιέντων τὸ τοῦ Εὐαγγελίου μυστήριον οἱ κρείττονες (58) αὐτῶν, οὐρανὸς τυγχάνοντες στρατεία Θεοῦ (59), αἰνοῦντες τὸν Θεὸν λέγουσι· *Δόξα ἐν* C *ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.* Καὶ ταῦτα εἰπόντες ἀπέρχονται ἀπὸ τῶν ποιμένων εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καταλιπόντες ἡμῖν νοεῖν, πῶς ἡ εὐαγγελισθεῖσα ἡμῖν διὰ τῆς γενέσεως Χριστοῦ Ἰησοῦ χαρὰ, δόξα ἐστὶν ἐν ὑψίστοις Θεῷ· τῶν ταπεινωθέντων εἰς χοῦν ἐπιστρεφόντων εἰς τὴν ἀνάπαυσιν αὐτῶν, καὶ ἐν ὑψίστοις διὰ Χριστοῦ μελλόντων δοξάζειν τὸν Θεόν. Ἀλλὰ καὶ θαυμάζουσιν οἱ ἄγγελοι τὴν ἐπὶ γῆς ἐσομένην διὰ Ἰησοῦν εἰρήνην, τοῦ πολεμικοῦ χωρίου, εἰς ὃ ἐκπεσὼν ἐκ τοῦ οὐρανοῦ ὁ Ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων, ὑπὸ Ἰησοῦ συντρίβεται (60).

13. Nec si inter homines aliqui sint evangelistarum ministerio honorati, ipseque Jesus bona evangelizet, atque etiam pauperibus evangelizet, idcirco oportuit angelos factos a Deo spiritus, exsistentes ignis flammam, et ministros **15** Patris universorum, hac laude privari, ut et ipsi non sint evangelistæ. Hanc ob causam, coram pastoribus angelus cum stetisset, eosque gloria undequaque illustrasset : *Ne terreamini*, inquit, *ecce enim evangelizo vobis gaudium magnum, quod erit omni populo : quoniam natus est vobis hodie Servator, qui est Christus Dominus, in civitate David* [73]; quando, nondum intelligentibus hominibus Evangelii mysterium, ipsis præstantiores cœlestis exercitus Dei, laudibus Deum vehentes dicant : *Gloria in altissimis Deo, et in terra pax ; in hominibus bona voluntas* [74], hisque dictis pastoribus in cœlum sese recipiunt angeli, nobis considerandum relinquentes quomodo annuntiatum nobis ex ortu Christi Jesu gaudium, gloria etiam est in altissimis Deo ; revertentibus in requiem suam, et in altissimis Deum glorificaturis per Christum iis qui humiliati fuerant in pulverem. Mirantur etiam angeli pacem per Jesum futuram in terra, quæ locus est bellis infestus, in quem delapsus e cœlo Lucifer ille qui mane oriebatur [75], a Jesu est conterendus.

14. Πρὸς τοῖς εἰρημένοις καὶ τοῦτο περὶ Εὐαγγελίου ἰστέον, ὅτι πρῶτον τῆς κεφαλῆς τοῦ ὅλου τῶν D σωζομένων σώματος Χριστοῦ Ἰησοῦ ἐστι τὸ Εὐαγγέλιον, ὥς φησιν ὁ Μάρκος· *Ἀρχὴ τοῦ Εὐαγγελίου Χριστοῦ Ἰησοῦ*· ἤδη δὲ καὶ τῶν ἀποστόλων τυγχάνει· διὸ λέγει ὁ Παῦλος· *Κατὰ τὸ Εὐαγγέλιόν*

14. Ad hæc et illud de Evangelio sciamus necesse est, Evangelium in primis esse Jesu Christi, qui est caput totius corporis eorum qui servantur, dicente Marco : *Initium Evangelii Jesu Christi* [76]: deinde etiam apostolorum : quocirca etiam Paulus inquit : *Juxta Evangelium meum* [77]. Verumtamen

[71] Act. IX, 4. [72] ibid. 5. [73] Luc. II, 10, 11. [74] Luc. II, 14. [75] Isa. XIV, 12. [76] Marc. I, 1. [77] Rom. II, 16.

(55) *Τινὲς δέ*, etc. Legebat Ferrarius τίνες δὲ, et paulo post, ἢ οἱ ὑπὸ μεριμνῶν, etc.

(56) *Συμπνιγόμενοι.* Forte legendum συμπνιγόμενον.

(57) *Τίνι τε τρόπῳ.* Codex Bodleianus, τίνα δὲ τρόπον.

(58) *Συνιέντων τὸ τοῦ Εὐαγγελίου μυστήριον οἱ κρείττονες.* Hæc desunt in editione Huetii, sed restituuntur e codd. Bodleiano et Barberino.

(59) *Οὐρανὸς τυγχάνοντες στρατεία Θεοῦ.* Legendum videtur, οὐράνιος τυγχάνοντες στρατεία Θεοῦ, vel οὐρανὸς τυγχάνοντες καὶ στρατεία Θεοῦ.

(60) *Συντρίβεται.* Ferrarius legit συντριβήσεται.

vel totum Vetus Instrumentum, cujus figura est Joannes, initium est Evangelii ; nam Evangelium eo quod magnitudinem habeat, initium quoque, et quæ sequuntur, media scilicet et fines habet : vel propter conjunctionem Novi Instrumenti ad Vetus, fines Veteris Instrumenti, quos Joannes exhibuit, initium sunt Evangelii, dicente Marco : *Initium Evangelii Jesu Christi, sicut scriptum est in Isaia propheta : Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam. Vox clamantis in deserto : Parate viam Domini, rectas facite semitas ejus* [78]. Unde subit mihi admirari quomodo qui ab Ecclesiæ decretis dissentiunt, duorum Testamentorum duos asserant deos, alioqui non parum his verbis convicti. Quî fieri enim potest ut Joannes Evangelii sit initium, ut ipsi putant, ad **16** alterum pertinens Deum, Opificis mundi homo, et ignorans, ut asserunt, novam deitatem ? Cæterum non uno eoque brevi, atque inter solos pastores obeundo munere funguntur angeli evangelico ; sed in fine sublimis et volans angelus Evangelium habens evangelizabit omni populo, bono Patre non omnino deserente eos qui a se desciverint. Itaque inquit in Apocalypsi Joannes ille Zebedæi filius : *Et vidi angelum volantem per medium cœli, habentem Evangelium æternum, ut evangelizaret habitantibus super terram, et omni genti, et tribui, et linguæ, et populo, dicentem voce magna : Timete Deum, et date illi honorem, quia venit hora judicii ejus, et adorate eum, qui fecit cœlum et terram mare et fontes aquarum* [79].

15. Quia igitur juxta unam expositionem ostendimus totum Vetus Instrumentum, significatum per nomen Joannis, Evangelii initium esse, ne sine aliquo testimonio hæc dicantur, apponemus quæ referunt Acta apostolica de eunucho reginæ Æthiopum et Philippo : *Incipiens enim*, inquit, *Philippus ab Isaiæ Scriptura, quæ scilicet inquit : Tanquam ovis ad occisionem ductus est, et tanquam agnus coram tondente mutus, evangelizavit illi Dominum Jesum* [80]. Quomodo enim incipiens a propheta, evangelizat Jesum, nisi pars aliqua est Isaias principii Evangelii ? Insuper quod principio diximus, totam scilicet divinam Scripturam posse dici Evangelium, hinc confirmari potest. Namque si evangelizans evangelizat bona, omnesque qui ante adventum Christi corporalem fuere, Christum evangeli-

μου. Πλὴν ἡ ἀρχὴ τοῦ Εὐαγγελίου (61) (ἔστι γὰρ αὐτοῦ μέγεθος ἀρχὴν, καὶ τὰ ἑξῆς, καὶ μέσα, καὶ τέλη ἔχοντος), ἤτοι πᾶσά ἐστιν ἡ Παλαιὰ Διαθήκη, τύπου αὐτῆς ὄντος Ἰωάννου, ἢ διὰ τὴν συναφὴν τῆς Καινῆς πρὸς τὴν Παλαιὰν τὰ τέλη τῆς Παλαιᾶς διὰ Ἰωάννου παριστάμενα· φησὶ γὰρ ὁ αὐτὸς Μάρκος· *Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου, ὃς κατασκευάσει τὴν ὁδόν σου. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.* Ὅθεν θαυμάζειν μοι ἔπεισι (62), πῶς δυσὶ θεοῖς προσάπτουσιν ἀμφοτέρας τὰς Διαθήκας οἱ ἑτερόδοξοι, οὐχ ἔλαττον καὶ ἐκ τούτου τοῦ ῥητοῦ ἐλεγχόμενοι. Πῶς γὰρ δύναται ἀρχὴ εἶναι τοῦ Εὐαγγελίου, ὡς αὐτοὶ οἴονται, ἑτέρου τυγχάνων Θεοῦ ὁ Ἰωάννης ὁ τοῦ δημιουργοῦ ἄνθρωπος, καὶ ἀγνοῶν, ὡς νομίζουσι, τὴν καινὴν θεότητα; Οὐ μίαν δὲ καὶ βραχεῖαν ἐκπιστεύονται διακονίαν εὐαγγελικὴν ἄγγελοι, οὐδὲ μόνην τὴν πρὸς τοὺς ποιμένας γεγενημένην· ἀλλὰ γὰρ ἐπὶ τέλει μετέωρος (63) καὶ ἱπτάμενος ἄγγελος Εὐαγγέλιον ἔχων εὐαγγελιεῖται πᾶν ἔθνος, τοῦ ἀγαθοῦ Πατρὸς οὐ πάντη καταλιπόντος τοὺς ἀποπεπτωκότας αὐτοῦ. Φησὶν οὖν ἐν τῇ Ἀποκαλύψει (64) ὁ τοῦ Ζεβεδαίου Ἰωάννης· *Καὶ εἶδον ἄγγελον πετόμενον ἐν μεσουρανήματι, ἔχοντα Εὐαγγέλιον αἰώνιον, εὐαγγελίσασθαι ἐπὶ τοὺς καθημένους ἐπὶ τῆς γῆς, καὶ ἐπὶ πᾶν ἔθνος, καὶ φυλὴν* (65), *καὶ γλῶσσαν, καὶ λαὸν, λέγοντα ἐν φωνῇ μεγάλῃ· Φοβήθητε τὸν Θεὸν, καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ, καὶ προσκυνήσατε τὸν ποιήσαντα τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πηγὰς τῶν ὑδάτων.*

15. Ἐπεὶ τοίνυν ἀρχὴ (65*) τοῦ Εὐαγγελίου κατὰ μίαν ἐκδοχὴν τὴν πᾶσαν παρεστήσαμεν εἶναι (66) Παλαιὰν Διαθήκην διὰ τοῦ ὀνόματος Ἰωάννου σημαινομένην, ὑπὲρ τοῦ μὴ ἀμάρτυρον εἶναι τὴν ἐκδοχὴν ταύτην, παραθησόμεθα τὸ ἐκ *Πράξεων* περὶ τοῦ τῆς Αἰθιόπων βασιλίδος εὐνούχου εἰρημένον καὶ Φιλίππου· *Ἀρξάμενος γὰρ*, φησὶν, *ὁ Φίλιππος ἀπὸ τῆς Ἡσαΐου Γραφῆς τῆς· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐνώπιον τοῦ κείροντος ἄφωνος, εὐηγγελίσατο αὐτῷ τὸν Κύριον Ἰησοῦν.* Πῶς γὰρ ἀρχόμενος ἀπὸ τοῦ προφήτου εὐαγγελίζεται Ἰησοῦν, εἰ μὴ τῆς ἀρχῆς τοῦ Εὐαγγελίου μέρος τι ὁ Ἡσαΐας ἦν; Ἅμα δὲ καὶ τὰ ἐν πρώτοις ἡμῖν εἰρημένα περὶ τοῦ δύνασθαι Εὐαγγέλιον εἶναι πᾶσαν θείαν Γραφὴν, ἐντεῦθεν δύναται δηλοῦσθαι. Καὶ γὰρ εἰ ὁ εὐαγγελιζόμενος, ἀγαθὰ εὐαγγελίζεται, πάντες

[78] Marc. I, 1-3. [79] Apoc. XIV, 6, 7. [80] Act. VIII, 32, 35.

(61) *Πλὴν ἡ ἀρχὴ τοῦ Εὐαγγελίου*, etc. Origenes l. II *Contra Celsum* : Τί δὲ ἄτοπον τὸ ἀρχὴν τοῦ ἡμετέρου δόγματος, τουτέστι τοῦ Εὐαγγελίου εἶναι νόμον; etc.

(62) *Ὅθεν θαυμάζειν μοι ἔπεισι*, etc. Hæc sunt e Basilidianorum, Valentinianorum, Cerdonianorum, Marcionitarum aliorumque hujusmodi hæreticorum theologia.

(63) *Ἀλλὰ γὰρ ἐπὶ τέλει μετέωρος*, etc. Hic suam de pœnis damnatorum sententiam non obscure declarat Origenes.

(64) *Φησὶν οὖν ἐν τῇ Ἀποκαλύψει*, etc. Vides Apocalypsim Joanni apostolo tribui contra Marcionitarum opinionem. Ita supra *in Matth.* XX.

(65) *Φυλήν*. Sic omnino legendum, quemadmodum habent universa Apocalypseos exemplaria, pro φυλακὴν quod antea legebatur. EDIT. PATR.

(65*) Fortasse ἀρχὴν legendum.

(66) *Μίαν ἐκδοχὴν τὴν πᾶσαν παρεστήσαμεν εἶναι*. Hæc desunt in editione Huetii, sed restituuntur e codd. Bodleiano et Barberino.

δὲ οἱ πρὸ τῆς σωματικῆς Χριστοῦ ἐπιδημίας Χριστὸν A εὐαγγελίζονται ὄντα τὰ ἀγαθὰ, ὡς ἀπεδείξαμεν, πάντων πὼς εἰσιν οἱ λόγοι τοῦ Εὐαγγελίου μέρος. Ὅπερ Εὐαγγέλιον λεγόμενον λαλεῖσθαι ἐν ὅλῳ τῷ κόσμῳ ἡμεῖς ἐκλαμβάνομεν ἀπαγγέλλεσθαι ἐν ὅλῳ τῷ κόσμῳ, οὐ μόνον τῷ περιγείῳ τόπῳ, ἀλλὰ καὶ παντὶ τῷ συστήματι τῷ ἐξ οὐρανοῦ καὶ γῆς, ἢ ἐξ οὐρανῶν καὶ γῆς. Καὶ τί δεῖ ἐπὶ πλεῖον μηκύνειν τὸν περὶ τοῦ τί τὸ Εὐαγγέλιόν ἐστι λόγον; Αὐτάρκως δὲ τούτων εἰρημένων, καὶ ἐκ τούτων τῶν μὴ ἀνεντρεχῶν δυναμένων τὰ παραπλήσια συναγαγεῖν ἀπὸ τῶν Γραφῶν, καὶ βλέπειν, τίς ἡ δόξα τῶν ἐν Ἰησοῦ Χριστῷ ἀγαθῶν ὑπὸ τοῦ Εὐαγγελίου, διακονουμένου ὑπὸ ἀνθρώπων καὶ ἀγγέλων, ἐγὼ δ' οἶμαι, ὅτι καὶ ἀρχῶν, καὶ ἐξουσιῶν, καὶ θρόνων, καὶ κυριοτήτων, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, B οὐ μόνον ἐν τούτῳ τῷ αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, εἴγε καὶ ὑπ' αὐτοῦ τοῦ Χριστοῦ· αὐτοῦ που καταπαύσομεν τὰ πρὸ τῆς συναναγνώσεως τῶν γεγραμμένων. Ἤδη δὲ Θεῷ αἰτώμεθα συνεργῆσαι διὰ Χριστοῦ ἡμῖν ἐν ἁγίῳ Πνεύματι πρὸς ἀνάπτυξιν τοῦ ἐν ταῖς λέξεσιν ἐναποτεθησαυρισμένου μυστικοῦ νοῦ.

zant, qui est omnium bona, ut antea ostendimus; quodammodo sermones pars sunt Evangelii. Quod Evangelium cum divulgandum esse dicatur in toto mundo, nos per totum mundum non tantum intelligimus terrestrem hunc locum, sed etiam omnem globum ex cœlo et terra, vel ex cœlis et terra. Sed quid opus est diutius protrahere sermonem de eo quid sit Evangelium? Cum hæc autem jam satis dicta sint, atque inde similia ex Scripturis colligere possint qui minime stolidi sunt et rudes, et intueri quam gloriam bonorum **17** in Christo Jesu exhibeat Evangelium, tum ab hominibus, tum ab angelis administratum, et, ut ego arbitror, etiam a principatibus et potestatibus, a thronis et dominationibus, ac deinde ab omni nomine, quod nominatur, non solum in hoc sæculo, verum etiam in futuro, tum etiam ab ipso Christo, hoc in loco finiemus quæ narranda esse diximus ante interpretationem eorum quæ prælegguntur his scriptis. Jam vero Deum oremus, ut nobis sit adjumento per Christum in sancto Spiritu ad explicandum mysticum sensum in verbis, perinde ac thesaurum reconditum.

Explicit præfatio.

16. *Ἐν ἀρχῇ ἦν ὁ Λόγος.* Οὐ μόνον Ἕλληνες πολλά φασι σημαινόμενα εἶναι ἀπὸ τῆς *ἀρχῆς* προσηγορίας, ἀλλὰ γὰρ εἴ τις τηρῆσαι συνάγων πάντοθεν τοῦτο τὸ ὄνομα, καὶ ἀκριβῶς ἐξετάζων βούλοιτο κατανοεῖν ἐν ἑκάστῳ τόπῳ τῶν Γραφῶν ἐπὶ τίνος τέτακται, εὑρήσει καὶ κατὰ τὸν θεῖον λόγον τὸ πολύσημον τῆς φωνῆς· ἡ μὲν γάρ τις ὡς μεταβάσεως, αὕτη δέ ἐστιν ἡ ὡς ὁδοῦ καὶ μήκους, ὅπερ C δηλοῦται ἐκ τοῦ· *Ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια.* Τῆς γὰρ ἀγαθῆς ὁδοῦ μεγίστης τυγχανούσης, κατὰ μὲν τὰ πρῶτα νοητέον εἶναι (67) τὸ πρακτικὸν, ὅπερ παρίσταται διὰ τοῦ, *ποιεῖν τὰ δίκαια*· κατὰ δὲ τὰ ἑξῆς τὸ θεωρητικὸν, εἰς ὃ καταλήγειν οἶμαι καὶ τὸ τέλος αὐτῆς ἐν τῇ λεγομένῃ ἀποκαταστάσει, διὰ τὸ μηδένα καταλείπεσθαι τότε ἐχθρὸν, εἴγε ἀληθὲς τό· *Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἕως ἂν θῇ τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ, ἔσχατος δὲ ἐχθρὸς καταργεῖται ὁ θάνατος.* Τότε γὰρ (68) μία πρᾶξις ἔσται τῶν πρὸς Θεὸν διὰ τὸν πρὸς αὐτὸν Λόγον φθασάντων, ἡ τοῦ κατανοεῖν τὸν Θεόν· ἵνα γένωνται οὕτω, ἐν τῇ γνώσει τοῦ Πατρὸς μορφωθέντες πάντες ἀκριβῶς Υἱὸς, ὡς νῦν μόνος ὁ Υἱὸς D ἔγνωκε τὸν Πατέρα. Εἰ γὰρ ἐπιμελῶς τις ἐξετάζοι πότε γνώσονται, οἷς ἀποκαλύπτει ὁ ἐγνωκὼς τὸν Πατέρα, καὶ βλέπει τὸ νῦν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι τὸν βλέποντα βλέπειν, οὐδέπω ἐγνωκότα καθὼς δεῖ γνῶναι, οὐκ ἂν ἁμάρτοι λέγων μηδένα ἐγνωκέναι, κἂν ἀπόστολος, κἂν προφήτης τις ᾖ, τὸν Πατέρα (69), ἀλλ' ὅταν γένωνται ἓν, ὡς Υἱὸς καὶ Πατὴρ ἓν

16. *In principio erat Verbum* [81]. Hanc vocem, *principii*, multa significare, non tantum gentiles fatentur, sed etiam si quis observare atque intelligere voluerit, undique colligens hoc nomen, et accurate exquirens, qua de re in singulis Scripturarum locis positum sit, inveniet multiplicem vocis hujus significationem in divinis sermonibus esse. Est namque principium aliud transitus quod ad viam pertinet et longitudinem, ut hæc verba declarant: *Viæ bonæ principium est facere justa* [82]. Cum enim bona via sit longissima, ad eam in primis pertinere eam philosophiæ partem censendum est, quæ in rerum actione versatur; quod ostenditur ex illis verbis, *facere justa*, cum quod reliquum est viæ, id totum ad eam vim spectet quæ sita est in rerum contemplatione, in quam etiam ipsius finem desiturum opinor, simul atque advenerit restitutio quam vocant: eo quod tum temporis ne unus quidem relinquendus sit inimicus, si quidem verum est illud: *Oportet enim eum regnare, donec posuerit omnes inimicos sub pedes suos, et novissimus hostis aboleatur mors* [83]. Tum enim cognoscendi Deum una erit actio eorum qui ad Deum pervenerint, duce eo Verbo quod est apud Deum: ut sic sint in cognitione Patris formati omnes accurate Filius, ut nunc solus Filius novit Patrem. Nam si diligenter quis examinet, quando Patrem agnoscent hi quibus revelat qui Patrem novit, et consideret videntem nunc per speculum et in ænigmate, videre

[81] Joan. I, 1. [82] Prov. XVI, 5. [83] I Cor. XV, 25, 26.

(67) *Εἶναι.* Exstat in codicibus Barberino et Bodleiano, deest vero in editione Huetii.

(68) *Τότε ἐχθρὸν, εἴγε ἀληθὲς τό· Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἕως ἂν θῇ τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ, ἔσχατος δὲ ἐχθρὸς καταργεῖται ὁ θάνατος. Τότε γάρ.* Sic codices Barberinus et Bodleianus restituunt quæ desunt in editione Huetii.

(69) *Κἂν προφήτης τις ᾖ, τὸν Πατέρα.* Sic recte habet codex Bodleianus; et ita legerunt Ferrarius et Perionius; male autem in codd. Regio et Barberino legitur, κἂν προφήτης, ἢ τὸν Πατέρα.

nondum cognoscentem, quemadmodum opus est nosse, haud aberrabit, si dixerit neminem novisse Patrem, etiamsi apostolus, etiamsi propheta quis fuerit, sed tum [Patrem ab his cognoscendum esse] cum unum erunt, sicut Filius et Pater unum sunt. Quod si quis putet nos a re digressos fuisse, quia hæc disseruimus, unam principii significationem explanantes, sciat hic hanc digressionem ad rem de qua agitur et utilem et necessariam fuisse.

A εἰσιν. Εἰ καὶ δόξει τις ἡμᾶς παρεκβεβηκέναι ἓν σημαινόμενον τῆς ἀρχῆς σαφηνίζοντας καὶ ταῦτα εἰρηκότας, δεικτέον, ὅτι καὶ παρέκβασις πρὸς τὸ προκείμενον ἀναγκαία καὶ χρήσιμος ἦν· εἰ γὰρ ἀρχὴ ὡς μεταβάσεώς ἐστι καὶ ὁδοῦ καὶ μήκους, ἀρχὴ δὲ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια, ἔστιν εἰδέναι ἡ πᾶσα ὁδὸς ἀγαθὴ πῶς ἀρχὴν μὲν ἔχει τὸ ποιεῖν τὰ δίκαια, μετὰ δὲ τὴν ἀρχὴν τὴν θεωρίαν, καὶ τίνα τρόπον τὴν θεωρίαν.

18 Nam si principium, ut transitus est, et viæ et longitudinis; principiumque viæ bonæ est facere justa, sciendum est quomodo omnis via bona principium habeat facere justa, post principium vero contemplationem, et quomodo contemplationem.

17. Rursum est etiam principium aliud generationis, quod videri potest in hoc dicto : *In principio fecit Deus cœlum et terram* [84]. Sed apertius in Job significatum hoc enuntiari arbitror, his verbis : *Hoc est principium figmenti Domini factum, ut illudatur ab angelis suis* [85]. Posset enim quispiam existimare cœlum et terram principio facta fuisse ante omnia quæ sunt in mundi generatione. Sed melius est ut sententiæ Job habita ratione, cum multa sint quæ in corporibus facta fuere, primus eorum quæ sunt in corpore, factus sit ille qui appellatur draco [86], nominatus etiam alicubi magnum cete, quod vicit Dominus. Sciendumque est necessario cum sancti vitam omnis materiæ corporisque expertem in beatitudine traducerent, num is qui draco appellatur, posteaquam a vita pura excidit, dignus fuit qui ante omnia in materia et corpore ligaretur : ut propter hoc respondens Dominus per turbinem et nubes dicat : *Hoc est principium figmenti Domini, factum ut illudatur ab angelis suis* [87]; fieri enim potest ut draco non sit omnino principium figmenti Domini, sed ut multorum quæ facta sint in corpore, ut illuderentur ab angelis, sit hic draco principium, cum possint aliqui existere in corpore ; haud ita tamen. Etenim anima solis in corpore est, atque etiam universa creatura, de qua Apostolus dicit : *Tota creatura suspirat, et condolet usque in præsens* [88], et fortassis de illa est hoc : *Vanitati creatura subjecta est non volens, sed propter eum qui subjecit eam in spe* [89], ut in vanitate sint corpora, et ipsum facere corporalia, id quod necessarium est existenti in corpore. . . . . . . qui est in corpore, non lubens facit quæ sunt corporis. Hanc ob causam vanitati creatura subjecta est non volens; et qui non vult quæ sunt **19** cor-

17. Ἔστι δὲ ἀρχὴ καὶ ἡ ὡς γενέσεως, ἣ (69*) δόξαι ἂν ἐπὶ τοῦ· *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν*. Οἶμαι δὲ σαφέστερον ἐν τῷ Ἰὼβ τοῦτο καταγγέλλεσθαι τὸ σημαινόμενον κατὰ τό· *Τουτέστιν ἀρχὴ πλάσματος πεποιημένον ἐγκαταπαίζεσθαι* B *ὑπὸ τῶν ἀγγέλων αὐτοῦ*. Ὑπολάβοι γὰρ ἄν τις τῶν ἐν γενέσει τῇ τοῦ κόσμου τυγχανόντων ἐν ἀρχῇ πεποιῆσθαι τὸν οὐρανὸν καὶ τὴν γῆν. Βέλτιον δὲ, ὡς πρὸς τὸ (70) δεύτερον ῥητὸν, πολλῶν ὄντων τῶν ἐν σώματι γεγενημένων, πρῶτον τῶν ἐν σώματι τὸν καλούμενον εἶναι δράκοντα, ὀνομαζόμενον δέ που καὶ μέγα κῆτος, ὅπερ ἐχειρώσατο ὁ Κύριος. Καὶ ἀναγκαῖον (71) ἐπιστῆσαι εἰ ἄϋλον πάντη καὶ ἀσώματον ζωὴν ζώντων ἐν μακαριότητι τῶν ἁγίων, ὁ καλούμενος δράκων ἄξιος γεγένηται, ἀποπεσὼν τῆς καθαρᾶς ζωῆς, πρὸ πάντων ἐνδεθῆναι ὕλῃ καὶ σώματι, ἵνα διὰ τοῦτο χρηματίζων ὁ Κύριος διὰ λαίλαπος καὶ νεφῶν λέγῃ· *Τουτέστιν ἀρχὴ πλάσματος Κυρίου πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν* C *ἀγγέλων αὐτοῦ*. Δυνατὸν μέντοιγε τὸν δράκοντα μὴ ἁπαξαπλῶς εἶναι ἀρχὴν πλάσματος Κυρίου, ἀλλὰ, πολλῶν ἐν σώματι ἐγκαταπαίζεσθαι πεποιημένων ὑπὸ τῶν ἀγγέλων, τοῦτον ἀρχὴν τῶν τοιούτων εἶναι, δυναμένων τινῶν ὑπάρχειν ἐν σώματι· οὐχ οὕτως· καὶ γὰρ ἡ ψυχὴ τοῦ ἡλίου (72) ἐν σώματι, καὶ πᾶσα ἡ κτίσις, περὶ ἧς ὁ Ἀπόστολός φησι· *Πᾶσα ἡ κτίσις στενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν*· καὶ τάχα περὶ ἐκείνης ἐστὶ τό· *Τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα τῇ ἐλπίδι*, ἵνα ἐν ματαιότητι τὰ σώματα ᾖ, καὶ τὸ ποιεῖν τὰ σωματικά· ὅπερ ἀναγκαῖον ...... τῷ ἐν σώματι ... (73) ὑπάρχει ὁ ἐν σώματι (74) οὐχ ἑκὼν ποιεῖ τὰ τοῦ σώματος. Διὰ τοῦτο τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, καὶ ὁ οὐχ ἑκὼν ποιῶν D τὰ σώματος, ὃ ποιεῖ, ποιεῖ διὰ τὴν ἐλπίδα, ὡς εἰ λέ-

[84] Gen. I, 1. [85] Job XL, 14. [86] Job III, 8. [87] Job XL, 14. [88] Rom. VIII, 22. [89] ibid. 20.

(69*) Fortasse legendum ἣ. EDIT.

(70) *Βέλτιον δὲ, ὡς πρὸς τό*, etc. Alia proponit Origenes homil. I *in Genesim : Cum enim ea quæ facturus erat Deus, ex spiritu constarent et corpore, ista de causa in principio et ante omnia cœlum dicitur factum, id est, omnis spiritalis substantia, super quam velut in throno quodam et sede Deus requiescit.* Nec satis aliquando tempus quo creati sunt angeli cognoscere se profitetur proœm. libri *De principiis. Est etiam illud*, inquit, *in ecclesiastica prædicatione esse angelos Dei quosdam, et virtutes bonas, quæ ei ministrent ad salutem hominum consummandam; sed quando isti creati sint, et quomodo sint, non satis manifesto distinguitur.* HUETIUS.

(71) *Καὶ ἀναγκαῖον*, etc. Notandum hic angelis corpus et materiam detrahi ab Origene, quam iis in Matth. XXII circumposuit; sed hæc proponit, non asserit. ID.

(72) *Καὶ γὰρ ἡ ψυχὴ τοῦ ἡλίου*, etc. Sideribus vitam non uno loco tribuere Origenem, idemque olim multis fuisse persuasum e Pamphylo supra docuimus ad Origen. *Comment. in Matthæum* XVIII. Verterat Ferrarius *Eliæ*, sed nullo sensu. ID.

(73) *Τῇ ἐλπίδι, ἵνα ἐν ματαιότητι τὰ σώματα ᾖ, καὶ τὸ ποιεῖν τὰ σωματικά· ὅπερ ἀναγκαῖον..... τῷ ἐν σώματι.* Hæc desunt apud Huetium, sed restituuntur e codd. Barberino et Bodleiano.

(74) *Ὑπάρχει ὁ ἐν σώματι.* Legendum videtur, ὁ ὑπάρχων ἐν σώματι.

γοιμεν Παῦλον θέλειν ἐπιμένειν τῇ σαρκὶ οὐχ ἑκόντα, A ἀλλὰ διὰ τὴν ἐλπίδα. Προτιμῶντα γὰρ κατ' αὐτὸ τὸ ἀναλῦσαι *καὶ σὺν Χριστῷ εἶναι*, οὐκ ἄλογον ἦν βούλεσθαι ἐπιμένειν τῇ σαρκὶ διὰ τὴν ἑτέρων ὠφέλειαν, καὶ προκοπὴν τὴν ἐν τοῖς ἐλπιζομένοις οὐ μόνον αὐτοῦ, ἀλλὰ καὶ τῶν ὠφελουμένων ὑπ' αὐτοῦ. Κατὰ τοῦτο δὲ τὸ ὡς γενέσεως σημαινόμενον τὴν ἀρχὴν, καὶ τὸ ὑπὸ τῆς σοφίας ἐν Παροιμίαις λεγόμενον ἐκδέξασθαι δυνησόμεθα· *Ὁ Θεὸς* γὰρ, φησὶν, *ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ*. Δύναται μέντοιγε καὶ ἐπὶ τὸ πρῶτον ἀνάγεσθαι, τουτέστι τὸ ὡς ὁδοῦ διὰ τὸ λέγεσθαι· *Ὁ Θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ*. Οὐκ ἀτόπως δὲ καὶ τὸν τῶν ὅλων Θεὸν ἐρεῖ τις ἀρχὴν, σαφῶς προπίπτων, ὅτι ἀρχὴ Υἱοῦ ὁ Πατὴρ, καὶ ἀρχὴ δημιουργημάτων ὁ δημιουργὸς, καὶ ἁπαξαπλῶς ἀρχὴ τῶν ὄντων ὁ Θεός. B Παραμυθήσεται δὲ διὰ τοῦ· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, Λόγον νοῶν τὸν Υἱὸν παρὰ τὸ εἶναι ἐν τῷ Πατρὶ λεγόμενον εἶναι ἐν ἀρχῇ.

18. Τρίτον δὲ τὸ ἐξ οὗ οἴονται (75) ἐξ ὑποκειμένης ὕλης, ἀρχὴ παρὰ τοῖς (76) ἀγένητον αὐτὴν ἐπισταμένοις, ἀλλ' οὐ παρ' ἡμῖν τοῖς πειθομένοις, ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν ὁ Θεὸς, ὡς ἡ μήτηρ τῶν ἑπτὰ μαρτύρων ἐν Μακκαβαϊκοῖς, καὶ ὁ τῆς μετανοίας ἄγγελος ἐν τῷ *Ποιμένι* ἐδίδαξε.

19. Πρὸς τούτοις ἀρχὴ καὶ τὸ καθ' οἷον κατὰ τὸ εἶδος, οὕτως· εἴπερ εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου ὁ πρωτότοκος πάσης κτίσεως, ἀρχὴ αὐτοῦ ὁ Πατήρ C ἐστιν. Ὁμοίως δὲ καὶ Χριστὸς ἀρχὴ τῶν κατ' εἰκόνα γενομένων Θεοῦ. Εἰ γὰρ οἱ ἄνθρωποι κατ' εἰκόνα, ἡ εἰκὼν δὲ κατὰ τὸν Πατέρα, τὸ μὲν καθὸ τοῦ Χριστοῦ ὁ Πατὴρ ἀρχή· τὸ δὲ καθὸ τῶν ἀνθρώπων ὁ Χριστὸς, γενομένων οὐ κατὰ τὸ οὗ ἐστιν εἰκὼν, ἀλλὰ κατὰ τὴν εἰκόνα. Ἁρμόσει δὲ τὸ, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, εἰς τὸ αὐτὸ παράδειγμα.

20. Ἔστιν ἀρχὴ καὶ ὡς μαθήσεως, καθὸ τὰ στοιχεῖά φαμεν ἀρχὴν εἶναι γραμματικῆς. Κατὰ τοῦτό φησιν ὁ Ἀπόστολος, ὅτι, *Ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ*. Διττὴ δὲ ἡ ὡς μαθήσεως ἀρχὴ, ἡ D μὲν τῇ φύσει, ἡ δὲ ὡς πρὸς ἡμᾶς· ὡς εἰ λέγοιμεν ἐπὶ Χριστοῦ· φύσει μὲν αὐτοῦ ἀρχὴ ἡ θεότης· πρὸς ἡμᾶς δὲ, μὴ ἀπὸ τοῦ (77) μεγέθους αὐτοῦ δυναμένους ἄρξασθαι τῆς περὶ αὐτοῦ ἀληθείας, ἡ ἀνθρωπότης αὐτοῦ, καθὸ τοῖς νηπίοις καταγγέλλεται Ἰησοῦς Χριστὸς, καὶ οὗτος ἐσταυρωμένος· ὡς κατὰ τοῦτο εἰπεῖν ἀρχὴν εἶναι μαθήσεως τῇ μὲν φύσει Χριστὸν, καθὸ σοφία καὶ δύναμις Θεοῦ (78), πρὸς

poris, quod facit, spei gratia facit, tanquam si diceremus Paulum velle permanere in carne, non sponte, sed propter spem. Præferentem enim per se *resolvi, et cum Christo esse* [89], nihil est absurdi velle permanere in carne propter aliorum utilitatem, et profectum in rebus, non tantum quas ipse sperat, sed etiam quas sperent hi quibus est adjumento. Jam juxta hoc significatum, quo dicimus principium generationis, intelligere poterimus etiam illud Proverbiorum: *Deus creavit me principium viarum suarum, ad opera sua* [91], quod tamen potest ad primum significatum viæ referri, eo quod dicatur: *Creavit me Deus principium viarum suarum*. Nec absurde universorum Deum dixerit quispiam principium, palam eo procidens, ut Filii principium sit Pater, et principium creaturarum Creator, atque generatim entium principium sit Deus: confirmabit hoc: *In principio erat Verbum* [92]. Verbum intelligens Filium, qui in principio esse dicitur, quia sit in Patre.

18. Tertio illud ex quo, unde tanquam ex præexsistenti materia oriantur alia, principium existimant illi, qui materiam ingenitam astruunt. Secus vero apud nos est, qui credimus ex non entibus Deum entia fecisse, ut mater illa septem martyrum in Maccabæorum gestis [93], et pœnitentiæ angelus in *Pastore* docuit.

19. Ad hæc principium etiam est veluti secundum formam, hoc pacto: si primogenitus omnis creaturæ est imago Dei invisibilis, principium ipsius est Pater; similiter etiam Christus est principium eorum qui facti sunt secundum imaginem Dei. Nam si homines sunt secundum imaginem, imago vero secundum Patrem, juxta hoc quidem Pater principium est Filii; juxta illud vero, hominum principium est Christus, qui facti sunt non secundum id cujus est imago, sed secundum imaginem ipsius. Congruet autem ad idem exemplum contextus hic: *In principio erat Verbum*.

20. Est etiam principium disciplinæ, juxta quam intelligentiam dicimus elementa principium esse grammatices. Ob hoc dicit Apostolus: *Cum deberetis esse magistri propter tempus, rursum opus habetis ut doceamini quæ sint elementa principii sermonum Dei* [94]. Sed duplex est principium disciplinæ, alterum natura, alterum respectu nostri: ut si dicamus de Christo quod natura principium ipsius sit divinitas; quoad nos vero, qui non valemus ex magnitudine **20** ejus veritatem de ipso assequi, humanitas, in quantum parvulis prædicatur Jesus Christus, et hic crucifixus. Quare hac ratione Christum dicimus natura principium esse disciplinæ, secundum quod Dei sapientia et Dei potentia

[89] Phillip. I, 23. [91] Prov. VIII, 22. [92] Joan. I, 1. [93] Mach. VII, 28. [94] Hebr. V, 12.

(75) *Οἴονται*. Legendum videtur οἷόν τε.

(76) *Παρὰ τοῖς*, etc. Marcionitis.

(77) *Πρὸς ἡμᾶς δὲ, μὴ ἀπὸ τοῦ*, etc. Sic recte hunc locum restituit codex Bodleianus; male apud Huetium legitur πρὸς ἡμᾶς δὲ, ἡ ἀπὸ τοῦ.

(78) *Ἐσταυρωμένος· ὡς κατὰ τοῦτο εἰπεῖν ἀρχὴν εἶναι μαθήσεως τῇ μὲν φύσει Χριστὸν, καθὸ σοφία καὶ δύναμις Θεοῦ*. Hæc omnia desunt apud Huetium, sed restituuntur e codd. Bodleiano et Barberino.

est : quoad nos vero Verbum caro factum est, ut habitaret in nobis, qui hoc modo tantum initio eum capere valebamus. Ac fortassis ob hanc causam non modo primogenitus est omnis creaturæ, sed etiam interpretatur *homo* Adam ; quod autem Adam est dicit Paulus his verbis : *Ultimus Adam in spiritum vivificantem* [95].

21. Præterea dicitur etiam principium de actione, in qua actione inest finis quidam post principium. Et observa an sapientia principium actionum Dei exsistens hoc modo intelligi possit esse principium.

22. Jam cum tot nobis in præsentia succurrant principii significata, quærimus de quo intelligi oporteat illud : *In principio erat Verbum* [96]. Perspicuumque est hoc principium sumi non posse de principio transitus, aut viæ et longitudinis ; liquet autem quod neque de principio generationis. Verumtamen fieri potest ut illud accipias tanquam principium, a quo, quod est faciens, quandoquidem *mandavit Deus, et creata sunt* [97]. Creator enim aliquo modo est Christus, cui dixit Pater : *Fiat lux* [98], et, *Fiat firmamentum* [99]. Creatorque est Christus, tanquam principium, in quantum sapientia est ; idcirco dictus principium, quia sapientia sit, dicente per Salomonem Sapientia : *Deus creavit me principium viarum suarum, ad opera ejus* [1], ut sit in principio Verbum, hoc est in sapientia : secundum quidem collectionem contemplationis et intelligentiarum de rebus universis, considerata sapientia ; secundum vero rerum contemplatarum communionem, ad ea quæ sunt rationis capacia, considerato Verbo. Nec mirum si, ut prædiximus, multa bona exsistens Servator in se contineat, quæ uno et altero, item et tertio considerentur modo. Cum enim protulerit Joannes de Verbo loquens : *Quod factum est, in ipso vita erat* [2], ostendit factam fuisse vitam in Verbo. Neque vero Verbum hoc aliud est a Christo, Deus exsistens, et Verbum apud Patrem, per quod facta sunt omnia ; neque vita alia est a Dei Filio, qui inquit : *Ego sum via, veritas et vita* [3]. Unde non secus atque vita facta fuit in Verbo, sic Verbum erat in principio. Proinde inspice an juxta hoc
21 significatum possimus intelligere hoc dictum : *In principio erat Verbum* [4] [hoc est Λόγος, quæ ratio etiam dicitur] : ut secundum sapientiam et secundum figuras collectionis intelligentiarum, quæ sunt in ipsa, fiant omnia. Opinor enim, sicut domus et navis fabricatur vel ædificatur juxta figuras et formas mentibus eorum qui structuræ præsident

A ἡμᾶς δὲ ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα σκηνώσῃ ἐν ἡμῖν, οὕτω μόνον πρῶτον αὐτὸν χωρῆσαι δυναμένοις. Καὶ τάχα διὰ τοῦτο οὐ μόνον πρωτότοκός ἐστι πάσης κτίσεως, ἀλλὰ καὶ Ἀδὰμ ἑρμηνεύεται *ἄνθρωπος*. Ὅτι δὲ Ἀδάμ ἐστι, φησὶν ὁ Παῦλος· *Ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν*.

21. Ἔστι δὲ ἀρχὴ καὶ ὡς ἡ πράξεως, ἐν ᾗ πράξει ἔστι τι τέλος μετὰ τὴν ἀρχήν. Καὶ ἐπίστησον εἰ ἡ σοφία, ἀρχὴ τῶν πράξεων οὖσα τοῦ Θεοῦ, οὕτω δύναται νοεῖσθαι ἀρχή.

22. Τοσούτων σημαινομένων ἐπὶ τοῦ παρόντος ἡμῖν ὑποπεσόντων περὶ ἀρχῆς, ζητοῦμεν ἐπὶ τίνος δεῖ λαμβάνειν τό· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*. Καὶ σαφὲς, ὅτι οὐκ ἐπὶ τοῦ ὡς μεταβάσεως, ἢ ὡς ὁδοῦ καὶ
B μήκους. Οὐκ ἄδηλον δὲ, ὅτι οὐδὲ ἐπὶ τοῦ ὡς γενέσεως. Πλὴν δυνατὸν ὡς τὸ ὑφ' οὗ, ὅπερ ἐστὶ ποιοῦν, εἴ γε *ἐνετείλατο ὁ Θεὸς, καὶ ἐκτίσθησαν*· δημιουργὸς γάρ πως ὁ Χριστός ἐστιν, ᾧ λέγει ὁ Πατήρ· *Γενηθήτω φῶς*, καὶ, *Γενηθήτω στερέωμα*. Δημιουργὸς δὲ ὁ Χριστὸς ὡς ἀρχὴ (79), καθὸ σοφία ἐστὶ, τῷ σοφία εἶναι καλούμενος ἀρχή· ἡ γὰρ σοφία παρὰ τῷ Σολομῶντί φησιν· *Ὁ Θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ*, ἵνα ἐν ἀρχῇ ᾖ ὁ Λόγος, ἐν τῇ σοφίᾳ· κατὰ μὲν τὴν σύστασιν τῆς περὶ τῶν ὅλων θεωρίας καὶ νοημάτων, τῆς σοφίας νοουμένης, κατὰ δὲ τὴν πρὸς τὰ λογικὰ κοινωνίαν τῶν τεθεωρημένων (80), τοῦ Λόγου λαμβανομένου. Καὶ οὐ θαυμαστὸν εἰ, ὡς προειρήκαμεν, πολλὰ ὢν ἀγαθὰ ὁ Σωτὴρ,
C ἐνεπινοούμενα ἔχει ἐν αὐτῷ πρῶτα, καὶ δεύτερα, καὶ τρίτα. Ὁ γοῦν Ἰωάννης ἐπήνεγκε φάσκων περὶ τοῦ Λόγου· *Ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν*. Γέγονεν οὖν ἡ ζωὴ ἐν τῷ Λόγῳ. Καὶ οὔτε ὁ Λόγος ἕτερός ἐστι τοῦ Χριστοῦ, ὁ Θεὸς Λόγος, ὁ πρὸς τὸν Πατέρα, δι' οὗ τὰ πάντα ἐγένετο· οὔτε ἡ ζωὴ (81) ἑτέρα τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὅς φησιν· *Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή*. Ὥσπερ οὖν ἡ ζωὴ γέγονεν ἐν τῷ Λόγῳ, οὕτως ὁ Λόγος ἦν ἐν ἀρχῇ. Ἐπίστησον δὲ εἰ οἷόν τέ ἐστι (82) καὶ κατὰ τὸ σημαινόμενον τοῦτο ἐκδέχεσθαι ἡμᾶς τὸ *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, ἵνα κατὰ τὴν σοφίαν καὶ τοὺς τύπους τοῦ συστήματος τῶν ἐν αὐτῷ νοημάτων τὰ πάντα γίνηται. Οἶμαι γὰρ, ὥσπερ κατὰ τοὺς ἀρχιτεκτονικοὺς τύπους οἰκοδομεῖται ἢ τεκταίνεται οἰκία
D καὶ ναῦς, ἀρχὴν τῆς οἰκίας καὶ τῆς νεὼς ἐχόντων τοὺς ἐν τῷ τεχνίτῃ τύπους καὶ λόγους· οὕτω τὰ σύμπαντα γεγονέναι κατὰ τοὺς ἐν τῇ σοφίᾳ προτρανωθέντας ὑπὸ Θεοῦ τῶν ἐσομένων λόγους. *Πάντα γὰρ ἐν σοφίᾳ ἐποίησε*. Καὶ λεκτέον, ὅτι κτίσας, ἵν' οὕτως εἴπω (83), ἔμψυχον σοφίαν ὁ Θεὸς, αὐτῇ

[95] I Cor. xv, 45. [96] Joan. I, 1. [97] Psal. CXLVIII, 5. [98] Gen. I, 3. [99] ibid. 6. [1] Prov. VIII, 22. [2] Joan. I, 3. 4. [3] Joan. XIV, 6. [4] Joan. I, 1.

(79) *Δημιουργὸς δὲ ὁ Χριστὸς ὡς ἀρχή*, etc. Hic Origenem castigat Petavius lib. I *De Trinitate*, cap. 4, n. 4, et lib. VI, cap. 3, n. 6. HUETIUS.

(80) *Τῶν τεθεωρημένων*. Ita recte habent codd. Bodleianus et Barberinus, male autem codex Regius, τῶν τεθεωρημάτων. Mox τοῦ Λόγου λαμβανομένου. Alludit ad alteram λόγου notationem, qua *ratio* significetur.

(81) *Οὔτε ἡ ζωή*, etc. Sic recte legitur in codd. Bodleiano et Barberino ; male autem in codice Regio deest οὔτε, et pro ἡ ζωὴ legitur ἢ ζωή.

(82) *Εἰ οἷόν τέ ἐστι καὶ κατὰ τό*, etc. Sic recte habent codd. Bodleianus et Barberinus ; corrupte autem codex Regius, οἷόν τέ ἐστι καὶ κατὰ τό, etc.

(83) *Κτίσας, ἵν' οὕτως εἴπω*. Ita recte codd. Barberinus et Regius ; male autem Bodleianus, κτή-

ἐπέτρεψεν ἀπὸ τῶν ἐν αὐτῇ τύπων τοῖς οὖσι καὶ τῇ ὕλῃ, οἶμαι, παρασχεῖν τὴν ὕπαρξιν καὶ τὴν πλάσιν καὶ τὰ εἴδη. Ἐγὼ δὲ ἐφίστημι εἰ καὶ ἔστιν εἰπεῖν ἀρχὴν τῶν ὄντων εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ λέγοντα (84)· *Ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ τέλος, τὸ α καὶ τὸ ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος*. Ἀναγκαῖον δὲ εἰδέναι, ὅτι οὐ κατὰ πᾶν ὃ ὀνομάζεται, ἀρχή ἐστιν αὐτός. Πῶς γάρ, καθὸ ζωή ἐστι, δύναται εἶναι ἀρχή, ἥτις ζωὴ γέγονεν ἐν τῷ Λόγῳ, δηλονότι ἀρχῇ τυγχάνοντι αὐτῆς; Ἔτι δὲ σαφέστερον, ὅτι καθὸ πρωτότοκός ἐστιν ἐκ τῶν νεκρῶν, οὐ δύναται εἶναι ἀρχή. Καὶ ἐὰν ἐπιμελῶς ἐξετάζωμεν αὐτοῦ πάσας τὰς ἐπωνυμίας (85), μόνον κατὰ τὸ εἶναι σοφία ἀρχή ἐστιν, οὐδὲ κατὰ τὸ εἶναι λόγος ἀρχὴ τυγχάνων, εἴ γε ὁ Λόγος ἐν ἀρχῇ ἦν· ὡς εἰπεῖν ἄν τινα τεθαῤῥηκότως πρεσβύτερον (86) πάντων τῶν ἐπινοουμένων ταῖς ὀνομασίαις τοῦ πρωτοτόκου πάσης κτίσεώς ἐστιν ἡ σοφία. Ὁ Θεὸς μὲν οὖν πάντη ἕν ἐστι (87) καὶ ἁπλοῦν· ὁ δὲ Σωτὴρ ἡμῶν διὰ τὰ πολλά, ἐπεὶ προέθετο αὐτὸν ὁ Θεὸς ἱλαστήριον καὶ ἀπαρχὴν πάσης τῆς κτίσεως, πολλὰ γίνεται· ἢ καὶ τάχα πάντα ταῦτα καθαρίζει αὐτοῦ ἡ ἐλευθεροῦσθαι δυναμένη πᾶσα κτίσις (88). Καὶ διὰ τοῦτο γίνεται φῶς τῶν ἀνθρώπων, ὅτε ἄνθρωποι ὑπὸ τῆς κακίας σκοτισθέντες δέονται φωτὸς τοῦ ἐν τῇ σκοτίᾳ φαίνοντος, καὶ ὑπὸ σκοτίας μὴ καταλαμβανομένου, οὐκ ἄν, εἰ μὴ γεγόνεισαν ἐν τῷ σκότῳ οἱ ἄνθρωποι, γενόμενος ἀνθρώπων φῶς. Τὸ δ' ὅμοιόν ἐστι νοῆσαι καὶ ἐπὶ τοῦ εἶναι αὐτὸν πρωτότοκον τῶν νεκρῶν. Εἰ γὰρ καθ' ὑπόθεσιν ἡ γυνὴ μὴ ἠπάτητο, καὶ ὁ Ἀδὰμ μὴ παραπέπτωκε, κτισθεὶς δὲ ὁ ἄνθρωπος ἐπὶ ἀφθαρσίᾳ κεκρατήκει τῆς ἀφθαρσίας, οὔτ' ἂν εἰς χοῦν θανάτου καταβεβήκει, οὔτ' ἂν ἀπέθανεν οὐκ οὔσης ἁμαρτίας, ἢ διὰ τὴν φιλανθρωπίαν αὐτὸν ἐχρῆν ἀποθανεῖν. Ταῦτα δὲ μὴ ποιήσας, οὐκ ἐγίνετο πρωτότοκος ἐκ τῶν νεκρῶν. Ἐξεταστέον δὲ μήποτε καὶ ποιμὴν οὐκ ἂν ἐγίνετο, τοῦ ἀνθρώπου μὴ παρασυμβληθέντος τοῖς κτήνεσι τοῖς ἀνοήτοις, μηδ' ὁμοιωθέντος αὐτοῖς. Εἰ γὰρ ἀνθρώπους καὶ κτήνη σώζει ὁ Θεός, σώζει ἃ σώζει κτήνη, ποιμένα αὐτοῖς χαρισάμενος τοῖς μὴ χωροῦσι τὸν βασιλέα. Βασανιστέον οὖν συναγαγόντα τὰς ὀνομασίας τοῦ Ἰησοῦ, ὁποῖαι (89) αὐτῶν ἐπιγεγόνασιν, οὐκ ἂν ἐν μακαριότητι ἀρξαμένων καὶ μεινάντων τῶν ἁγίων γενόμεναι τὰ τοσάδε. Τάχα γὰρ σοφία ἔμενε μόνον, ἢ καὶ Λόγος, ἢ καὶ ζωή, πάντως δὲ καὶ ἀλήθεια· οὐ μὴν δὲ καὶ τὰ ἄλλα ὅσα δι' ἡμᾶς προσείληφε. Καὶ μακάριοί γε, ὅσοι δεόμενοι τοῦ Υἱοῦ τοιοῦτοι γεγόνασας, ἵν' οὕτως εἴπερ, etc.

A conceptas, domo navique principium sumentibus ab his figuris et rationibus quæ sunt in artifice, sic universa facta fuisse juxta rerum futurarum rationes jam antea a Deo manifestatas in sapientia. *Omnia enim in sapientia fecit* [a]. Dicendumque est Deum, cum animatam sapientiam, ut ita loquar, creasset, illius curæ permisisse ut ex figuris et speciebus quas ipsa habebat, opinor, subsistentiam, et plasmationem, et formas præberet entibus et materiæ. Ego etiam inspicio an dicere possimus principium entium esse Filium Dei, dicentem : *Ego sum principium et finis, A et Ω, primus et novissimus* [b]; cum necessario etiam sciendum sit nobis ipsum non esse principium juxta omnia quibus nominatur. Qui enim fieri potest ut sit principium in quantum est vita, cum vita

B facta fuerit in Verbo, quod est ipsius vitæ principium ? Manifestius præterea est ipsum non esse principium, quatenus primogenitus est ex mortuis. Quod si diligenter examinemus omnia ipsius cognomina, solum quia sit sapientia principium est, ne principium quidem exsistens in quantum est Λόγος, id est Verbum, vel ratio, quandoquidem Verbum vel ratio in principio erat. Adeo ut audacter ausit quis dicere antiquiorem omnibus quæ excogitantur nominibus primogeniti omnis creaturæ, sapientiam esse. Atque Deus quidem unum est et simplex; Servator vero noster propter multa, quandoquidem proposuit illum Deus propitiationem [c] et primitias omnis creaturæ, efficitur etiam multa, vel etiam fortasse omnia hæc purgat ipsius creaC tura, quæ universa liberare valet. Hinc fit lux hominum, quando homines a vitio obscurati luce egent lucente in tenebris, et a tenebris non apprehensa : lux non futurus, nisi homines obscurati fuissent. Simile considerare possumus de eo quod dicitur primogenitus ex mortuis. Nam si ponamus mulierem **22** deceptam non fuisse, nec Adam deliquisse, sed creatum hominem ad immortalitatem, immortalitatem obtinuisse; neque in pulverem mortis descendisset Christus, neque mortuus fuisset non exsistente peccato, aut erga humanum genus amore moriendum illi fuisset. Ac si hæc non fecisset, minime fuisset primogenitus ex mortuis. Disquirendum et illud, num forte etiam hominis pastor futurus non erat, si comparatus homo jumentis insiD pientibus non fuisset, neque similis illis factus [d]. Nam si homines et jumenta servat Deus [e], servat quæ servat jumenta, illis donando pastorem quæ re-

[a] Psal. CIII, 24. [b] Apoc. XXII, 13. [c] Rom. III, 25. [d] Psal. XLVIII, 13, 21. [e] Psal. XXXV, 7.

Vide quæ ad hunc locum notata sunt ab eruditissimo Petavio, lib. I *De Trinit.*, cap. 4, n. 4, et lib. VI, cap. 3.

(84) *Τύπων τοῖς οὖσι.... εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ λέγοντα*. Hæc omnia desunt in editione Huetii, restituuntur autem e codicibus Bodleiano et Barberino.

(85) *Τὰς ἐπωνυμίας*. Ita codex Bodleianus, Regius autem habet ἐπινοίας, atque ita Barberinus.

(86) *Πρεσβύτερον*. Legendum videtur ὅτι πρεσβύτερον.

(87) *Ὁ Θεὸς μὲν οὖν πάντη ἕν ἐστι*, etc. Hæc quoque lib. I *De Trinit.*, cap. 4, n. 4, confutat Petavius, quasi divinæ Verbi naturæ multiplices proprietates affingat Origenes; in quo sane magni viri judicium non sequor; nam hæc Christo, ut Deus simul et homo est, universa Origenes attribuit; et ut ad divinam Verbi naturam pertinere voluisset, verisimilius est hæc pro variis potius considerandi Verbi modis, quam pro divinæ ipsi naturæ insitis qualitatibus habenda credidisse. HUETIUS.

(88) *Αὐτοῦ ἡ ἐλευθεροῦσθαι δυναμένη πᾶσα κτίσις*. Legisse videtur Ferrarius, ἡ ἐλευθεροῦν δυναμένη πάντα κτίσις. ID.

(89) *Ὁποῖαι*. Ita codex Barberinus, sicque legit Ferrarius; codex Regius male habet οὐ ποῖαι.

gem capere nequeunt. Exploret ergo oportet, qui collegerit Filii nomenclaturas, quænam ipsarum ipsi accesserint, quæ tales ac tantæ non fuissent, si in beatitate sancti incepissent et perseverassent. Nam fortasse sola sapientia, vel etiam Verbum, vel vita, atque omnino veritas permaneret, haud tamen omnia alia nomina quæ nostri causa assumpsit. Verum enimvero beati illi, qui egentes Filio Dei ejusmodi fuere, ut in posterum non eguerint medico qui male affectos curaret, neque pastore, neque redemptione, sed sapientia, et verbo, ac justitia, vel si quid aliud est iis qui ob perfectionem pulcherrima quæque ipsius percipere valent. Sed hæc sufficiant de eo quod scriptum est : *In principio*.

σιν, ὡς μηκέτι αὐτοῦ χρῄζειν ἰατροῦ τοὺς κακῶς ἔχοντας θεραπεύοντος, μηδὲ ποιμένος, μηδὲ ἀπολυτρώσεως, ἀλλὰ σοφίας, καὶ λόγου, καὶ δικαιοσύνης, ἢ εἴ τι ἄλλο (90) τοῖς διὰ τελειότητα χωρεῖν αὐτοῦ τὰ κάλλιστα δυναμένοις. Τοσαῦτα περὶ τοῦ *Ἐν ἀρχῇ*.

23. Videamus nunc diligentius quisnam sit hic Λόγος, [id est verbum, seu ratio, quæ in ipso principio esse dicitur. Atque equidem] reputanti mihi quænam frequenter dicuntur de Christo ab iis qui in ipsum credere volunt, mirari subit curnam tandem imposita nomina Servatori nostro, quæ vix numerari possunt, plerumque hi silentio pertranseant, atque etiamsi eorum mentio facta fuerit, illa immutant non proprie, sed tropice, Jesum his nominibus appellari dicentes : in sola autem appellatione Verbi insistentes, veluti solum Verbum astruant esse Christum Dei ; non perinde atque in cæteris vocabulis, quibus ipse nuncupatur, indagantes vim significati ex hac voce λόγος. Jam in quo me mirari dicam multorum ruditatem, apertius enim loquar, tale est. Inquit alicubi Filius Dei : *Ego sum lux mundi* [10]; et alibi : *Ego sum resurrectio* [11]; et rursum : *Ego sum via, veritas et vita* [12]; scriptum est et illud : *Ego sum ostium* [13]; dictum est etiam : *Ego sum pastor bonus* [14]; et ad Samaritidem
23 dicentem : *Scimus quod Messias venit, qui dicitur Christus : cum autem venerit ille, nuntiabit nobis omnia* [15]; respondet : *Ego sum qui loquor tecum* [16]. Ad hæc cum lavisset pedes discipulorum, Dominum se et Magistrum his verbis fatetur : *Vos dicitis Dominum me et magistrum, et bene dicitis : sum etenim* [17]. Quin aperte, et clare se ipsum Filium Dei esse pronuntiat, dicens : *Quem Pater sanctificavit, et misit in mundum, vos dicitis me blasphemare, quoniam dixi, Filius Dei sum ego* [18]? Et illud : *Pater, venit hora ; glorifica Filium tuum, ut et Filius tuus glorificet te* [19]. Invenimus etiam se ipsum pronuntiantem regem, veluti Pilato dicenti : *Rex es tu Judæorum* [20]? respondens dixit : *Regnum meum non est ex hoc mundo : si ex hoc mundo esset regnum meum, ministri mei certaturi fuerant, ne traderer Judæis ; nunc autem regnum meum non est hinc* [21]. Legimus et illud : *Ego sum vitis vera, et Pater meus agricola* [22]; et rursum : *Ego sum vitis, vos palmites*. [23] Connumerentur his hæc quoque : *Ego sum panis vitæ* [24]; et iterum : *Ego sum panis vivens, qui de cœlo descendi, et vitam mundo præbeo* [25]. Et hæc quidem quæ

23. Ἴδωμεν δὲ ἐπιμελέστερον τίς ὁ ἐν αὐτῇ Λόγος. Θαυμάζειν μοι πολλάκις ἐπέρχεται (91) σκοποῦντι τὰ ὑπό τινων πιστεύειν εἰς τὸν Χριστὸν βουλομένων λεγόμενα περὶ αὐτοῦ, τί δήποτε, δυσεξαριθμήτων ὀνομάτων τασσομένων ἐπὶ τοῦ Σωτῆρος ἡμῶν, τὰ μὲν πλεῖστα παρασιωπῶσιν, ἀλλὰ καὶ εἴ ποτε μνήμη αὐτῶν γένοιτο, μεταλαμβάνουσιν οὐ κυρίως, ἀλλὰ τροπικῶς ταῦτα αὐτὸν ὀνομάζεσθαι· ἐπὶ δὲ μόνης τῆς *Λόγος* προσηγορίας ἱστάμενοι, οἱονεὶ Λόγον μόνον φασὶν εἶναι τὸν Χριστὸν τοῦ Θεοῦ, καὶ οὐχὶ ἀκολούθως τοῖς λοιποῖς τῶν ὀνομαζομένων ἐρευνῶσι τοῦ σημαινομένου τὴν δύναμιν ἐκ τῆς *Λόγος* φωνῆς· ὃ δέ φημι θαυμάζειν τὴν ἀβελτηρίαν (92) τῶν πολλῶν (σαφέστερον γὰρ ἐρῶ), τοιοῦτόν ἐστι. Φησί που ὁ Υἱὸς τοῦ Θεοῦ· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου*· καὶ ἐν ἄλλοις· *Ἐγώ εἰμι ἡ ἀνάστασις*· καὶ πάλιν· *Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή*· γέγραπται δὲ καὶ τό· *Ἐγώ εἰμι ἡ θύρα*· εἴρηται καὶ τό· *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός*· καὶ πρὸς τὴν Σαμαρεῖτιν φάσκουσαν, *Οἴδαμεν, ὅτι Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα*, ἀποκρίνεται· *Ἐγώ εἰμι ὁ λαλῶν σοι*. Πρὸς τούτοις ὅτε ἔνιψε τοὺς πόδας τῶν μαθητῶν, Κύριος καὶ διδάσκαλος αὐτῶν εἶναι διὰ τούτων ὁμολογεῖ· *Ὑμεῖς φωνεῖτέ με ὁ διδάσκαλος καὶ ὁ Κύριος· καὶ καλῶς λέγετε, εἰμὶ γάρ*. Ἀλλὰ καὶ Υἱὸν εἶναι Θεοῦ σαφῶς ἑαυτὸν καταγγέλλει, λέγων· *Ὃν ὁ Πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, ὅτι, Βλασφημεῖς· ὅτι εἶπον· Υἱὸς τοῦ Θεοῦ εἰμι*; καί· *Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν Υἱὸν, ἵνα ὁ Υἱὸς δοξάσῃ σε*. Εὑρίσκομεν δὲ καταγγέλλοντα ἑαυτὸν καὶ βασιλέα· ὡς ἐπὰν, ἀποκρινόμενος τῷ Πιλάτῳ πρὸς τὸ, *Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων*; λέγῃ· *Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται οἱ ἐμοὶ ἠγωνίζοντο ἂν, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν*. Ἀνέγνωμεν καὶ τό· *Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι*· καὶ πάλιν· *Ἐγώ εἰμι ἄμπελος, ὑμεῖς τὰ κλήματα*. Συναριθμείσθω τούτοις καὶ τό· *Ἐγώ εἰμι ὁ ἄρτος*

[10] Joan. VIII, 12. [11] Joan. XI, 25. [12] Joan. XIV, 6. [13] Joan. X, 9. [14] ibid. 11 [15] Joan. IV, 25. [16] ibid. 26. [17] Joan. XIII, 13. [18] Joan. X. 36. [19] Joan. XVII, 1. [20] Joan. XVIII, 33. [21] ibid. 36. [22] Joan. XV, 1. [23] ibid. 5. [24] Joan. VI, 33. [25] ibid. 35, 41.

(90) *Ἄλλο*. Deest apud Huetium, exstat vero in codd. Bodleiano et Barberino.

(91) *Ἴδωμεν δὲ ἐπιμελέστερον τίς ὁ ἐν αὐτῇ Λόγος. Θαυμάζειν μοι πολλάκις ἐπέρχεται.* Hæc desunt in editione Huetii, restituuntur vero e codd. Bodleiano et Barberino.

(92) *Ἀβελτηρίαν*. Deest apud Huetium, sed exstat in codice Bodleiano, et ita legit Ferrarius.

τῆς ζωῆς· καὶ πάλιν· *Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.* Καὶ ταῦτα μὲν ἐπὶ τοῦ παρόντος ὑποπεσόντα ἀπὸ τῶν ἐν τοῖς Εὐαγγελίοις κειμένων παρεθέμεθα, τοσαῦτα αὐτὸν λέγοντος εἶναι τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἀλλὰ καὶ ἐν τῇ Ἰωάννου Ἀποκαλύψει λέγει· *Ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος, καὶ ὁ ζῶν, καὶ ἐγενόμην νεκρός· ἰδοὺ ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων*· καὶ πάλιν· *Γέγονα τὸ α καὶ τὸ ω, καὶ ὁ πρῶτος καὶ ὁ ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος.* Ἔστι δὲ οὐκ ὀλίγα τὸν μετὰ παρατηρήσεως ἐντυγχάνοντα ταῖς ἁγίαις βίβλοις καὶ ἀπὸ τῶν προφητῶν παραπλήσια λαβεῖν (93), οἷον, ὅτι βέλος ἐκλεκτὸν ἑαυτὸν καλεῖ, καὶ δοῦλον τοῦ Θεοῦ, καὶ φῶς ἐθνῶν. Λέγει δὲ οὕτω Ἡσαΐας· *Ἐκ κοιλίας μητρός μου ἐκάλεσέ με τὸ ὄνομά μου, καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με. Ἔθηκέ με ὡς βέλος ἐκλεκτὸν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με, καὶ εἶπέ μοι· Δοῦλός μου εἶ σὺ, Ἰσραὴλ, καὶ ἐν σοὶ δοξασθήσομαι.* Καὶ μετ' ὀλίγα· *Καὶ ὁ Θεός μου ἔσται μοι ἰσχύς· καὶ εἶπέ μοι· Μέγα σοί ἐστι τοῦτο κληθῆναί σε* (94) *παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ἰακὼβ, καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπιστρέψαι. Ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.* Ἀλλὰ καὶ ἐν τῷ Ἱερεμίᾳ οὕτως αὐτὸν ἀρνίῳ ὁμοιοῖ· *Ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι.* Ταῦτα μὲν οὖν καὶ τὰ τούτοις παραπλήσια αὐτὸς ἑαυτόν φησιν. Ἔστι δὲ καὶ παρὰ τοῖς Εὐαγγελίοις, καὶ παρὰ τοῖς ἀποστόλοις, καὶ διὰ τῶν προφητῶν μυρίας ὅσας προσηγορίας συναγαγεῖν, ἃς καλεῖται ὁ Υἱὸς τοῦ Θεοῦ, ἤτοι τῶν τὰ Εὐαγγέλια γραψάντων τὴν ἰδίαν διάνοιαν τῶν περὶ τοῦ ὅ τί ποτέ ἐστιν ἐκτιθεμένων, ἢ τῶν ἀποστόλων ἐξ ὧν μεμαθήκασι δοξολογούντων αὐτὸν, καὶ τῶν προφητῶν προκηρυσσόντων αὐτοῦ τὴν ἐσομένην ἐπιδημίαν, καὶ τὰ περὶ αὐτοῦ ἀπαγγελλόντων διαφόροις ὀνόμασιν· οἷον ὁ Ἰωάννης αὐτὸν Ἀμνὸν Θεοῦ ἀναγορεύει, λέγων· *Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*· καὶ ἄνδρα διὰ τούτων· *Οὗτός ἐστιν ὑπὲρ οὗ ἐγὼ εἶπον, ὅτι, Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν· κἀγὼ οὐκ ᾔδειν αὐτόν.* Ἐν δὲ τῇ καθολικῇ Ἐπιστολῇ ὁ Ἰωάννης παράκλητον περὶ τῶν ψυχῶν ἡμῶν πρὸς τὸν Πατέρα φησὶ αὐτὸν εἶναι, λέγων· *Καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον.* Ἐπιφέρει δὲ, ὅτι καὶ ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· ᾧ παραπλησίως ὁ Παῦλος λέγει αὐτὸν εἶναι ἱλαστήριον, φάσκων· *Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αἵματι αὐτοῦ διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ.* Κεκήρυκται δὲ κατὰ τὸν Παῦλον σοφία εἶναι καὶ δύναμις Θεοῦ, ὡς ἐν τῇ

34. Ad hæc [elaborandum nobis est] quonam pacto primus et ultimus in Apocalypsi inscriptus est : in quantum primus est, diversus ab A, id est principio; et in quantum est ultimus, non idem cum Ω, id est fine. Opinor itaque, cum animalia quæ rationem participant, diversarum sint specierum, aliud inter ipsa esse primum, aliud secundum, aliud tertium, et sic deinceps usque ad ultimum ; quorum sane quodnam sit primum, et secundum, et tertium, et sic usque ad ultimum accurate dicere humani non admodum ingenii est, sed ejus quod naturam superet nostram. Conabimur tamen quæ ad hujus considerationis declarationem pertinere videbuntur, pro virili nostra afferre in medium atque eloqui. Sunt quidam dii, quorum Deus Deus est, ut prophetiæ loquuntur : *Confitemini Deo deorum* [84]; et : *Deus deorum Dominus locutus est, et vocavit terram* [85] : Deus autem, ut Evangelium tradit [86], *non mortuorum Deus est, sed viventium*. Unde viventes etiam dii sunt, quorum Deus Deus est. Quinetiam scribente ad Corinthios Apostolo juxta propheticas voces : *Quemadmodum sunt dii multi, et domini multi* [87], nomen deorum interpretati sumus tanquam exsistant. Sunt vero etiam præter deos quorum Deus est Deus, alii qui vocantur throni, et alii qui dicuntur principatus, rursus præter hos alii qui dicuntur dominationes et potestates. Dicente autem Paulo [88] : *Super omne nomen quod nominatur non solum in sæculo hoc, verum*

A γος, ἐξιστῶν ἀπὸ τῶν ἀνθρωπικῶν, καὶ ἐνθουσιᾷν ποιῶν, καὶ μεθύειν μέθην οὐκ ἀλόγιστον, ἀλλὰ θείαν, ἣν, οἶμαι, καὶ Ἰωσὴφ τοὺς ἀδελφοὺς μεθύειν ποιεῖ, εὐλόγως ὁ τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου οἶνον φέρων ἄμπελός ἐστιν ἀληθινή· διὰ τοῦτο ἀληθινὴ, ἐπεὶ βότρυς ἔχει τὴν ἀλήθειαν, καὶ κλήματα τοὺς μαθητὰς, μιμητὰς αὐτοῦ, καὶ αὐτοὺς καρποφοροῦντας τὴν ἀλήθειαν. Ἔργον δὲ διαφορὰν παραστῆσαι ἄρτου καὶ ἀμπέλου, ἐπεὶ οὐ μόνον ἄμπελος, ἀλλὰ καὶ ἄρτος ζωῆς εἶναί φησιν. Ὅρα δὲ μήποτε ὥσπερ ὁ ἄρτος τρέφει, καὶ ἰσχυροποιεῖ, καὶ στηρίζειν λέγεται καρδίαν ἀνθρώπου, ὁ δὲ οἶνος ἥδει καὶ εὐφραίνει καὶ διαχεῖ· οὕτως τὰ μὲν ἠθικὰ μαθήματα, ζωὴν περιποιοῦντα τῷ μανθάνοντι, καὶ πράττοντι, ἄρτος
B ἐστὶ τῆς ζωῆς, οὐκ ἂν ταῦτα γεννήματα λέγοιτο τῆς ἀμπέλου· καὶ εὐφραίνοντα, καὶ ἐνθουσιᾷν ποιοῦντα, ἀπόῤῥητα καὶ μυστικὰ θεωρήματα κατατρυφῶσι τοῦ Κυρίου ἐγγινόμενα (27), καὶ οὐ μόνον τρέφεσθαι, ἀλλὰ καὶ τρυφᾷν ποθοῦσιν (28), ἐστὶν ἀπὸ τῆς ἀληθινῆς ἀμπέλου ἐρχόμενα οἶνος καλούμενα.

34. Πρὸς τούτοις τῷ (29) πῶς πρῶτος καὶ ἔσχατος ἐν τῇ *Ἀποκαλύψει* ἀναγέγραπται, ἕτερος κατὰ τὸ πρῶτος εἶναι τυγχάνων τοῦ ἄλφα, καὶ τῆς ἀρχῆς, καὶ κατὰ τὸ ἔσχατος οὐχ ὁ αὐτὸς τῷ ω καὶ τῷ τέλει. Ἡγοῦμαι τοίνυν, τῶν λογικῶν ζώων ἐν πολλοῖς εἴδεσι χαρακτηριζομένων, εἶναί τι πρῶτον αὐτῶν, καὶ δεύτερον, καὶ τρίτον, καὶ τὰ καθεξῆς, ἕως ἐσχάτου· καὶ τὸ μὲν ἀκριβὲς εἰπεῖν τί πρῶτον, καὶ ποῖον τὸ
C δεύτερον, καὶ ἐπὶ τίνος ἀληθὲς τὸ τρίτον, καὶ οὕτως μέχρι τοῦ τελευταίου φθάσαι, οὐ πάνυ τι ἀνθρώπινον, ἀλλὰ ὑπὲρ τὴν ἡμετέραν ἐστὶ φύσιν· στῆναι δὲ καὶ περιλαλῆσαι τὰ εἰς τὸν τόπον, ὡς οἷοί τέ ἐσμεν, πειρασόμεθα. Εἰσί τινες θεοὶ ὧν ὁ Θεὸς Θεός ἐστιν, ὡς αἱ προφητεῖαί φασιν· *Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν*· καὶ, *Θεὸς θεῶν ἐλάλησε Κύριος, καὶ ἐκάλεσε τὴν γῆν*· Θεὸς δὲ κατὰ τὸ Εὐαγγέλιον *οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων*. Ζῶντες ἄρα καὶ οἱ θεοί εἰσιν, ὧν ὁ Θεὸς Θεός ἐστι. Καὶ ὁ Ἀπόστολος δὲ γράφων ἐν τῇ πρὸς Κορινθίους, *Ὥσπερ εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ*, κατὰ τὰ προφητικὰ, τὸ τῶν θεῶν ἐξειλήφαμεν ὄνομα ὡς τυγχανόντων. Εἰσὶ δὲ παρὰ τοὺς θεοὺς ὧν ὁ Θεὸς Θεός ἐστιν, ἕτεροί τι-
D νες οἳ καλοῦνται θρόνοι, καὶ ἄλλοι λεγόμενοι ἀρχαὶ, κυριότητές τε, καὶ ἐξουσίαι παρὰ τούτους ἄλλοι. Διὰ δὲ τὸ, *Ὑπὲρ πᾶν ὄνομα ὀνομαζόμενον, οὐ μόνον ἐν τούτῳ τῷ αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι*, καὶ ἄλλα παρὰ ταῦτα οὐ πάνυ (30) συνήθως ἡμῖν ὀνομαζόμενα δεῖ πιστεύειν εἶναι λογικά· ὧν ἕν τι γένος

[82] Gen. XLIII, 34. [83] Joan. XV, 5. [84] Psal. CXXXV. [85] Psal. XLIX, 1. [86] Matth. XXII, 32. [87] I Cor. VIII, 5. [88] Ephes. I, 21.

(27) *Ἐγγινόμενα*. Sic codex Bodleianus; Huetius in textu ἐκπινόμενα.

(28) *Ποθοῦσιν*. Ita codex Bodleianus; Huetius in textu ποτιοῦσιν.

(29) *Τῷ*, etc. Lego προσεκτέον τῷ.

(30) *Καὶ ἄλλα παρὰ ταῦτα οὐ πάνυ*, etc. Origenes lib. I *Περὶ ἀρχῶν*, cap. 5, eumdem hunc Pauli locum exponens : *Ex quo videlicet*, inquit, *ostendit esse quædam præter hæc quæ commemoravit, quæ nominantur quidem in hoc sæculo, non tamen ab ipso enumerata fuerint, forte nec ab alio aliquo intellecta ; esse vero alia quæ in hoc sæculo quidem non nominentur, tamen nominabuntur*. Nec unus id sibi persuasit Origenes præter eos angelorum ordines qui nominantur in Scriptura, alios esse numero infinitos et hominibus ignotos : scripsit siquidem Chrysostomus hom. 4, *De incomp.*: Εἰσὶ γὰρ, εἰσὶ καὶ ἕτεραι δυνάμεις, ὧν οὐδὲ τὰ ὀνόματα ἴσμεν. *Sunt*

ἐκάλει Σαβαὶ ὁ Ἑβραῖος, παρὸ ἐσχηματίσθαι τὸν Σαβαὼθ ἄρχοντα ἐκείνων τυγχάνοντα, οὐχ ἕτερον τοῦ Θεοῦ. Καὶ ἐπὶ πᾶσι θνητὸν λογικὸν ὁ ἄνθρωπος. Ὁ τοίνυν τῶν ὅλων Θεὸς πρῶτόν τι τῇ τιμῇ γένος λογικὸν πεποίηκεν, ὅπερ οἶμαι τοὺς καλουμένους θεοὺς, καὶ δεύτερον ἐπὶ τοῦ παρόντος καλείσθωσαν θρόνοι, καὶ τρίτον χωρὶς διαστάσεως (31) ἀρχαί. Οὕτω δὲ τῷ λογικῷ (32) καταβατέον ἐπὶ ἔσχατον λογικὸν, τάχα οὐκ ἄλλο τι τοῦ ἀνθρώπου τυγχάνον. Ὁ τοίνυν Σωτὴρ θειότερον πολλῷ ἢ ὁ Παῦλος γέγονε τοῖς πᾶσι πάντα, ἵνα πάντα ἢ κερδήσῃ, ἢ τελειώσῃ· καὶ σαφῶς γέγονεν ἀνθρώποις ἄνθρωπος, καὶ ἀγγέλοις ἄγγελος (33). Καὶ περὶ μὲν τοῦ ἄνθρωπον αὐτὸν γεγονέναι οὐδεὶς τῶν πεπιστευκότων διστάζει· περὶ δὲ τοῦ ἄγγελον (34), πειθώμεθα τηροῦντες τὰς τῶν ἀγγέλων ἐπιφανείας καὶ λόγους, ὅτε τῆς τῶν ἀγγέλων ἐξουσίας φαίνεται, ἔν τισι τόποις τῆς Γραφῆς ἀγγέλων λεγόντων, ὥσπερ ἐπὶ τοῦ· *Ὤφθη ἄγγελος Κυρίου ἐν πυρὶ φλογὸς βάτου, καὶ εἶπεν· Ἐγὼ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ.* Ἀλλὰ καὶ ὁ Ἡσαΐας φησί· *Καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος.* Πρῶτος οὖν καὶ ἔσχατος ὁ Σωτὴρ οὐχ ὅτι οὐ τὰ μεταξὺ, ἀλλὰ τῶν ἄκρων, ἵνα δηλωθῇ, ὅτι τὰ πάντα γέγονεν αὐτός. Ἐπίστησον δὲ πότερον ἄνθρωπός ἐστι τὸ ἔσχατον ἢ τὰ καλούμενα καταχθόνια, ὧν εἰσι καὶ οἱ δαίμονες, ἤτοι πάντες, ἤ τινες. Ζητητέον τὰ εἰς ἃ καὶ αὐτὰ γενόμενος ὁ Σωτὴρ διὰ τοῦ προφήτου Δαυῒδ φησι· *Καὶ ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος*· ὥσπερ πλέον ἔχων (35) παρὰ ἀνθρώπους κατὰ τὴν ἐκ παρθένου γένεσιν, καὶ κατὰ τὸν λοιπὸν ἐν παραδόξοις βίον, οὕτως ἐν νεκροῖς κατὰ τὸ μόνος ἐκεῖ εἶναι ἐλεύθερος, οὐκ ἐγκαταλέλειπται ἡ ψυχὴ αὐτοῦ εἰς τὸν ᾅδην. Οὕτως μὲν οὖν πρῶτος καὶ ἔσχατος. Εἰ δέ ἐστι γράμματα Θεοῦ, ὥσπερ ἐστὶν, ἅπερ ἀναγινώσκοντες οἱ ἅγιοί φασιν ἀνεγνωκέναι τὰ ἐν ταῖς πλαξὶ

A *etiam in futuro*, credere debemus alia esse etiam, præter hæc, rationalia, quorum vocabula haud ita familiariter nobis sint in usu, quorum unum quoddam genus Saba vocabat Hebræus, ob eam causam dicens nomen formatum fuisse Sabaoth, qui princeps hujus ordinis esset nec diversus a Deo. Præter hæc omnia est mortale rationale ipse homo. Universorum ergo Deus, genus primum **35** quoddam rationale, quod cæteris honore excelleret, fecit; quod mea sententia eos complectitur qui vocantur dii; alterum in præsentia vocentur throni; tertium vero principatus sine dissidio. Sic autem rationali ad ultimum rationale descendendum est, quod non aliud fortasse fuerit quam homo. Servator igitur, divinius multo quam Paulus[89], factus B est omnibus omnia, ut omnes vel lucrifaceret vel perficeret: et manifeste homo hominibus, angelis angelus factus est. Cumque fidelium nemo ambigat hominem eum fuisse, angelum etiam eum fuisse inducamur ad credendum, servantes angelorum apparitiones et verba, quando potestatem eum apparet angelorum habere: in quibusdam Scripturæ locis angelis loquentibus, veluti illo in loco[90]: *Visus est angelus Domini in flamma ignis de medio rubi, et dixit: Ego sum Deus Abraham, et Isaac, et Jacob.* Quin etiam Isaias dicit[91]: *Vocabitur nomen ejus magni consilii Angelus.* Primus ergo et ultimus est Servator, non quod non sit etiam medio, sed idcirco duorum extremorum vocabulo C gaudet, ut declaret se omnia fuisse. Inspice vero utrum homo sit ultimum rationale; an ea quæ vocantur subterranea, quorum de numero sunt dæmones, vel omnes, vel aliqui. Inquirenda sunt et illa, quæ Servator se factum per prophetam David inquit[92]: *Et factus sum sicut homo sine adjutorio inter mortuos liber*; sicut plus habens præ homini-

[89] I Cor. IX, 22. [90] Exod. III, 2, 6. [91] cap. IX, vers. 6. [92] Psal. LXXXVII, 5, 6.

enim, sunt et aliæ virtutes, quarum ne nomina quidem scimus. Quod paulo post ex supra memorato Pauli ad Ephesios loco colligere se profitetur. Atque id ipsum iterat orat. V *Contra Anomæos*, et homil. 3 *in Epistol. ad Ephes.* Assentiuntur Chrysostomo Theodoretus in eumdem ejusdem Epistolæ locum, Œcumenius et Theophylactus. HUETIUS.

(31) *Διαστάσεως*. Forte διστάσεως.

(32) *Λογικῷ*. Forte legendum λογισμῷ.

(33) *Καὶ σαφῶς γέγονεν ἀνθρώποις ἄνθρωπος, καὶ ἀγγέλοις ἄγγελος.* Origenes lib. I *in Epist. ad Rom.*: *Hoc quod apparuit angelis, non eis absque Evangelio apparuit, sicut nec nobis quidem hominibus, ad quos missum se dicit*, evangelizare pauperibus, dimittere captivos in remissionem, et annuntiare annum Domini acceptum. *Si ergo cum apparuit, nobis omnibus hominibus non sine Evangelio apparuit, consequentia videtur ostendere, quod etiam angelico ordini non sine Evangelio apparuerit, illo fortassis quod æternum Evangelium a Joanne memoratum supra edocuimus. Si vero etiam in reliquis cœlestibus ordinibus tale aliquid gestum esse ab eo suspicandum sit, in ea qua singuli quique sunt forma apparuit eis, annuntians pacem, quoniam quidem per sanguinem crucis suæ pacificavit non solum quæ in terra, sed quæ in cœlis sunt, etiam tu apud temetipsum discutito.* Hunc errorem, jam ante Origenem, in aliquibus castigaverat Tertullianus lib. *De carne Christi*, cap. 14, et in ipso demum Origene damnatus est quarto e novem anathematismis Justiniani epistolæ ad Mennam subjectis. Sed de his pluribus disputamus in *Origenianis*. HUETIUS.—Vide homil. 8 in Genes., n. 8.

(34) *Περὶ δὲ τοῦ ἄγγελον*, etc. Infra tom II: Μήποτε δὲ, ὥς φαμεν τόνδε τινὰ πρὸς τόνδε γίνεσθαι, οὕτως ὁ νῦν θεολογούμενος Υἱὸς Λόγος ἐγενήθη πρὸς D Ὠσηὲ ἀποσταλεὶς ὑπὸ τοῦ Πατρὸς πρὸς αὐτόν. Nempe ei quoque adhæsit opinioni Origenes, quam magna pars Patrum amplexa est, Filium ipsum Dei patriarchis et prophetis apparuisse. Vide Sixtum Senens. lib. V, adnot. 102. HUETIUS.

(35) *Ὥσπερ πλέον ἔχων*, etc. Triplex rerum ratione pollentium genus statuit, angelorum, hominum et τῶν καταχθονίων, inter quæ dæmones recenset. Cum autem omnia omnibus ratione præditis factum dicat Sospitatorem; hominibus hominem, cum carnem assumpsit; angelis angelum, cum patriarchis et prophetis visus est; tertium divisionis membrum exsecutus est, et Christum ad lucrifacienda τὰ καταχθόνια, sese iis similem fecisse docet, quando *factus est inter mortuos liber*. Nam cum duplici genere constent καταχθόνια, dæmonum et defunctorum hominum, cumque horum jam antea formam sumpsisset Christus quando homo factus est, illorum sumere debuit. ID.

bus, quia natus sit ex Virgine, et ob reliquam vitam admirabiliter transactam, ita inter mortuos non derelicta est anima ejus in infernum, eo quod illic solus fuerit liber. Atque hunc quidem in modum primus est et ultimus. Quod si sunt litteræ Dei, ut certe sunt, quas sancti legentes ea se dicunt legere, quæ sint in tabulis cœli, elementa illa, per quæ legenda sunt cœlestia, notiones sunt, in **36** minutas partes divisæ, nempe in A et quæ sequuntur, usque ad Ω, quod est Filius Dei. Rursus idem principium est et finis; sed secundum significationes non est idem. Nam principium est, quatenus sapientia est, ut in Proverbiis didicimus. Scriptum est ergo [93]: *Deus creavit me principium viarum suarum ad opera ejus.* Quatenus autem Verbum est, non est principium, quia *in principio erat Verbum.* Igitur significationes ejus continent principium, et secundum quiddam, et tertium, præter principium, et sic usque ad finem: tanquam si dicerel: Principium sum, quatenus sapientia sum; secundum autem, si forte sic contingeret dici, in quantum sum invisibilis, tertium, in quantum vita; quoniam *quod factum est, in ipso vita erat* [94]. Quod si quis Scripturarum sensum investigans, idoneus est eum assequi, is quidem fortasse inveniet pleraque quæ ad ordinem pertineant atque finem ipsum, nescio autem an omnia. Apertius autem principium ac finis, secundum communem loquendi consuetudinem, de re continua et unita dici videntur: ut domus principium est fundamentum et finis fastigium. Et sane *summo angulari lapide* exsistente *Christo* [95], toti corpori unito eorum qui servantur, adaptandum est exemplum hoc: omnia enim et in omnibus [96] est Christus unigenitus, qui ut principium in eo est homine quem assumpsit: ut finis autem in ultimo, sanctorum scilicet, etiam in his qui sunt in medio. Est etiam, ut principium quidem, in Adam; ut finis autem, in adventu suo, juxta illud [97]: *Ultimus Adam in spiritum vivificantem.* Verumtamen hoc dictum congruet etiam explicationi harum vocum, *primus* et *ultimus.*

A τοῦ οὐρανοῦ, τὰ στοιχεῖα ἐκεῖνα, ἵνα δι' αὐτῶν τὰ οὐράνια ἀναγνωσθῇ, αἱ ἔννοιαι τυγχάνουσιν, κατακερματιζόμεναι εἰς ἄλφα, καὶ τὰ ἑξῆς, μέχρι τοῦ ω, τοῦ Υἱοῦ τοῦ Θεοῦ. Πάλιν δὲ ἀρχὴ καὶ τέλος ὁ αὐτὸς ἀλλ' οὐ κατὰ τὰς ἐπινοίας ὁ αὐτός. Ἀρχὴ γὰρ, ὡς ἐν ταῖς *Παροιμίαις* μεμαθήκαμεν, καθὸ σοφία τυγχάνει, ἐστί· γέγραπται γοῦν· *Ὁ Θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.* Καθὸ δὲ λόγος ἐστὶν, οὐκ ἔστιν ἀρχή· *ἐν ἀρχῇ* γὰρ *ἦν ὁ Λόγος*. Οὐκοῦν αἱ ἐπίνοιαι αὐτοῦ ἔχουσιν ἀρχὴν, καὶ δεύτερόν τι παρὰ τὴν ἀρχὴν, καὶ τρίτον, καὶ οὕτως μέχρι τέλους· ὡσεὶ ἔλεγεν· Ἀρχή εἰμι, καθὸ σοφία εἰμί· δεύτερον δὲ, εἰ οὕτω τύχοι, καθὸ ἀόρατός εἰμι, καὶ τρίτον καθὸ ζωή· ἐπεὶ *ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν*. Καὶ εἴ τις ἱκανὸς βασανίζων τὸν νοῦν τῶν Γραφῶν ὁρᾷν, τάχα εὑρήσει πολλὰ τῆς τάξεως καὶ τὸ τέλος· οὐκ οἶμαι γὰρ εἰ πάντα. Σαφέστερον δ' ἡ ἀρχὴ καὶ τέλος δοκεῖ κατὰ τὴν συνήθειαν ὡς ἐπὶ ἡνωμένου B λέγεσθαι· οἷον ἀρχὴ οἰκίας ὁ θεμέλιος, καὶ τέλος ἡ στεφάνη. Καὶ ἐφαρμοστέον γε, διὰ τὸ *ἀκρογωνιαῖον* εἶναι *λίθον τὸν Χριστὸν*, τῷ ἡνωμένῳ παντὶ σώματι τῶν σωζομένων τὸ παράδειγμα τό· *πάντα* γὰρ καὶ ἐν πᾶσι Χριστὸς ὁ μονογενὴς, ὡς μὲν ἀρχὴ ἐν ᾧ ἀνείληφεν ἀνθρώπῳ, ὡς δὲ τέλος ἐν τῷ τελευταίῳ τῶν ἁγίων δηλονότι τυγχάνων, καὶ ἐν τοῖς μεταξύ· ἢ ὡς μὲν ἀρχὴ ἐν Ἀδάμ· ὡς δὲ τέλος ἐν τῇ ἐπιδημίᾳ, κατὰ τὸ εἰρημένον· *Ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν*. Πλὴν τοῦτο τὸ ῥητὸν ἐφαρμόσει καὶ τῇ ἀποδόσει τοῦ *πρῶτος* καὶ *ἔσχατος*.

35. Cæterum si observaverimus quæ superius a C nobis dicta fuere de vocabulis *primi* et *ultimi*, ubi tum ad species rationalium, tum ad Filii Dei diversas appellationes et significationes orationem retulimus, habemus etiam differentiam primi, et principii, et ultimi, et finis, quin etiam ejus, quod esse dicitur A et Ω: sed neque obscurum est, quomodo Christus dicatur *vivens*, et *mortuus*, imo post hanc vocem *mortuus*, *vivens in sæcula sæculorum* [98]. Quoniam enim non juvabamur a præcedenti ipsius vita, peccato obnoxii, descendit ipse ad mortalitatem nostram; ut nos ipsius Jesu peccato mortui mortificationem circumferentes [99], ordine capere possimus eam, quæ post mortificationem ipsius exstitit, vitam in sæcula sæculorum. Nam qui semper Jesu mortificationem in suo corpore circum- D ferunt, etiam ipsam Jesu vitam habituri **37** sunt in corporibus ipsorum clare apparentem.

36. Et hæc quidem ipse de seipso in libris Testamenti Novi enuntiavit. Apud Isaiam autem [1] suum

35. Τηρήσαντες μέντοι τὰ εἰρημένα περὶ *πρώτου* καὶ *ἐσχάτου*, καὶ περὶ ἀρχῆς καὶ τέλους, ὅπου μὲν εἰς εἴδη λογικῶν ἀνηνέγκαμεν, ὅπου δὲ εἰς διαφόρους ἐπινοίας τοῦ Υἱοῦ τοῦ Θεοῦ, τὸν λόγον, καὶ ἔχομεν τὴν διαφορὰν πρώτου καὶ ἀρχῆς, καὶ ἐσχάτου καὶ τέλους, ἔτι δὲ καὶ τοῦ α καὶ τοῦ ω. Οὐκ ἄδηλον οὐδὲ τὸ *ζῶν* καὶ *νεκρὸς*, καὶ μετὰ τὸ *νεκρὸς*, *ζῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων*. Ἐπεὶ γὰρ οὐκ ὠφελήμεθα ἀπὸ τῆς προηγουμένης ζωῆς αὐτοῦ, γενόμενοι ἐν ἁμαρτίᾳ, κατέβη ἐπὶ τὴν νεκρότητα ἡμῶν, ἵνα, ἀποθανόντος αὐτοῦ τῇ ἁμαρτίᾳ, τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι (36) περιφέροντες, τὴν μετὰ τὴν νεκρότητα ζωὴν αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων τάξει χωρῆσαι δυνηθῶμεν· οἱ γὰρ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι πάντοτε περιφέροντες καὶ τὴν ζωὴν τοῦ Ἰησοῦ ἕξουσιν ἐν τοῖς σώμασιν αὐτῶν φανερουμένην.

36. Καὶ ταῦτα μὲν ἀπὸ τῶν τῆς Καινῆς Διαθήκης βιβλίων ἐλέγετο ὑπ' αὐτοῦ περὶ ἑαυτοῦ· ἐν δὲ τῷ

[93] Prov. VIII, 22. [94] Joan. I, 3, 4. [95] Ephes. II, 20. [96] I Cor. XV, 28 [97] ibid. 45. [98] Apoc. I, 17, 18. [99] II Cor. IV, 10. [1] cap. XLIX, vers. 2, 3.

(36) Ἐν τῷ σώματι. Deest in codice Bodleiano, neque redditum est ab interprete Ferrario.

Ἡσαΐᾳ ἔφασκεν ὑπὸ τοῦ Πατρὸς τεθεῖσθαι αὐτοῦ τὸ A στόμα ὡς μάχαιραν ὀξεῖαν, καὶ κεκρύφθαι ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ, βέλει ἐκλεκτῷ ὡμοιωμένος, καὶ ἐν τῇ φαρέτρᾳ τοῦ Πατρὸς κεκρυμμένον· δοῦλος τοῦ Θεοῦ τῶν ὅλων ὑπ' αὐτοῦ καλούμενος, καὶ Ἰσραὴλ, καὶ φῶς ἐθνῶν. Μάχαιρα μὲν οὖν ὀξεῖά ἐστι τὸ στόμα τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἐπεὶ *Ζῶν τυγχάνει ὁ Λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας*· ἄλλως τε καὶ ἐλθὼν οὐκ εἰρήνην ἐπὶ τὴν γῆν, τουτέστιν ἐπὶ τὰ σωματικὰ καὶ αἰσθητὰ βαλεῖν, ἀλλὰ μάχαιραν, καὶ διακόπτων τὴν, ἵν' οὕτως εἴπω, ἐπιβλαβῆ φιλίαν ψυχῆς καὶ σώματος, ἵν' ἡ ψυχὴ, ἐπιδιδοῦσα αὐτὴν τῷ B στρατευομένῳ κατὰ τῆς σαρκὸς πνεύματι, φιλιωθῇ τῷ Θεῷ· μάχαιραν, ἢ ὡς μάχαιραν ὀξεῖαν κατὰ τὸν προφητικὸν λόγον ἔσχε τὸ στόμα. Ἀλλὰ καὶ βλέπων τοσούτους τετρωμένους τῇ θείᾳ ἀγάπῃ, ὁμοίως τῇ ὁμολογούσῃ τοῦτο πεπονθέναι ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων διὰ τοῦτο, ὅτι, *τετρωμένη ἀγάπης* (37) *ἐγώ*, τὸ τρῶσαν βέλος τὰς τῶν τοσούτων εἰς ἀγάπην Θεοῦ ψυχὰς οὐκ ἄλλο τι εὑρήσει ἢ τὸν εἰπόντα· *Ἔθηκέ με ὡς βέλος ἐκλεκτόν*.

ipsius os a Patre positum esse dixit, veluti gladium acutum, et se absconditum fuisse sub umbra manus ipsius, assimilatum interim sagittæ electæ, et in Patris pharetra absconditum: servum Dei universorum ab ipso vocatum, et Israelem, et lucem gentium. Gladius itaque acutus est os Filii Dei, quoniam *vivus est sermo Dei, et efficax, et penetrantior quovis gladio utrinque incidente, et pertingens usque ad divisionem animæ simul ac spiritus, compagumque et medullarum, et discretor cogitationum, et notionum cordis* [2]; præsertim cum venerit, non ut mittat pacem super terram [3], hoc est in res corporeas et sensibiles, sed gladium, et ut discindat perniciosam, ut ita loquar, corporis amicitiam et animæ, quo anima permittens seipsam spiritui, qui militat adversus carnem, amicitiam cum Deo ineat; gladium, vel tanquam gladium acutum habuit os juxta propheticum sermonem. Quin etiam inspiciens aliquis tot divino amore sauciatos, non secus atque erat illa, quæ in Cantico canticorum se hoc passam fatebatur, inquiens: *Amore vulnerata ego sum* [4]; is profecto non aliam inventurus est sagittam tam multorum animas amore Dei vulnerantem, quam eum qui dicit [5]: *Posuit me sicut sagittam electam.*

37. Ἔτι δὲ πᾶς ὁ συνιεὶς πῶς τοῖς μαθητευομένοις ὁ Ἰησοῦς γεγένηται οὐχ ὡς ὁ ἀνακείμενος, ἀλλ' ὡς ὁ διακονῶν, μορφὴν δούλου ὁ Υἱὸς τοῦ Θεοῦ ὑπὲρ ἐλευθερίας τῶν δουλευσάντων τῇ ἁμαρτίᾳ λαβὼν, οὐκ ἀγνοήσει τίνα τρόπον ὁ Πατήρ φησι πρὸς αὐτὸν C τό· *Δοῦλός μου εἶ σύ*· καὶ μετ' ὀλίγα· *Μέγα σοί ἐστι τοῦτο κληθῆναί σε παῖδά μου*. Τολμητέον γὰρ εἰπεῖν πλείονα, καὶ θειοτέραν, καὶ ἀληθῶς κατ' εἰκόνα τοῦ Πατρὸς τὴν ἀγαθότητα φαίνεσθαι τοῦ Χριστοῦ, ὅτε *Ἑαυτὸν ἐταπείνωσε, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ*, ἢ εἰ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, καὶ μὴ βουληθεὶς ἐπὶ τῇ τοῦ κόσμου σωτηρίᾳ γενέσθαι δοῦλος. Διὰ τοῦτο, διδάξαι ἡμᾶς βουλόμενος μέγα δῶρον εἰληφέναι ἀπὸ τοῦ Πατρὸς τῷ οὕτως (38) δεδουλευκέναι, φησί· *Καὶ ὁ Θεός μου ἔσται μοι ἰσχύς· καὶ εἶπέ μοι· Μέγα σοί ἐστι τοῦτο κληθῆναί σε παῖδά μου*. Μὴ γενόμενος γὰρ δοῦλος, οὐκ ἂν ἔστησε τὰς φυλὰς τοῦ Ἰακὼβ (39), οὐδὲ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπέστρεψεν, ἀλλ' οὐδὲ ἐγεγόνει ἂν D εἰς φῶς ἐθνῶν τοῦ εἶναι εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. Καὶ μέτριόν γε τὸ δοῦλον αὐτὸν γενέσθαι, εἰ καὶ μέγα ὑπὸ τοῦ Πατρὸς εἶναι τοῦτο λέγεται, συγκρίσει ἀρνίου ἀκάκου καὶ ἀμνοῦ· ὡς γὰρ ἀρνίον ἄκακον γεγένηται ἀγόμενον τοῦ θύεσθαι ὁ Ἀμνὸς τοῦ Θεοῦ, ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ πᾶσι τοῦ λόγου χορηγὸς, ὡμοιωθεὶς ἀμνῷ ἐνώπιον τοῦ κείροντος ἀφώνῳ, ὅπως τῷ θανάτῳ αὐτοῦ ἡμεῖς πάντες καθαρθῶμεν, ἀναδιδομένῳ τρόπον φαρμάκου

37. Ad hæc quisquis intellexerit quonam pacto Jesus factus sit discipulis non tanquam recumbens, sed tanquam ministrans, quippe qui cum Filius Dei esset, pro liberandis iis qui peccato serviebant, formam servi sumpserit, non ignorabit quomodo ad ipsum Pater dicat: *Servus meus es tu* [6], ac mox: *Magnum tibi est, ut voceris servus meus* [7]. Nam nobis audendum est dicere, majorem divinioremque, atque vere secundum imaginem Patris, Christi bonitatem apparere, quando *humilem præbuit semetipsum, factus obediens usque ad mortem, mortem autem crucis* [8], quam, si rapinam arbitratus esse se æqualem Deo [9], noluisset pro mundi salute fieri servus. Ob eam causam volens nos docere magnum donum se a Patre accepisse, quod sic servierit, inquit [10]: *Et Deus meus* **38** *erit mihi fortitudo mea: Et dixit mihi: Magnum tibi est, ut voceris servus meus:* nam servus non factus, non excitasset Jacob, neque dispersionem Israel convertisset: sed neque futurus erat in lucem gentium, ut usque ad extremum terræ salus esset. Et res quidem non usque adeo magna est, quod servus ipse fuerit factus, quamvis a Patre hoc magnum esse dicatur, si conferatur cum agnello, et agno innocente: ut enim agnellus innocens, qui ducitur ut sacrificetur [11], factus est ille Agnus Dei, ut auferat peccatum mundi, et qui omnibus sermonem suppeditat, etiam assimilatus est agnello sine voce coram tondente, ut morte ipsius omnes nos purificemur,

[2] Hebr. IV, 12. [3] Matth. X, 34. [4] Cant. II, 5. [5] Isa. XLIX, 2. [6] Isa. XLIX, 3. [7] ibid. 6. [8] Philip. II, 8. [9] ibid. 6. [10] Isa. XLIX, 5, 6. [11] Isa. LIII, 7.

(37) Ἀγάπης. Sic codex Bodleianus; Huetius in textu ἀγάπῃ.

(38) Τῷ οὕτως. Ita codd. mss.; editio autem Huetii, τὸ οὕτως.

(39) Ἰακὼβ recte habet codex Bodleianus; male autem editio Huetii Ἰσραήλ.

quæ datur instar pharmaci adversus actiones adversarias, et adversus peccatum eorum qui recipere cupiunt veritatem. Siquidem imbelles fecit mors Christi eas potentias quæ humano generi bellum inferunt, et vindicabit a peccato vitam in unoquoque credentium potentia indicibili. Quoniam autem aufert peccatum ut totus sine peccato sit mundus, idque facit donec universos hostes suos atque adeo mortem ipsam, nempe ultimum hostem, devicerit, idcirco Joannes ait [12], ostendens ipsum: *Ecce Agnus Dei, qui tollit peccata mundi:* non inquit, qui tollet aliquando, neque item qui abstulit quidem ante, nunc autem non tollit: non cessat enim ab unoquoque in mundo exsistente peccatum tollere, quoad e toto mundo sublatum fuerit peccatum, ac Servator tradiderit paratum Patri regnum [13], quod quidem eo quod ne leve quidem peccatum superfuturum sit, poterit a Patre recipi, et rursum suscipiet omnia Dei in toto seipso perfecte, quando impletur illud, *ut sit Deus omnia in omnibus* [14]. Dicitur etiam præter hæc vir veniens post Joannem, ante ipsum factus, et ante ipsum exsistens [15], ut edoceamur etiam hominem Filii Dei, divinitati ipsius commistum ante fuisse quam nasceretur ex Maria, quem hominem Baptista dicit se nescire [16]. Quomodo non norat, cum jam subsiliisset præ gaudio infans, et adhuc exsistens in utero Elisabethæ, quando facta est vox salutationis Mariæ ad aures conjugis Zachariæ [17]? Proinde observa num quod Joannes dicit se non nosse [18], referri possit ad id tempus quo nondum ipse Christus in corpore apparuerat. Sin vero non norat ipsum **39** Christum, antequam id temporis apparuisset in corpore, cum tamen ipsum jam agnovisset exsistentem in utero matris, fortasse discit quiddam aliud de eo, diversum ab illo quod agnoscebat, scilicet quod super quem delapsus Spiritus sanctus maneret super eum, hic esset qui baptizaret Spiritu sancto et igni [19]. Etenim si noverat ipsum adhuc ex utero matris, at non noverat omnia quæ ad illum pertinebant. Forte etiam ignorabat ipsum esse qui baptizat in Spiritu sancto et igni, quando vidit Spiritum descendentem et super eum manentem. Attamen virum ipsum etiam antea exsistere norat Joannes.

38. Verumenimvero nullum vocabulum ex his quæ supra diximus, æque Christi pro nobis patrocinium apud Patrem declarat, obsecrantis pro hominum natura, et eam expiantis, atque advoca-

A ἐπὶ τὰς ἀντικειμένας ἐνεργείας, καὶ τὴν τῶν βουλομένων ἀναδέξασθαι τὴν ἀλήθειαν ἁμαρτίαν· ἀτονῆσαι γὰρ ὁ θάνατος τοῦ Χριστοῦ τὰς πολεμούσας τῷ τῶν ἀνθρώπων γένει πεποίηκε δυνάμεις, καὶ ἐξελεύσεσθαι τὴν ἐν ἑκάστῳ τῶν πιστευόντων ζωὴν τῇ ἁμαρτίᾳ ἀφάτῳ δυνάμει. Ἐπεὶ δὲ, ἕως πᾶς ἐχθρὸς αὐτοῦ καταργηθῇ, καὶ τελευταῖός γε ὁ θάνατος, αἴρει τὴν ἁμαρτίαν, ἵν' ὁ πᾶς γένηται χωρὶς ἁμαρτίας κόσμος· διὰ τοῦτο ὁ Ἰωάννης δεικνὺς αὐτόν φησιν· *Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου·* οὐχὶ ὁ μέλλων μὲν αἴρειν, οὐχὶ δὲ καὶ αἴρων ἤδη, καὶ οὐχὶ ὁ ἄρας μὲν, οὐχὶ δὲ καὶ αἴρων, ἔτι γὰρ τὸ (40) αἴρειν ἐνεργεῖ ἀπὸ ἑνὸς ἑκάστου τοῦ ἐν τῷ κόσμῳ, ἕως ἀπὸ παντὸς τοῦ κόσμου ἀφαιρεθῇ ἡ ἁμαρτία, καὶ παραδῷ ἕτοιμον
B βασιλείαν τῷ Πατρὶ ὁ Σωτὴρ, τῷ μὴ εἶναι μηδὲ τὴν τυχοῦσαν ἁμαρτίαν χωροῦσαν τὸ ὑπὸ Πατρὸς βασιλεύεσθαι, καὶ πάλιν ἐπιδεχομένην τὰ πάντα τοῦ Θεοῦ ἐν ὅλῃ ἑαυτῇ καὶ πάσῃ, ὅτε πληροῦται τὸ, *Ἵνα γένηται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.* Ἀλλὰ καὶ ἀνὴρ πρὸς τούτοις λέγεται ὀπίσω Ἰωάννου ἐρχόμενος, ἔμπροσθεν αὐτοῦ γεγενημένος, καὶ πρὸ αὐτοῦ ὢν, ἵνα διδαχθῶμεν καὶ τὸν ἄνθρωπον τοῦ Υἱοῦ (41) τοῦ Θεοῦ, τὸν τῇ θεότητι αὐτοῦ ἀνακεκραμμένον, πρεσβύτερον εἶναι τῆς ἐκ Μαρίας γενέσεως, ὅντινα ἄνθρωπόν φησιν ὁ Βαπτιστὴς ὅτι οὐκ ᾔδει. Πῶς δὲ οὐκ ᾔδει ὁ σκιρτήσας ἐν ἀγαλλιάσει ἔτι βρέφος τυγχάνων ἐν τῇ κοιλίᾳ τῆς Ἐλισάβετ, ὅτε ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ τῆς Μαρίας εἰς τὰ ὦτα τῆς Ζαχαρίου γυναικός; Ἐπίστησον οὖν εἰ δύναται τὸ
C « οὐκ ᾔδειν » κατὰ τὰ πρὸ σώματος λέγειν. Εἰ δὲ καὶ οὐκ ᾔδει μὲν αὐτὸν πρὸ τοῦ τότε ἥκειν εἰς σῶμα, ἔγνω δὲ ἔτι ὄντα ἐν τῇ κοιλίᾳ τῆς μητρὸς, τάχα μανθάνει τι περὶ αὐτοῦ ἕτερον παρ' ὃ ἐγίνωσκεν, ὅτι ἐφ' ὃν ἂν τὸ πνεῦμα καταβὰν μείνῃ ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Καὶ γὰρ εἰ ᾔδει αὐτὸν ἔτι ἐκ κοιλίας μητρὸς, οὔτι γε ἐγίνωσκε πάντα τὰ περὶ αὐτοῦ. Τάχα δὲ καὶ ἠγνόει, ὅτι οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ, ὅτε τεθέαται τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν. Πλὴν ἄνδρα αὐτὸν τυγχάνοντα καὶ πρῶτον οὐκ ᾔδει (42) ὁ Ἰωάννης.

D 38. Οὐδὲν δὲ τῶν προειρημένων ὀνομάτων τὴν περὶ ἡμῶν πρὸς τὸν Πατέρα προστασίαν αὐτοῦ δηλοῖ παρακαλοῦντος ὑπὲρ τῆς ἀνθρώπων φύσεως καὶ ἱλασκομένου, ὡς ὁ παράκλητος (43), καὶ ἱλασμὸς,

[12] Cap. I, vers. 29. [13] I Cor. xv, 24. [14] ibid. 28. [15] Joan. I, 15, 27, 30. [16] ibid. 30, 33. [17] Luc. I, 41, 44. [18] Joan. I, 31, 33. [19] Joan. I, 33.

(40) *Ἔτι γὰρ τὸ*, etc. Sic recte mss., male vero editio Huetii, ἐπὶ γὰρ τὸ, etc.

(41) *Ἵνα διδαχθῶμεν, καὶ τὸν ἄνθρωπον τοῦ Υἱοῦ*, etc. Animas omnes corporibus antiquiores credidit Origenes, quod dogma ad ipsam quoque Christi animam pertinere voluit. Hanc autem Verbo conjunctam fuisse, antequam corpori adjungeretur, ipse quoque docuit lib. II, *De principiis*, c. 6. *Illa anima*, inquit, *de qua dixit Jesus*, quia nemo auferet a me animam meam, *ab initio creaturæ, et deinceps, inseparabiliter ei, atque indissociabiliter inhærens, utpote sapientiæ et Verbo Dei, et veritati, ac luci veræ, et tota totum recipiens, atque in ejus lucem splendoremque ipsa cedens, facta est cum ipso principaliter unus spiritus.* Sed hæc disputantur in *Origenianis*. Huetius.

(42) *Οὐκ ᾔδει.* Οὐκ illud non agnoscit Ferrarius, quod Perionius post codicem Regium et Barberinum repræsentat.

(43) *Ὡς ὁ παράκλητος.* Sic recte habent codd. Bodleianus et Barberinus. In editione Huetii deest ὡς.

(A) καὶ τὸ ἱλαστήριον· ὁ μὲν παράκλητος ἐν τῇ Ἰωάννου λεγόμενος Ἐπιστολῇ· *Ἐὰν γάρ τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον. Καὶ οὗτος ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν.* Καὶ ὁ ἱλασμὸς ἐν τῇ αὐτῇ Ἐπιστολῇ λεγόμενος ἱλασμὸς εἶναι περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Ὁμοίως δὲ καὶ ἐν τῇ πρὸς Ῥωμαίους, ἱλαστήριον· *Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως*· οὗ ἱλαστηρίου εἰς τὰ ἐσώτατα (44) καὶ Ἅγια τῶν ἁγίων σκιά τις ἐτύγχανε τὸ χρυσοῦν ἱλαστήριον, ἐπικείμενον τοῖς δυσὶ χερουβίμ. Πῶς δ' ἂν παράκλητος καὶ ἱλασμὸς καὶ ἱλαστήριον, χωρὶς δυνάμεως Θεοῦ ἐξαφανιζούσης ἡμῶν τὴν ἀσθένειαν γενέσθαι οἷός τε ἦν, ἐπιῤῥεούσης ταῖς τῶν πιστευόντων ψυχαῖς, ὑπὸ Ἰησοῦ διακονουμένης, ἧς πρῶτός (B) ἐστιν αὐτοδύναμις Θεοῦ, δι' ὃν εἴποι τις ἄν· *Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ;* Διόπερ Σίμωνα τὸν μάγον αὐτὸν ἀναγορεύοντα δύναμιν Θεοῦ, τὴν καλουμένην μεγάλην, ἴσμεν ἅμα τῷ ἀργυρίῳ αὐτοῦ εἰς ὄλεθρον καὶ ἀπώλειαν κεχωρηκέναι· Χριστὸν δὲ ὁμολογοῦντες ἀληθῶς εἶναι δύναμιν Θεοῦ, πάντα τὰ ὅπου ποτὲ δυναμούμενα μετέχειν αὐτοῦ, καθὸ δύναμίς ἐστι, πεπιστεύκαμεν.

39. Μὴ παρασιωπηθήτω δ' ἡμῖν, μηδὲ Θεοῦ σοφία εὐλόγως τυγχάνων, καὶ διὰ τοῦτο τοῦτ' εἶναι λεγόμενος· οὐ γὰρ ἐν ψιλαῖς φαντασίαις τοῦ Θεοῦ καὶ Πατρὸς τῶν ὅλων τὴν ὑπόστασιν ἔχει ἡ σοφία αὐτοῦ, κατὰ τὰ ἀνάλογον τοῖς ἀνθρωπίνοις ἐννοήμασι φαντάσματα. Εἰ δέ τις οἷός τέ ἐστιν ἀσώματον ὑπόστασιν (C) ποικίλων θεωρημάτων, περιεχόντων τοὺς τῶν ὅλων λόγους, ζῶσαν, καὶ οἱονεὶ ἔμψυχον ἐπινοεῖν, εἴσεται τὴν ὑπὲρ πᾶσαν κτίσιν σοφίαν τοῦ Θεοῦ καλῶς περὶ αὐτῆς λέγουσαν· *Ὁ Θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ*, δι' ἣν κτίσιν δεδύνηται καὶ πᾶσα κτίσις ὑφεστάναι, οὐκ ἀνένδοχος οὖσα θείας σοφίας καθ' ἣν γεγένηται· *Πάντα* γάρ, κατὰ τὸν προφήτην Δαυΐδ, *ἐν σοφίᾳ ἐποίησεν ὁ Θεός*. Ἀλλὰ πολλὰ μὲν μετοχῇ σοφίας γεγένηται, οὐκ ἀντιλαμβανόμενα αὐτῆς ᾗ ἔκτισται· σφόδρα δὲ ὀλίγα οὐ μόνον τὴν περὶ αὐτῶν καταλαμβάνει σοφίαν, ἀλλὰ καὶ περὶ πολλῶν ἑτέρων Χριστοῦ τῆς πάσης τυγχάνοντος σοφίας. Ἕκαστος δὲ τῶν σοφῶν καθ' ὅσον χωρεῖ σοφίας, τοσοῦτον μετέχει Χριστοῦ, καθὸ σοφία ἐστίν· ὥσπερ ἕκαστος τῶν δύναμιν ἐχόντων κρείττονα (D) ὅσον εἴληχε τῆς δυνάμεως, τοσοῦτον Χριστοῦ, καθὸ δύναμίς ἐστι, κεκοινώνηκε. Τὸ παραπλήσιον δὲ καὶ περὶ ἁγιασμοῦ καὶ ἀπολυτρώσεως νοητέον. Αὐτὸς μὲν γὰρ ἁγιασμός, ὅθεν οἱ ἅγιοι ἁγιάζονται, ἡμῖν ὁ Ἰησοῦς γεγένηται καὶ ἀπολύτρωσις· ἕκαστος δὲ ἡμῶν ἐκείνῳ τῷ ἁγιασμῷ ἁγιάζεται, καὶ κατ' ἐκείνην ἀπολύτρωσιν ἀπολυτροῦται. Ἐπίστησον δὲ εἰ μὴ μάτην τὸ *ἡμῖν* παρὰ τῷ Ἀποστόλῳ προσκαλεῖται (45), λέγοντι· *Ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ*

tus, et propitiatio, et propitiator: et advocatum quidem nuncupat eum Joannes in Epistola sua dicens [20]: *Si peccaverit quis, advocatum habemus apud Patrem Jesum Christum justum.* Dicitur etiam propitiatio ab eodem in eadem Epistola [21]: *Et hic propitiatio est pro peccatis nostris.* Similiter in Epistola ad Romanos [22], propitiator; *quem proposuit Deus propitiatorem per fidem*, cujus propitiatorii erat umbra quædam aureum illud propitiatorium duobus impositum cherubim in intima, et Sancta sanctorum. Quomodonam vero advocatus, et propitiatio, tum etiam propitiatorium esse posset Jesus absque Dei potentia, quæ nostram abolet infirmitatem, et quæ in credentium animos influit, et a Jesu subministratur, qui ea prior est, cum sit ipsa Dei potentia, per quem etiam dicat aliquis [23]: *Omnia possum per Christum, qui me corroborat?* Quapropter Simonem quidem illum Magum seipsum prædicantem esse potentiam Dei, quæ vocatur magna, scimus una cum suo argento in interitum et perditionem abiisse [24]; nos vero Christum vere Dei potentiam esse fatentes, quæcunque res vi pollent, ipsius esse participes persuasum habemus.

39. Illud autem silentio non prætereundum, Jesum Dei sapientiam merito exsistere, et hanc ob causam hoc nomine appellari: quippe cum non in nudis visionibus Dei et Patris universorum substantiam habeat sapientia ipsius, perinde atque phantasmata cogitationum humanarum. Quod si quis potest incorpoream substantiam variarum speculationum, quæ omnium rationes continent, viventem et **40** veluti animatam considerare, is plane sciet Dei sapientiam omni creatura longe præstantem, ac bene de seipsa dicere: *Deus creavit me initium viarum suarum, ad opera ejus* [25], per quam creationem potuit quævis creatura subsistere, haud expers exsistens divinæ sapientiæ, per quam facta est; quandoquidem, teste Davide [26], *In sapientia fecit omnia Deus.* Sed multa quidem participatione sapientiæ orta sunt, quæ vicissim non assequuntur eam qua creata sunt; perpauca autem sunt, quæ non modo eam quæ ad se, verum etiam quæ ad multa alia spectat, sapientiam assequuntur, cum Christus sit universa sapientia. Quilibet autem sapiens, quatenus sapientiam capit, fit Christi, in quantum est sapientia, particeps: quemadmodum unusquisque viribus longe præcellens, quantum particeps est potentiæ, tantumdem etiam Christi, quatenus est potentia, est particeps. Quod idem etiam de sanctificatione, et de redemptione sentiendum est. Ipsa siquidem sanctificatio, unde sancti sumunt sanctificationem, et redemptio Christus nobis factus est; unusquisque autem nostrum illa

[20] I Joan. II, 1. [21] ibid. 2. [22] cap. III, vers. 25. [23] Philip. IV, 13. [24] Act. VIII, 9, 10, 20. [25] Prov. VIII, 22. [26] Psal. CIII, 24.

(44) *Εἰς τὰ ἐσώτατα.* Sic recte mss., male vero editio Huetii εἰς τὰ ἔσω, τά.

(45) *Παρὰ τῷ Ἀποστόλῳ προσκαλεῖται.* Codices Regius et Bodleianus, περὶ τῷ Ἀποστόλῳ προσκαλεῖται, sed codex Barberinus recte habet ad marginem παρὰ τῷ Ἀποστόλῳ πρόσκειται.

sanctificatione sanctificatur et illa redemptione redimitur. Observa autem an particulam *nobis* minime frustra addiderit Apostolus, dicens [27] : *Qui factus est nobis sapientia a Deo, et justitia, et sanctificatio, et redemptio.* Itidemque observa Apostolum non ab re alibi dixisse absolute Christum, Dei sapientiam, et Dei potentiam, quatenus potentia et sapientia est, etiamsi nos existimassemus eum non esse potentiam Dei, neque sapientiam in universum, sed nobis. Nunc autem Jesum scribens Apostolus sapientiam esse ac potentiam, aliquoties vocabulum *nobis* addit, aliquoties non addit, absolute eum sapientiam, et potentiam scribens, cum idem interim non faciat, scribens eum esse sanctificationem et redemptionem. Quocirca vide, *quoniam qui sanctificat, et qui sanctificantur ex uno omnes* [28], an ipsius, qui est nostra sanctificatio, sanctificatio sit Pater; quemadmodum ipsius Christi, qui est nostrum caput, caput est Pater. Est autem redemptio nostra Christus, eo quod in captivitatem abducti opus habuimus redemptione. Nec ipsius redemptionem quæro, *qui tentatus est per omnia juxta similitudinem absque peccato* [29], sed nunquam ab hostibus factus captivus.

A *Θεοῦ, δικαιοσύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις*· καὶ εἰ μὴ ἐν ἄλλοις περὶ τοῦ Χριστοῦ καθὸ σοφία ἐστὶν ἀπολελυμένως ἐλέγετο, καὶ καθὸ δύναμις, ὅτι Χριστὸς Θεοῦ δύναμίς ἐστι, καὶ Θεοῦ σοφία, κἂν ὑπενοήσαμεν μὴ καθάπαξ αὐτὸν εἶναι σοφίαν, μηδὲ δύναμιν Θεοῦ, ἀλλὰ ἡμῖν. Νῦν δὲ ἐπὶ μὲν τῆς σοφίας καὶ δυνάμεως πρὸς τῷ *ἡμῖν* καὶ τὸ ἀπόλυτον ἀναγέγραπται, ἐπὶ δὲ τοῦ ἁγιασμοῦ καὶ τῆς ἀπολυτρώσεως ἡ αὐτὴ ἀπόφασις οὐκ εἴρηται. Διόπερ ὅρα, *ἐπεὶ ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες*, εἰ αὐτοῦ τοῦ ἡμετέρου ἁγιασμοῦ ἁγιασμός ἐστιν ὁ Πατήρ· ὥσπερ Χριστοῦ ὄντος ἡμετέρας κεφαλῆς, ὁ Πατὴρ αὐτοῦ ἐστι κεφαλή. Ἀπολύτρωσις δὲ ἡμῶν ὁ Χριστὸς τῶν διὰ τὸ ᾐχμαλωτεῦσθαι ἀπολυτρώσεως δεδεημένων. Αὐτοῦ B δὲ τὴν ἀπολύτρωσιν οὐ ζητῶ, *τοῦ πεπειραμένου κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας*, καὶ μηδέποτε ὑπὸ τῶν ἐχθρῶν εἰς αἰχμαλωσίαν κεκρατημένου.

40. Cum semel autem distinxerimus inter voculam *nobis* et voculam *simpliciter*, dicentes non simpliciter sanctificationem et redemptionem scribi a Paulo esse Christum, sed cum additamento *nobis* (cum potentia et sapientia dicatur, et cum additamento 41 *nobis*, et simpliciter sine vocula *nobis*), non sinere debemus inexploratum sermonem de justitia. Et quod quidem justitia nobis sit Christus, perspicuum est ex eo : *Qui factus est nobis sapientia a Deo, et justitia, et sanctificatio, et redemptio* [30]. Quod si non invenimus ipsum justitiam simpliciter dici, quemadmodum simpliciter sapientia, et potentia Dei dicitur, inquirendum est an ipsi Christo, quemadmodum sanctificatio est Pater, ita etiam justitia sit Pater. Neque enim injustitia est apud Deum [31], et justus et sanctus est Dominus, et in justitia judicia ejus [32]. Justus autem cum sit, juste omnia dispensat. Quod autem attinet ad id quod hæretici dicunt, diversum scilicet esse justum a bono, sed quod ipsi non explanant, existimantes justum quidem esse mundi Opificem, Christi autem Patrem bonum, mea sententia, accurate examinatum posset dici de Patre et Filio, Filio quidem exsistente justitia, qui accepit potestatem faciendi judicium, *quoniam Filius hominis est* [33], et *judicabit orbem terrarum in justitia* [34]; Patre vero (eos qui in Filii justitia eruditi fuerint post Christi regnum beneficio afficiente) boni vocabulum operibus ostensuro, quando fuerit Deus omnia in omnibus [35]. Cujus fortassis justitia Servator instruit omnia, temporibus idoneis, et ratione, et or-

40. Ἅπαξ δὲ διασταλέντων τοῦ *ἡμῖν*, καὶ τοῦ *ἁπλῶς*· *ἡμῖν* μὲν, καὶ οὐχ ἁπλῶς τοῦ ἁγιασμοῦ καὶ τῆς ἀπολυτρώσεως· καὶ *ἡμῖν* δὲ καὶ ἁπλῶς τῆς σοφίας καὶ τῆς δυνάμεως, οὐκ ἀνεξέταστον ἐατέον τὸν περὶ τῆς δικαιοσύνης λόγον. Καὶ ὅτι μὲν ἡμῖν δικαιοσύνη Χριστὸς, δῆλον ἐκ τοῦ· *Ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ Θεοῦ, δικαιοσύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις*· ἐὰν δὲ μὴ εὑρίσκωμεν ἁπλῶς αὐτὸν δικαιο- C σύνην, ὥσπερ ἁπλῶς σοφίαν καὶ δύναμιν Θεοῦ, βασανιστέον εἰ καὶ αὐτῷ τῷ Χριστῷ, ὥσπερ ἁγιασμὸς ὁ Πατὴρ, οὕτω καὶ δικαιοσύνη ὁ Πατήρ. Καὶ γὰρ οὐκ ἀδικία παρὰ τῷ Θεῷ, καὶ δίκαιος καὶ ὅσιος Κύριος, καὶ ἐν δικαιοσύνῃ τὰ κρίματα αὐτοῦ· δίκαιος δὲ ὢν, δικαίως τὰ πάντα διέπει. Τὸ δὲ ὃ ἦν ἂν τοὺς ἀπὸ τῶν (46) αἱρέσεων εἰς τὸ ἕτερον εἰπεῖν τὸν δίκαιον τοῦ ἀγαθοῦ, μὴ τρανωθὲν δὲ παρ' αὐτοῖς, οἰηθεῖσι δίκαιον μὲν εἶναι τὸν δημιουργὸν, ἀγαθὸν δὲ τὸν τοῦ Χριστοῦ Πατέρα, οἶμαι μετ' ἐξετάσεως (47) ἀκριβῶς βασανισθὲν δύνασθαι λέγεσθαι ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· τοῦ μὲν Υἱοῦ τυγχάνοντος δικαιοσύνης, ὃς ἔλαβεν ἐξουσίαν κρίσιν ποιεῖν, *Ὅτι Υἱὸς ἀνθρώπου ἐστὶ, καὶ κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ*· D τοῦ δὲ Πατρὸς τοὺς ἐν τῇ δικαιοσύνῃ τοῦ Υἱοῦ παιδευθέντας μετὰ τὴν Χριστοῦ βασιλείαν εὐεργετοῦντος, τὴν *ἀγαθὸς* προσηγορίαν ἔργοις δείξοντος, ὅταν γένηται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι. Καὶ τάχα τῇ αὐτοῦ δικαιοσύνῃ ὁ Σωτὴρ εὐτρεπίζει τὰ πάντα, καιροῖς ἐπιτηδείοις, καὶ λόγῳ, καὶ τάξει, καὶ κολάσεσι, καὶ τοῖς, ἵν' οὕτως εἴπω, πνευματικοῖς αὐτοῦ ἰατρικοῖς βοηθήμασι, πρὸς τὸ χωρῆσαι ἐπὶ τέλει τὴν ἀγαθότητα τοῦ Πατρὸς, ἥντινα νοήσας πρὸς τὸν Μονογενῆ λέ-

[27] I Cor. I, 30. [28] Hebr. II, 11. [29] Hebr. IV, 15. [30] I Cor. I, 30. [31] Joan. VII, 18. [32] Apoc. XVI, 5, 7. [33] Joan. V, 27. [34] Psal. XCVII, 9. [35] I Cor. XV, 28.

(46) *Τὸ δὲ ὃ ἦν ἂν τούς*, etc. Legendum fortasse τὸ δὲ κινῆσαν τοὺς, etc.

(47) *Οἶμαι μετ' ἐξετάσεως*. Deest οἶμαι in textu Huetii, sed illud repræsentant codices Bodleianus et Barberinus.

γοντα, *Διδάσκαλε ἀγαθέ*· φησὶ, *Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεὸς ὁ Πατήρ.* Τὸ δ' ὅμοιον ἐν ἑτέροις ἐδείξαμεν, καὶ ἐπὶ τοῦ μείζονά τινα εἶναι τοῦ δημιουργοῦ, δημιουργὸν μὲν ἐκλαβόντες τὸν Χριστὸν, μείζονα δὲ τούτου τὸν Πατέρα. Ἐπεὶ δὴ ὁ τὰ τοσαῦτα τυγχάνων, ὁ παράκλητος, ὁ ἱλασμὸς, τὸ ἱλαστήριον, συμπαθήσας ταῖς ἀσθενείαις ἡμῶν, τῷ πεπειρᾶσθαι κατὰ πάντα τὰ ἀνθρώπινα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας, μέγας ἐστὶν ἀρχιερεὺς, οὐχ ὑπὲρ ἀνθρώπων μόνων, ἀλλὰ καὶ παντὸς λογικοῦ, τὴν ἅπαξ θυσίαν προσενεχθεῖσαν ἑαυτὸν ἀνενεγκών· *Χωρὶς γὰρ Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου* (ὅπερ ἔν τισι κεῖται (48) τοῖς πρὸς Ἑβραίους ἀντιγράφοις), *χάριτι Θεοῦ*· εἴτε δὲ χωρὶς Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, οὐ μόνον ὑπὲρ ἀνθρώπων ἀπέθανεν, ἀλλὰ καὶ ὑπὲρ τῶν λοιπῶν λογικῶν· εἴτε χάριτι Θεοῦ ἐγεύσατο τοῦ ὑπὲρ παντὸς θανάτου, ὑπὲρ πάντων χωρὶς Θεοῦ ἀπέθανε· χάριτι γὰρ Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου· καὶ γὰρ ἄτοπον ὑπὲρ ἀνθρωπίνων μὲν αὐτὸν φάσκειν ἁμαρτημάτων γεγευσθαι (49) θανάτου, οὐκ ἔτι δὲ καὶ ὑπὲρ ἄλλου τινὸς παρὰ τὸν ἄνθρωπον ἐν ἁμαρτήμασι γεγενημένου· οἷον ὑπὲρ ἄστρων (50)· οὐδὲ τῶν ἄστρων πάντως καθαρῶν ὄντων ἐνώπιον τοῦ Θεοῦ, ὡς ἐν τῷ Ἰὼβ ἀνέγνωμεν· *Ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ*, εἰ μὴ ἄρα ὑπερβολικῶς τοῦτο εἴρηται. Διὰ τοῦτο μέγας ἐστὶν ἀρχιερεὺς, ἐπειδήπερ πάντα ἀποκαθίστησι τῇ τοῦ Πατρὸς βασιλείᾳ, οἰκονομῶν τὰ ἐν ἑκάστῳ τῶν γενητῶν ἐλλιπῆ ἀναπληρωθῆναι, πρὸς τὸ χωρῆσαι δόξαν πατρικήν. Οὗτος ὁ ἀρχιερεὺς κατά τινα ἑτέραν παρὰ τὰ εἰρημένα ἐπίνοιαν Ἰούδας ὀνομάζεται, ἵνα οἱ ἐν κρυπτῷ Ἰουδαῖοι μὴ ἀπὸ τοῦ Υἱοῦ Ἰακὼβ Ἰούδα Ἰουδαῖοι χρηματίζωσιν, ἀλλὰ ἀπὸ τούτου, ὄντες αὐτοῦ ἀδελφοὶ, καὶ αἰνοῦντες αὐτὸν, ἀντιλαμβανόμενοι τῆς ἐλευθερίας, ἣν ἐλευθεροῦνται ὑπ' αὐτοῦ, ῥυσθέντες ἀπὸ τῶν ἐχθρῶν αὐτοῦ, τὰς χεῖρας αὐτοῦ τῷ νώτῳ αὐτῶν ἐπιτιθέντος, καὶ ὑποτάξαντος αὐτούς. Ἀλλὰ καὶ πτερνίσας τὴν ἀντικειμένην ἐνέργειαν, μόνος τε ὁρῶν τὸν Πατέρα, καὶ ὅτε ἄνθρωπος γεγένηται, Ἰακώβ ἐστι καὶ Ἰσραὴλ, ἀφ' οὗ, ὥσπερ γινόμεθα φῶς, φωτὸς ὄντος τοῦ κόσμου, οὕτως Ἰακὼβ, καλουμένου Ἰακὼβ, καὶ Ἰσραὴλ, ὀνομαζομένου Ἰσραήλ.

A dine, et punitionibus, et spiritualibus, ut ita loquar, auxiliis suis medicinalibus ad capiendum in fine Patris bonitatem. Cujus vim probe tenens Servator illi qui sibi Unigenito dicebat [36], *Præceptor bone, Cur me*, inquit, *appellas bonum? Nemo bonus nisi unus*, nempe ille *Deus*, ille *Pater*. Simile vero etiam in aliis ostendimus, tum vero maxime in hoc quod dicunt majorem esse aliquem mundi Opifice, per mundi Opificem interpretantes Christum, per hoc vero majorem Patrem. Hic igitur qui tot nominibus nuncupatur, advocatus, propitiatio, propitiatorium, compassus infirmitatibus nostris, tentatus in omnibus humanis juxta similitudinem sine peccato [37], magnus est Pontifex, non modo pro hominibus, sed etiam pro omni quod rationis B est capax, hostiam semel oblatam seipsum offerens: *Sine Deo* enim, vel *per gratiam Dei* (ut in quibusdam exemplaribus Epistolæ ad Hebræos ponitur), *pro omni gustavit mortem* [38]: sed sive sine Deo pro omni gustavit mortem, **42** non solum pro hominibus mortuus est, verum etiam pro cæteris rationis capacibus: sive per gratiam Dei pro omni gustavit mortem, pro omnibus sine Deo mortuus est: per gratiam namque Dei pro omni gustavit mortem: etenim absurdum est pro peccatis quidem humanis dicere eum mortem gustasse, non ita vero pro quibuscunque etiam aliis qui præter hominem in peccatis essent, verbi gratia pro astris, nimirum neque astris omnino coram Deo puris C exsistentibus, veluti legimus apud Job [39]: *Astra autem non sunt munda in conspectu ejus*, nisi forte hoc hyperbolice dictum est. Ob eam causam magnus est Pontifex, quoniam regno Patris omnia restituit, faciens ea repleri quæ in unoquoque mortalium desunt, ut capiant paternam gloriam. Sane hic magnus Pontifex juxta aliam considerationem Judas vocatur, ut qui in occulto sunt Judæi [40], non a Juda Jacob filio nominentur, sed ab hoc, existentes ipsius fratres, et laudantes eum [41], adipiscentes libertatem, qua liberantur ab ipso, et liberati ab hostibus suis, ipso scilicet manus suas in illorum dorsum imponente et subjiciente ipsos. Præterea cum supplantaverit actionem oppositam, et solus videat Patrem (etiam quando homo factus est), Jacob est et Israel, a quo vocato Jacob et Israel, ita vocamur etiam nos Jacob et Israel, ut ab ipso, qui est lux mundi, lux etiam nuncupamur.

41. Ἐπεὶ δὲ παραλαμβάνει τὴν βασιλείαν ἀπὸ βασιλέως, ὃν ἑαυτοῖς ἐβασίλευσαν οἱ υἱοὶ Ἰσραὴλ, καὶ οὐ διὰ τοῦ Θεοῦ ἄρξαντες αὐτὸν, καὶ μὴ γνωρίσαντες τῷ Θεῷ, πολέμους τε τοῦ Κυρίου πολεμῶν ἑτοιμάζει εἰρήνην τῷ υἱῷ αὐτοῦ λαῷ, τάχα δὲ διὰ τοῦτο Δαυῒδ προσαγορεύεται· καὶ μετὰ ταῦτα ῥάβδος, τοῖς δεομέ-

D 41. Quoniam autem accipit regnum a rege, quem sibi præfecerant filii Israel, cuique imperium, Deo neutiquam annuente, tradiderant, neque Deo conciliaverant; et quoniam bella Domini gerens filio suo (nempe populo) pacem comparat, fortassis hanc ob causam David vocatur: deinde virga [42] nimi-

[36] Matth. XIX, 16, 17. [37] Hebr. IV, 15. [38] Hebr. II, 9. [39] Cap. XXV, vers. 5. [40] Rom. II, 29. [41] Genes. XLIX, 8. [42] Isa. XI, 1.

(48) *Ὅπερ ἔν τισι κεῖται*, etc. Lege ἢ ὅπερ. Origenes infra tom. XXVIII, n. 13, *in Joan.* XI, 49, 50.: Καὶ συγχρήσεται τῷ, ὅπως χάριτι, ἢ, χωρὶς Θεοῦ ὑπὲρ παντὸς γεύσεται θανάτου. Posteriorem quoque hanc lectionem sequitur Ambrosius lib. II *De fide, ad Gratianum*, cap. 4. Immerito igitur Nestorianis loci hujus depravationem tribuit Græcus ille scholiastes quem laudat Beza, utpote quæ jam longe ante Nestorium exstaret. HUETIUS.

(49) *Γεγεῦσθαι.* Sic codex Bodleianus. Editio Huetii, γεύσασθαι. Mox idem codex Bodleianus recte habet παρὰ τὸν ἄνθρωπον, male editio Huetii παρὰ τῶν ἀνθρώπων.

(50) *Οἷον ὑπὲρ ἄστρων.* In *Origenianis* quæstio de morte a Christo pro sideribus obita ventilatur.

rum his qui etiamnum laboriosa ac duriore vitæ institutione indigent, cum necdum seipsos amori mansuetudinique Patris permiserint. Hanc ob causam si virga vocatur, egredietur, neque enim manet intra se, sed extra primigenium statum esse videtur. Cumque egressus fuerit factus virga, non manet virga, sed post virgam exoritur flos ascendens. Unde ipsam virgæ extremitatem florem esse conspiciunt illi qui ab eo facto virga visitati fuerint. Visitabit enim Deus in virga (nempe Christo) iniquitates eorum quos visitabit, misericordiam **43** vero non disperget ab eo [41]. Ipsum namque miseratur, quandoquidem quos miseratur Filius, miseratur et Pater. Possumus autem non de iisdem accipere, factum fuisse ipsum virgam et florem; sed virgam quidem egentibus punitione, florem vero his qui servantur; sed melius arbitror quod prius dixi. Attamen hoc etiam in hoc loco addendum est, fortasse futurum ut cui fuerit Christus virga, sit illi etiam propter virgæ extremitatem omnino flos, sed non contra; neque enim si alicui flos, huic etiam est virga: nisi forte quod flos sit perfectior flore, ipsaque florum emissione, quæ de iis dicitur qui fructus perfectos nondum tulerunt, perfecti id quod supra florem Christi est, capiant. Qui vero ipsius virga tentati fuerint, simul cum ipsa virga futuri non sunt participes perfectionum Christi, sed tantum floris præcedentis fructus ipsius. Denique antequam ad vocis Λόγος examen accedamus, lapis est Christus reprobatus ab ædificantibus, et in caput anguli ordinatus [42]. Quoniam enim lapides vivi ædificantur in fundamento, aliis lapidibus apostolorum et prophetarum, ipso Jesu Christo Domino nostro exsistente summo angulari lapide [43], eo quod ipse sit pars structuræ quæ est ex lapidibus viventibus in regione viventium, lapis appellatur. Hæc autem a nobis dicta sunt redarguere multos volentibus, qui privata quadam electione et utuntur, et segnes sunt in indagando, nam tot nomina cum sint quæ ad Christum referantur, in solo τοῦ λόγου [id est rationis et sermonis] vocabulo acquiescentes non expendunt curnam tandem Filius Dei, Deus in principio apud Patrem, inscriptus sit Λόγος per quem omnia facta sunt [44].

A νοις ἐπιπόνου καὶ σκληροτέρας ἀγωγῆς, καὶ μὴ ἐμπαρεσχηκόσιν (51) ἑαυτοὺς τῇ ἀγάπῃ καὶ τῇ πραότητι τοῦ Πατρός. Διὰ τοῦτο, ἐὰν ῥάβδος καλεῖται, ἐξελεύσεται· οὐ γὰρ μένει ἐν αὐτῷ, ἀλλ' ἔξω τῆς προηγουμένης καταστάσεως εἶναι δοκεῖ. Ἐξελθὼν δὲ καὶ γενόμενος ῥάβδος, οὐ μένει ῥάβδος, ἀλλὰ μετὰ τὴν ῥάβδον ἄνθος γίνεται ἀναβαῖνον, καὶ πέρας τοῦ εἶναι ῥάβδος τὸ ἄνθος ἀποδείκνυται τοῖς διὰ τοῦ αὐτὸν γεγονέναι ῥάβδον ἐπισκοπῆς τετυχηκόσιν (52). Ἐπισκέψεται γὰρ ὁ Θεὸς ἐν ῥάβδῳ τῷ Χριστῷ τὰς ἀνομίας αὐτῶν ὧν ἐπισκέψεται· τὸ δὲ ἔλεος (53) οὐ μὴ διασκεδάσει ἀπ' αὐτοῦ· αὐτὸν γὰρ ἐλεεῖ, ὅτε οὓς βούλεται ὁ Υἱὸς ἐλεεῖσθαι, ὁ Πατὴρ ἐλεεῖ. Ἔστι δὲ καὶ μὴ ἐπὶ τῶν αὐτῶν λαμβάνειν, ῥάβδον αὐτὸν γίνεσθαι καὶ ἄνθος, ἀλλὰ ῥάβδος μὲν τοῖς δεομένοις κολάσεως, B ἄνθος δὲ τοῖς σωζομένοις· βέλτιον δ' οἶμαι τὸ πρότερον. Πλὴν τοῦτο προσθετέον κατὰ τὸν τόπον, ὅτι τάχα διὰ τὸ τέλος, εἴ τινι μὲν γίνεται ῥάβδος, ἐστὶ πάντως καὶ ἄνθος, οὐ μὴν (54), εἴ τινι ἄνθος, ἐκείνῳ πάντως καὶ ῥάβδος· εἰ μὴ ἄρα, ἐπεί ἐστιν ἄνθος τελειότερον τοῦ ἄνθους, καὶ τοῦ ἀνθεῖν ἐπὶ τῶν μηδέπω τελείως καρποφορούντων ὀνομαζομένου, οἱ τέλειοι τὸ ὑπὲρ τὸ ἄνθος χωροῦσι τοῦ Χριστοῦ· οἱ δὲ ῥάβδου αὐτοῦ (55) πεπειραμένοι, ἅμα τῇ ῥάβδῳ οὐ τῆς τελειότητος αὐτοῦ, ἀλλὰ τοῦ ἄνθους τοῦ πρὸ τῶν καρπῶν αὐτοῦ μεταλήψονται. Τελευταῖον πρὸ τοῦ Λόγου ἦν λίθος ὁ Χριστὸς ἀποδοκιμαζόμενος ὑπὸ τῶν οἰκοδόμων, καὶ εἰς κεφαλὴν γωνίας κατατασσόμενος· ἐπεὶ γὰρ λίθοι ζῶντες οἰκοδομοῦνται ἐπὶ θεμελίῳ ἑτέροις λίθοις τῶν C ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, διὰ τὸ εἶναι αὐτὸν μέρος τῆς ἐκ λίθων ζώντων ἐν χώρᾳ ζώντων οἰκοδομῆς, λίθος προσαγορεύεται. Ταῦτα δὲ ἡμῖν πάντα εἴρηται τὸ τῶν πολλῶν ἀποκληρωτικὸν καὶ ἀβασάνιστον ἐλέγξαι βουλομένοις, ὅτι τοσούτων ὀνομάτων εἰς αὐτὸν ἀναφερομένων ἵστανται ἐπὶ μόνης (56) τῆς Λόγος ὀνομασίας, οὐκ ἐξετάζοντες τί δήποτε Λόγος εἶναι Θεὸς ἐν ἀρχῇ πρὸς τὸν Πατέρα, δι' οὗ τὰ πάντα ἐγένετο, ἀναγέγραπται ὁ Υἱὸς τοῦ Θεοῦ.

42. Ut igitur propter actionem, eo quod illuminet mundum, cujus est lux, lux mundi appellatur, et ex eo quod auctor sit deponendæ mortificationis, illi sincere adhærentibus et resurgentibus recipiendi vitæ novitatem, resurrectio vocatur, itemque propter aliam actionem, et pastor, et præceptor, et rex, ac denique sagitta electa, et servus, ad hæc advocatus, propitiatio, et propitiator, sic etiam Λόγος [hoc est ratio] dicitur, quidquid in no-

D 42. Ὥσπερ τοίνυν παρὰ τὴν ἐνέργειαν, ἐκ τοῦ φωτίζειν τὸν κόσμον, οὗ φῶς ἐστι, φῶς κόσμου προσαγορεύεται, καὶ παρὰ τὸ ποιεῖν ἀποτίθεσθαι τὴν νεκρότητα τοὺς γνησίως αὐτῷ προσιόντας, καὶ ἀναλαμβάνειν καινότητα ζωῆς ἀνισταμένους, ἀνάστασις καλεῖται, παρ' ἑτέραν πρᾶξιν ποιμὴν καὶ διδάσκαλος, καὶ βασιλεύς, βέλος τε ἐκλεκτὸν καὶ δοῦλος, πρὸς τούτοις παράκλητος καὶ ἱλασμὸς, καὶ ἱλαστήριον, οὕτως καὶ Λόγος, καὶ πᾶν ἄλογον ἡμῶν περιαιρῶν, καὶ

[41] Psal. LXXXVIII, 33, 34. [42] Psal. CXVII, 22. [43] Ephes. II, 20. [44] Joan. I, 2, 3.

(51) Ἐμπαρεσχηκόσιν. Sic codex Bodleianus; editio Huetii παρεσχηκόσιν.

(52) Τετυχηκόσιν. Ita codex Bodleianus; editio Huetii τετευχόσιν.

(53) Ἔλεος. Sic codd. Bodleianus et Barberinus; perperam Huetiana editio in textu ἔλος.

(54) Πάντως καὶ ἄνθος, οὐ μὴν, etc. Sic recte habet codex Bodleianus, male autem editio Huetii, πάντως ἄνθος, ὃ μή, etc.

(55) Οἱ δὲ ῥάβδου αὐτοῦ, etc. Sic optime legitur in codice Bodleiano, male autem in Regio ἡ δὲ ῥάβδος αὐτοῦ, etc.

(56) Ἵστανται ἐπὶ μόνης, etc. Valentinianos intellige, qui Filium per prolationem genitum esse arbitrabantur. Huetius.

A κατὰ ἀλήθειαν λογικοὺς κατασκευάζων, πάντα εἰς δόξαν Θεοῦ πράττοντας, μέχρι τοῦ ἐσθίειν, καὶ τοῦ πίνειν, εἰς δόξαν Θεοῦ ἐπιτελοῦντας διὰ τὸν Λόγον καὶ τὰ κοινωνικώτερα καὶ τελειότερα τοῦ βίου ἔργα. Εἰ γὰρ μετέχοντες αὐτοῦ ἀνιστάμεθα καὶ φωτιζόμεθα, τάχα δὲ καὶ ποιμαινόμεθα ἢ βασιλευόμεθα, δῆλον, ὅτι καὶ ἐνθέως λογικοὶ γινόμεθα τὰ ἐν ἡμῖν ἄλογα καὶ τὴν νεκρότητα ἀφανίζοντος αὐτοῦ καθὸ λόγος ἐστὶ καὶ ἀνάστασις. Ἐπίστησον δὲ εἰ μετέχουσί πως αὐτοῦ πάντες ἄνθρωποι, καθὸ Λόγος ἐστί. Διόπερ ζητεῖσθαι οὐκ ἔξω τῶν ζητούντων ὑπὸ τῶν εὑρεῖν αὐτὸν προαιρουμένων διδάσκει ἡμᾶς ὁ Ἀπόστολος λέγων· *Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν· ἤ, Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν* B *ἐκ νεκρῶν ἀναγαγεῖν· ἀλλὰ τί λέγει ἡ Γραφή; Ἐγγύς σου τὸ ῥῆμά ἐστι σφόδρα ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου*, ὡς τοῦ αὐτοῦ ὄντος Χριστοῦ καὶ ῥήματος τοῦ ζητουμένου. Ἀλλὰ καὶ ὅτε αὐτός φησιν ὁ Κύριος· *Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον* (57)· *νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν*, οὐκ ἄλλο νοητέον ἢ ὅτι ὁ λόγος φησὶν οἷς οὐδέπω συμπεπλήρωται, μὴ εἶναι ἁμαρτίαν, τούτους δὲ ἐνόχους αὐτῆς τυγχάνειν, οἳ ἂν μετεσχηκότες ἤδη αὐτοῦ πράττωσι παρὰ τὰς ἐννοίας τὰς ἐξ ὧν οὗτος ἐν ἡμῖν συμπληροῦται, καὶ μόνως οὕτως ἀληθὲς τό· *Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον.* Φέρε γὰρ ἐπὶ Ἰησοῦ τοῦ ὁρατοῦ, ὡς οἱ πολλοὶ οἰήσονται, τοῦτ' ἐξεταζέσθω, πῶς δὲ ἀληθὲς τὸ μὴ ἔχειν C ἁμαρτίαν τούτους οἷς οὐκ ἐλήλυθε; Πάντες γὰρ οἱ πρὸ τῆς ἐπιδημίας τοῦ Σωτῆρος ἔσονται ἁμαρτίας πάσης ἀπολελυμένοι, ἐπεὶ οὐκ ἐληλύθει ὁ βλεπόμενος κατὰ σάρκα Ἰησοῦς. Ἀλλὰ καὶ πάντες οἷς οὐδαμῶς ἀνηγγέλη περὶ αὐτοῦ, οὐχ ἕξουσιν ἁμαρτίαν. Καὶ δῆλον, ὅτι οἱ μὴ ἔχοντες ἁμαρτίαν κρίσει οὐχ ὑπόκεινται. Λόγος δὲ ὁ ἐν ἀνθρώποις, οὗ μετέχειν εἰρήκαμεν τὸ γένος ἡμῶν, διχῶς λέγεται· ἤτοι κατὰ τὴν συμπλήρωσιν τῶν ἐννοιῶν, ἥτις ἐν παντὶ τῷ ὑπερβεβηκότι τὸν παῖδα τυγχάνει, ὑπεξαιρουμένων τῶν τεράτων· ἢ κατὰ τὴν ἀκρότητα, ἥτις ἐν μόνοις τοῖς τελείοις εὑρίσκεται. Κατὰ μὲν οὖν τὸ πρότερον τό, *Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς* D *ἁμαρτίας αὐτῶν*, τὰ ῥητὰ ἐκλεκτέον· κατὰ δὲ τὸ δεύτερον, *Πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον κλέπται εἰσὶ, καὶ λῃσταὶ, καὶ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα.* Πρὸ γὰρ τῆς τελειώσεως τοῦ λόγου πάντα ψεκτὰ τὰ ἐν ἀνθρώποις, ἅτε ἐνδεῆ καὶ ἐλλιπῆ, οἷς τελείως οὐχ ὑπακούει τὰ ἐν ἡμῖν ἄλογα, πρόβατα τροπικώτερον εἰρημένα. Καὶ τάχα κατὰ μὲν τὸ πρότερον, ὁ λόγος σὰρξ ἐγένετο· κατὰ δὲ τὸ δεύτερον, Θεὸς ἦν ὁ λόγος. Τούτῳ δ' ἀκόλουθόν ἐστι ζητεῖν ἐστι μεταξὺ τοῦ (58), *Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ Θεὸς ἦν ὁ Λόγος*, ἐν τοῖς ἀνθρωπίνοις ἰδεῖν, οἷον ἀναστοιχειουμένου τοῦ Λόγου ἀπὸ τοῦ γεγονέναι αὐ-

A bis est a ratione alienum prorsus auferens, et nos præparans convenienter veritati, rationis participes esse, omnia vitæ opera tum vulgaria, tum perfectiora, propter hunc Λόγον [rationemque] ad Dei gloriam agentes, adeo ut vel manducando **44** vel bibendo gloriæ Dei studeamus. Nam si ipsum participantes resuscitamur illuminamurque, fortassis autem pascimur etiam vel regimur, quis non videat rationis capaces nos divinitus effici ipso Λόγῳ hoc est Filio Dei, atque ipsa ratione, cuncta in nobis a ratione aliena, atque mortificationem ipsam, quatenus ratio est et resurrectio, abolente? Quocirca inspice an quodammodo ipsius, quatenus Λόγος [hoc est ratio] est, participes sint omnes homines. B Itaque eum quæri non extra eos qui quærunt, ab iis qui eum invenire constituunt, nos docet Apostolus, dicens [47] : *Ne dixeris in corde tuo: Quis ascendet in cœlum ? hoc est Christum ex alto deducere ; aut: Quis descendet in abyssum ? hoc est Christum ex mortuis reducere. Sed quid dicit Scriptura ? Prope te verbum est valde in ore tuo, et in corde tuo*, perinde ac si ipse Christus etiam esset verbum quod quæritur. Quin etiam quando ipse Dominus loquitur [48] : *Nisi venissem, et locutus fuissem eis, peccatum non haberent ; nunc autem non habent quod prætexant peccato suo*; nihil aliud intelligendum est λόγον [hoc est rationem] dicere quam eos quibus nondum λόγος [id est ratio] completa est, peccatum non habere, sed illos tantum peccato C obnoxios esse qui participes effecti jam ipsius rationis, agunt præter rationes, ex quibus hæc ratio in nobis completur, in quem sensum tantum verum est illud : *Nisi venissem, et locutus fuissem eis, peccatum non haberent.* Age enim de Jesu aspectabili, ut vulgares existimabunt, hoc expendatur, quomodo jam verum sit eos, ad quos non venerit, non habere peccatum. Namque omnes qui fuerint ante Servatoris adventum, ab omni peccato immunes futuri sunt, quoniam non venerit aspectabilis juxta carnem Jesus. Quin etiam omnes quibus de eo nuntiatum non fuerit, peccatum non habebunt. Unde aperte sequitur etiam peccatum non habentes, condemnationi non subjici. At λόγος [id est ratio] quæ est in hominibus, cujus partici- D pare genus nostrum diximus, bifariam dicitur; vel juxta complementum, quod omni inest qui puerilem transcendit ætatem, detractis prodigiis; vel juxta summam perfectionem, quæ in solis perfectis invenitur. Itaque juxta priorem sensum intelligenda sunt hæc verba : *Nisi venissem, et locutus fuissem eis, peccatum non haberent :* juxta secundum vero : *Omnes, quotquot ante me venerunt, fures sunt et latrones, et non audierunt eos oves* [49]. Nam antequam perficiatur ratio, omnia quæ insunt hominibus, vituperabilia sunt, quia sint indiga, et imperfecta, quibus etiam perfecte non obtemperant ea, quæ

[47] Rom. x, 6-8. [48] Joan. xv, 22. [49] Joan. x, 8.

(57) *Εἶχον.* Sic codex Bodleianus; Regius et Barberinus, εἴχοσαν.

(58) *Ζητεῖν ἐστι μεταξὺ τοῦ*, etc. Lege cum Ferrario ζητεῖν εἴ τί ἐστι μεταξὺ τοῦ, etc.

sunt in nobis ratione carentia, tropice oves dicta. Ac fortasse juxta primum sensum, Λόγος [id est ratio] facta est caro; juxta secundum
45 vero, Deus erat ille Λόγος [hoc est illa ratio]. Huic autem consequens est quærere num cernere possimus medium aliquod in hominibus inter hanc particulam, *ratio facta est caro* [50], et inter hanc, *Deus erat illa ratio* [51], videlicet reelementata, atque in idem redeunte ratione illa, postquam fuerat facta caro tantisper inferior facta, donec fieret, quod erat in principio [apud Deum Deus Λόγος, id est] ratio illa apud Patrem: cujus Λόγου [et Filii Dei] gloriam vidit Joannes vere Unigeniti, veluti a Patre [52]. Potest autem Filius etiam sermo esse, eo quod renuntiet occulta Patris sui, qui mens exsistit perinde atque Filius, qui vocatur Sermo. Ut enim apud nos sermo nuntius est earum rerum quæ a mente cernuntur, sic ille Dei Sermo, qui Patrem agnovit (nemine alioqui mortalium absque duce in eum intendere valente), Patrem agnitum revelat. Nullus enim agnovit Patrem nisi Filius, aut ille cui Filius revelabit [53], et in quantum Sermo est, *magni* existit *consilii Nuntius: cujus principatus factus est super humerum ejus* [54]; regnavit enim eo quod in crucem suffixus est. Cæterum in Apocalypsi [55] sermo fidelis et verus sedere dicitur in equo albo, mea sententia denotans vocis claritatem, quam insonat ad nos accedens veritatis sermo. Non est autem præsentis temporis ostendere vocabulum equus frequenter poni in voce Scripturæ [in qua proponuntur], quæ nobis sint adjumento divinas disciplinas audientibus. Tantum unius aut alterius loci submoneamus: hujus, *Fallax equus est ad salutem* [56]; et illius: *Hi in curribus, et hi in equis, nos autem in nomine Dei nostri magnificabimur* [57]. Porro quod in quarto et quadragesimo psalmo est scriptum [58]: *Eructavit cor meum sermonem bonum, dico ego opera mea regi*, frequentissime repetitum a multis perinde ac si intelligerent, haud intactum nobis prætereundum est. Esto enim Patrem hæc dicere, quodnam dicent esse ipsius cor, ut sermo videatur bonus consequenter cordi? Si enim hæc vox λόγος [id est ratio vel sermo] interpretatione non eget, ut illi existimant, abunde constat neque cordis vocabulum interpretatione egere, id quod est absurdissimum, existimare scilicet non secus cor partem Dei esse, atque est in nostro corpore. Sed admonendi sunt illi quod quemadmodum manus, et brachium, atque etiam digitus Dei dicitur, nudum vocabulum acie mentis nobis non dispicientibus, sed examinantibus quonam pacto hæc sane, et ut Deo est dignum, sint accipienda, ita etiam nos intelligere

A τὸν σάρκα, καὶ κατὰ βραχὺ λεπτυνομένου, ἕως γένηται ὅπερ (59) ἦν ἐν ἀρχῇ Θεὸς Λόγος ὁ πρὸς τὸν Πατέρα, οὗ Λόγου τὴν δόξαν εἶδεν ὁ Ἰωάννης, ἀληθῶς Μονογενοῦς, ὡς ἀπὸ Πατρός. Δύναται δὲ καὶ ὁ Λόγος Υἱὸς εἶναι παρὰ τῷ ἀπαγγέλλειν τὰ κρύφια τοῦ Πατρὸς ἐκείνου, ἀνάλογον τῷ καλουμένῳ Υἱῷ Λόγῳ νοῦ τυγχάνοντος. Ὡς γὰρ ὁ παρ' ἡμῖν λόγος ἄγγελός ἐστι τῶν ὑπὸ τοῦ νοῦ ὁρωμένων, οὕτως ὁ τοῦ Θεοῦ Λόγος ἐγνωκὼς τὸν Πατέρα (οὐδενὸς τῶν γενητῶν προσβαλεῖν αὐτῷ χωρὶς ὁδηγοῦ δυναμένου), ἀποκαλύπτει ὃν ἔγνω Πατέρα. Οὐδεὶς γὰρ ἔγνω τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν Υἱὸς ἀποκαλύψῃ, καὶ καθὸ Λόγος ἐστὶ, *μεγάλης* τυγχάνει *βουλῆς ἄγγελος* ὤν, οὗ *ἐγενήθη ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ*· ἐβασίλευσε γὰρ διὰ τοῦ πεπονθέναι τὸν σταυρόν. Ἐν δὲ τῇ *Ἀποκαλύψει* B ἐπὶ λευκοῦ ἵππου καθέζεσθαι λέγεται λόγος πιστὸς καὶ ἀληθινὸς, ὡς οἶμαι, παριστᾷν (60) τὸ σαφὲς τῆς φωνῆς ὃ ἠχεῖται ὁ ἡμῖν ἐπιδημῶν ἀληθείας λόγος. Οὐ τοῦ παρόντος δὲ καιροῦ δεῖξαι, ὅτι ἐπὶ τῆς φωνῆς πολλαχοῦ τῆς Γραφῆς, ἐν ᾗ ἐστι τὰ προκείμενα (61), δι' ὧν ὠφελούμεθα θείων μαθημάτων ἀκροώμενοι, κεῖται ἡ *ἵππος* προσηγορία. Μόνον δὲ ἑνὸς καὶ δευτέρου ὑπομνηστέον, τοῦ· *Ψευδὴς ἵππος εἰς σωτηρίαν*· καί· *Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα*. Τὸ δέ· *Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ*, ἐν τῷ μδʹ ψαλμῷ ἀναγεγραμμένον συνεχέστατα ὑπὸ τῶν πολλῶν φερόμενον ὡς νενοημένον, ἡμῖν οὐκ ἀβασάνιστον ἐατέον· ἔστω γὰρ τὸν Πατέρα ταῦτα λέγειν, τίς οὖν ἡ C καρδία αὐτοῦ, ἵνα ἀκολούθως τῇ καρδίᾳ ὁ ἀγαθὸς λόγος φανῇ; Εἰ γὰρ ὁ λόγος οὐ δεῖται διηγήσεως, ὡς ἐκεῖνοι ὑπολαμβάνουσι, δηλονότι οὐδ' ἡ καρδία, ὅπερ ἐστὶν ἀτοπώτατον, νομίζειν τὴν καρδίαν ὁμοίως τῷ ἐν ἡμετέρῳ σώματι εἶναι μέρος τοῦ Θεοῦ. Ἀλλ' ὑπομνηστέον αὐτοὺς, ὅτι, ὥσπερ χεὶρ καὶ βραχίων καὶ δάκτυλος ὀνομάζεται Θεοῦ, οὐκ ἐρειδόντων ἡμῶν τὴν διάνοιαν εἰς ψιλὴν τὴν λέξιν, ἀλλ' ἐξεταζόντων πῶς ταῦτα ὑγιῶς ἐκλαμβάνειν καὶ ἀξίως Θεοῦ δεῖ, οὕτως καὶ τὴν καρδίαν τοῦ Θεοῦ τὴν νοητικὴν αὐτοῦ καὶ προθετικὴν περὶ τῶν ὅλων δύναμιν ἐκληπτέον· τὸν δὲ λόγον τῶν ἐν ἐκείνῃ τὸ ἀπαγγελτικόν. Τίς δὲ ἀπαγγέλλει τὴν βουλὴν τοῦ Πατρὸς τοῖς τῶν γενητῶν ἀξίοις καὶ παρ' αὐτοὺς γεγενημένοις ἢ ὁ Σωτήρ; D Τάχα δὲ καὶ οὐ μάτην τὸ, *ἐξηρεύξατο*· μυρία γὰρ ἕτερα ἐδύνατο λέγεσθαι ἀντὶ (62) τοῦ *ἐξηρεύξατο*. Προέβαλεν ἡ καρδία μου λόγον ἀγαθόν· ἐλάλησεν ἡ καρδία μου λόγον ἀγαθόν. Ἀλλὰ μήποτε, ὥσπερ πνεύματός τινος ἀποκρύφου (63) εἰς φανερὸν πρόοδός ἐστιν ἡ ἐρυγὴ τοῦ ἐρευγομένου, οἱονεὶ διὰ τούτου ἀναπνέοντος, οὕτω τὰ τῆς ἀληθείας θεωρήματα οὐ συνέχων ὁ Πατὴρ ἐρεύγεται, καὶ ποιεῖ τὸν τύπον αὐτῶν ἐν τῷ λόγῳ, καὶ διὰ τοῦτο εἰκόνι καλουμένῳ τοῦ

[50] Joan. I, 14. [51] Joan. I, 1. [52] Joan. I, 14. [53] Matth. XI, 27. [54] Isa. IX, 6. [55] Cap. XIX, vers. 11. [56] Psal. XXXII, 17. [57] Psal. XIX, 8. [58] Vers. 1.

(59) *Ὅπερ*. Sic codex Bodleianus; Regius, ὥσπερ.
(60) *Παριστᾷν*. Lego παριστάς.
(61) *Ἐν ᾗ ἐστι τὰ προκείμενα*, etc. Hæc desunt in editione Huetii, sed revocantur e codd. Bodleiano et Barberino.
(62) *Ἀντί*. Deest in textu Huetii, sed legitur in codd. Bodleiano et Barberino.
(63) *Ἀποκρύφου*. Sic codex Bodleianus; Huetius in textu, ἀποκρύπτου.

ἀοράτου Θεοῦ· καὶ ταῦτα μὲν, ἵνα συμπεριφερόμενοι τῇ τῶν πολλῶν ἐκδοχῇ παραδεξώμεθα ἀπὸ τοῦ Πατρὸς λέγεσθαι τό· *Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν*. Οὐ πάντη δὲ αὐτοῖς παραχωρητέον, ὡς ὁμολογουμένως ταῦτα ἀπαγγέλλοντος τοῦ Θεοῦ. Διὰ τί γὰρ οὐχὶ ὁ προφήτης ἔσται λέγων πληρωθεὶς τοῦ Πνεύματος, καὶ προφερόμενος λόγον ἀγαθὸν περὶ προφητείας τῆς περὶ Χριστοῦ, συνέχειν αὐτὸν οὐ δυνάμενος, τό· *Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ· ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου· ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων*· εἶτα πρὸς αὐτὸν τὸν Χριστόν· *Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου*; Πῶς γὰρ, εἰ ὁ Πατὴρ ταῦτ' ἔλεγεν, ἐπεφέρετο τῷ, *Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου*, τὸ, *Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα*· B καὶ μετ' ὀλίγα· *Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου*; Ἀνθυπενέγκοι (64) δέ τις (βουλόμενος ἐκ τοῦ Πατρὸς τὰ ἐν τῷ ψαλμῷ ἀπαγγέλλεσθαι) τό· *Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ Πατρός σου*· οὐ γὰρ ὁ Προφήτης πρὸς τὴν Ἐκκλησίαν ἐρεῖ τό· *Ἄκουσον, θύγατερ*. Οὐ χαλεπὸν δὲ δεῖξαι καὶ ἀπὸ ἑτέρων ψαλμῶν, ὅτι προσώπων γίνονται ἐπὶ πλεῖον ἐναλλαγαὶ, ὥστε καὶ ἐνθάδε δύνασθαι ἀπὸ τοῦ, *Ἄκουσον, θύγατερ*, τὸν Πατέρα λέγειν· παραθετέον δὲ εἰς τὴν περὶ τοῦ λόγου ἐξέτασιν καὶ τό· *Τῷ λόγῳ τοῦ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος* (65) *αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν*· ἅπερ τινὲς ἡγοῦνται ἐπὶ τοῦ Σωτῆρος καὶ C τοῦ ἁγίου τάσσεσθαι Πνεύματος, δυνάμενα δηλοῦν τῷ λόγῳ Θεοῦ τοὺς οὐρανοὺς ἐστερεῶσθαι, ὡς εἰ λέγοιμεν λόγῳ ἀρχιτεκτονικῷ τὴν οἰκίαν, καὶ λόγῳ ναυπηγικῷ τὴν ναῦν γεγονέναι, οὕτως οὖν λόγῳ Θεοῦ τοὺς οὐρανοὺς, θειοτέρου τυγχάνοντος (66) σώματος, καὶ διὰ τοῦτο καλουμένου στερεοῦ, οὐκ ἔχοντος τὸ ἐπιπολὺ ῥευστὸν καὶ εὐδιάλυτον τῶν λοιπῶν, καὶ κατωτέρω ἐστερεῶσθαι, καὶ διὰ τὸ διάφορον ἐσχηκέναι (67) ἐξαιρέτως τῷ θείῳ λόγῳ. Ἐπεὶ οὖν πρόκειται (68) τὸ, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, σαφῶς ἰδεῖν, ἀρχὴ δὲ μετὰ μαρτυριῶν τῶν ἐκ τῶν *Παροιμιῶν* ἀποδέδοται εἰρῆσθαι ἡ σοφία, καὶ ἔστι προεπινοουμένη ἡ σοφία τοῦ αὐτὴν ἀπαγγέλλοντος λόγου, νοητέον τὸν λόγον (69) ἐν τῇ ἀρχῇ, τουτέστι τῇ σοφίᾳ, ἀεὶ εἶναι, D ὄντα δὲ ἐν τῇ σοφίᾳ καλουμένῃ ἀρχῇ μὴ κωλύεσθαι εἶναι πρὸς τὸν Θεὸν, καὶ αὐτὸν Θεὸν τυγχάνοντα, καὶ οὐ γυμνῶς (70) εἶναι αὐτὸν πρὸς τὸν Θεὸν, ἀλλὰ ὄντα ἐν τῇ ἀρχῇ τῇ σοφίᾳ εἶναι πρὸς τὸν Θεόν· ἐπιφέρει γοῦν καί φησιν· *Οὗτος ἐν ἀρχῇ πρὸς τὸν Θεόν*· ἐδύνατο γὰρ εἰρηκέναι· Οὗτος ἦν πρὸς τὸν Θεόν. Ἀλλ' ὥσπερ ἦν ἐν ἀρχῇ, οὕτως καὶ πρὸς τὸν Θεὸν ἐν ἀρχῇ ἦν· καὶ *Πάντα δι' αὐτοῦ ἐγένετο*, ὄντος ἐν

A debere, cor Dei esse ejus cam vim quæ intelligentiam efficiat et universa disponat; sermonem **46** vero illud esse, quod, quæ in illo sunt corde, renuntiet. Quis vero Patris consilium his qui inter mortales digni exstiterint, quique horum naturam superaverint, renuntiat, nisi Servator? Forte autem non frustra positum est, *eructavit*, cum hujus verbi vice alia innumera dici potuissent, nimirum proposuit, vel protulit cor meum sermonem bonum; locutum est cor meum sermonem bonum. Sed vide ne forte quemadmodum alicujus flatus occulti progressus in apertum est ructus eructantis, tanquam per hunc respirantis, ita veritatis speculationes non continens Pater eructet, faciatque harum figuras in sermone, qui etiam hanc ob causam vocetur [59] B invisibilis Dei imago. Et hæc quidem, ut illud: *Eructavit cor meum sermonem bonum*, dici a Patre intelligamus, multorum intelligentiæ adhærentes. Quibus tamen non statim cedendum, perinde ac constet Deum hæc enuntiare. Quare enim non Propheta ille loquatur plenus Spiritu sancto, et proferat sermonem bonum pertinentem ad prophetiam de Christo, continere ipsum non valens, scilicet: *Eructavit cor meum sermonem bonum, dico ego opera mea regi: lingua mea calamus scribæ velociter scribentis: Speciosus forma præ filiis hominum* [60]: postea ad ipsum Christum: *Diffusa est gratia in labiis tuis* [61]? Si enim hæc Pater loquebatur, quomodo his verbis: *Diffusa est gratia in labiis tuis*, additum est illud: *Propterea benedixit te* C *Deus in æternum* [62]; et post pauca: *Propter hoc unxit te Deus tuus oleo exsultationis præ participibus tuis* [63]? Verum illud objiciat aliquis (volens hæc psalmi verba a Patre enuntiari): *Audi, filia, et vide, et inclina aurem tuam, et obliviscere populum tuum, et domum patris* [64], et dicat Prophetam non fuisse dicturum ad Ecclesiam, *Audi, filia*. At ex aliis psalmis difficile non fuerit ostendere personarum plerumque fieri immutationes, ut ab eo loco, *Audi, filia*, possit Pater loqui. Jam indagantibus nobis vim sermonis, adjungendum est etiam hoc: *Sermone Dei cœli firmati sunt, et spiritu oris ejus omnis virtus eorum* [65], quæ quidam existimant de Servatore et Spiritu sancto posita esse, cum etiam D hunc sensum habere possint, cœlos Dei ratione firmatos fuisse, non secus ac dicimus domum ædificatam fuisse ratione illa quæ est ars fabricandarum ædium, navim compactam fuisse ratione illa quæ est ars fabricandarum navium, sic etiam dicentes, cœlos Dei ratione **47** firmatos fuisse, qui divinius corpus assequuntur, quod etiam propter hoc firmamentum vocatur, non habens quamplurimum fluxus, eamque facilitatem fluendi quam

[59] Colos. I, 15. [60] Psal. XLIV, 1-3. [61] ibid. 3. [62] ibid. [63] ibid. [64] ibid. 11. [65] Psal. XXXII, 6.

(64) Codex Bodleianus ἀνθυπενέγκοι, Regius ἀνθυπενέγκῃ.

(65) *Τοῦ στόματος*. Deest in editione Huetii, sed exstat in mss. Bodleiano et Barberino.

(66) *Τυγχάνοντος*. Ferrarius legit τυγχάνοντας.

(67) *Ἐσχηκέναι*. Tarinus legi volebat ἑστηκέναι.

(68) *Πρόκειται*. Ita recte habet codex Bodleianus, male vero editio Huetii πρόσκειται.

(69) *Λόγον*. Deest in editione Huetii, sed exstat in mss.

(70) *Γυμνῶς*. Sic codex Bodleianus; editio Huetii, γυμνός.

cætera inferiora : propter quam differentiam ac A præstantiam dicimus etiam cœlum eximie divina ratione firmata fuisse. Quoniam igitur proponitur ut aperte intelligamus hoc dictum : *In principio erat Λόγος* [66] [hoc est sermo, sive ratio], principium vero sapientiam dici explicatum est, testimoniis ex Proverbiis sumptis, consideraturque sapientia ante sermonem ipsam annuntiantem, intelligamus necesse est, sermonem in principio, hoc est sapientia, semper esse, cumque sit in sapientia quæ vocatur principium, non prohiberi esse apud Deum, cum sit etiam ipse Deus : nec apud Deum simpliciter est ipse, sed exsistens in principio (similiter sapientia [67]) est apud Deum ; subjungit enim, et inquit : *Hic erat in principio apud Deum.* Poterat B enim dicere : Hic erat apud Deum. Sed quemadmodum erat in principio, sic et apud Deum in principio erat ; *et omnia per ipsum facta sunt* [68], exsistentem in principio ; omnia enim Deus (teste Davide [69]) in sapientia fecit. Ad hæc ut intelligamus Sermonem propriam habere inscriptionem, velut qui vitam per se assequatur, dicendum etiam est de potentiis, non de potentia. *Hæc dicit Dominus potentiarum*, multis in locis ponitur, nomine potentiarum intellectis quibusdam divinis animantibus, quæ rationis sunt capacia, quibus superior et præstantior Christus est, non tantum sapientia Dei, sed etiam potentia dictus. Ut igitur virtutes complures sunt, quarum singulæ descriptionem habent, quibus differt Servator, sic etiam ὁ Λόγος [id est ille Filius Dei, illa ratio] (etiam si illa ratio, quæ in nobis est, non habeat descriptionem extra nos) intelligetur Christus, juxta ea quæ antea indagavimus, hypostasim habens in principio, hoc est in sapientia. Sed hactenus de eo quod est, *In principio erat Sermo.*

τῇ ἀρχῇ· πάντα γὰρ ἐν σοφίᾳ ὁ Θεὸς κατὰ τὸν Δαυῒδ ἐποίησε. Καὶ ἔτι εἰς τὸ παραδέξασθαι (71) τὸν λόγον ἰδίαν περιγραφὴν ἔχοντα, οἷον τυγχάνοντα ζῆν καθ' ἑαυτὸν, λεκτέον καὶ περὶ δυνάμεων, οὐ μόνον δυνάμεως· *Τάδε λέγει Κύριος τῶν δυνάμεων*, πολλαχοῦ κεῖται, λογικῶν τινων θείων ζώων δυνάμεων ὀνομαζομένων, ὧν ἡ ἀνωτέρω καὶ κρείττων Χριστὸς ἦν, οὐ μόνον σοφία Θεοῦ, ἀλλὰ καὶ δύναμις προσαγορευόμενος· ὥσπερ οὖν δυνάμεις Θεοῦ πλείονές εἰσιν, ὧν ἑκάστη κατὰ περιγραφὴν, ὧν διαφέρει ὁ Σωτὴρ, οὕτως καὶ λόγος, εἰ καὶ ὁ παρ' ἡμῖν οὐκ ἔστι κατὰ περιγραφὴν ἐκτὸς ἡμῶν, νοηθήσεται ὁ Χριστὸς διὰ τὰ προεξητασμένα, ἐν ἀρχῇ τῇ σοφίᾳ τὴν ὑπόστασιν ἔχων. Ταῦτα ἡμῖν ἐπὶ τοῦ παρόντος ἀρκέσει εἰς τό· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος.*

ΩΡΙΓΕΝΟΥΣ

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

ΤΟΜΟΣ Β'.

ORIGENIS

EXPLANATIONUM IN EVANGELIUM SECUNDUM JOANNEM

TOMUS II.

48 1. « Et verbum erat apud Deum, et Deus erat C Verbum [70]. » Satis pro viribus nostris, sacer Ambrosi, idemque frater Evangelio conformis, cum antehac disseruerimus quid sit Evangelium, et quod quale principium, in quo erat Sermo, et quisnam sit ille Sermo qui erat in principio. Consequenter nunc consideremus quonam pacto Sermo ille erat apud Deum. Ergo utile erit ad hoc explicandum colligere sermonem qui scriptus est factum fuisse ad quosdam. Verbi gratia : « Sermo Domini factus est ad Osee filium Beeri [71] ; » et, « Sermo factus est ad Isaiam, filium Amos, de Judæa, et de Jerusalem, [72] » et, « Sermo factus est ad Jeremiam de

1. « Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος (72). » Αὐτάρκως κατὰ τὴν παροῦσαν δύναμιν, ἱερὲ ἀδελφὲ Ἀμβρόσιε, καὶ κατὰ τὸ Εὐαγγέλιον μεμορφωμένε, ἐν τοῖς πρὸ τούτων διαλαβόντες τί ἐστιν Εὐαγγέλιον, καὶ τίς ἡ ἀρχὴ, ἐν ᾗ ἦν ὁ Λόγος, τίς τε ὁ Λόγος ὁ ἐν ἀρχῇ, ἀκολούθως νῦν ἐπισκοποῦμεν πῶς ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. Χρήσιμον τοίνυν συναγαγεῖν εἰς τοῦτο λόγον ἀναγεγραμμένον γεγονέναι πρός τινας· οἷον· « Λόγος Κυρίου ὃς ἐγενήθη πρὸς Ὠσηὲ τὸν τοῦ Βεηρεί· » καὶ, « Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς, περὶ τῆς Ἰουδαίας, καὶ περὶ Ἱερουσαλήμ· » καὶ, « Ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν περὶ τῆς ἀβροχίας. » Πῶς οὖν λόγος Κυρίου

[66] Joan. I, 1. [67] ibid. 2. [68] ibid. 3. [69] Psal. CIII, 24. [70] Joan. I, 1. [71] Ose. I, 1. [72] Isai. I, 1.

(71) *Καὶ ἔτι εἰς τὸ παραδέξασθαι*, etc. Ad marginem codicis Barberini hæc leguntur : Φλυαρεῖς, μάταιε αἱρετικέ. Θεὸς γὰρ καὶ ἦν ἀεὶ, καὶ αὐτός ἐστιν ἡ σοφία· οὐκ ἄλλη ἡ σοφία καὶ αὐτὸς ἐν αὐτῇ. Οὔτε μὴν σύγκρισιν πρὸς τὰς λογικὰς δυνάμεις ἐπιδέχεται, ἀλλ' οὕτως Ἕλλην ὑπάρχεις.

(72) *Καὶ Θεὸς ἦν ὁ Λόγος*. Hæc desunt in codice Bodleiano.

ἐγενήθη πρὸς Ὠσηὲ, καὶ ὁ λόγος ἐστὶν ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς, καὶ πάλιν ὁ λόγος πρὸς Ἱερεμίαν περὶ τῆς ἀβροχίας, ἐπισκοπητέον, ἵν' ὡς παρακείμενον εὑρεθῆναι δυνηθῇ πῶς ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. Ὁ μὲν οὖν πολὺς ἁπλούστερον ἐκλήψεται τὰ περὶ τῶν προφητῶν εἰρημένα, ὡς λόγου Κυρίου, ἢ τοῦ λόγου γενομένου πρὸς αὐτούς. Μήποτε δὲ ὡς φαμεν τόνδε τινὰ πρὸς τόνδε γίνεσθαι, οὕτως ὁ νῦν θεολογούμενος Υἱὸς Λόγος ἐγενήθη πρὸς Ὠσηὲ, ἀποσταλεὶς ὑπὸ τοῦ Πατρὸς πρὸς αὐτόν· κατὰ μὲν τὴν ἱστορίαν πρὸς τὸν υἱὸν τοῦ Βεηρεὶ προφήτην Ὠσηὲ, κατὰ δὲ μυστικὸν λόγον πρὸς τὸν Σωζόμενον (Ὠσηὲ γὰρ ἑρμηνεύεται *σωζόμενος* [73]) υἱὸν Βεηρεὶ, ὃς ἑρμηνεύεται *φρέατα*· πηγῆς γὰρ ἐκ βάθους ἀναβλυστανούσης σοφίας Θεοῦ, ἕκαστος τῶν σωζομένων υἱὸς γίνεται. Καὶ οὐδὲν θαυμαστὸν οὕτως υἱὸν φρεάτων εἶναι τὸν ἅγιον ἀπὸ τῶν ἀνδραγαθημάτων πολλαχοῦ υἱὸν ὀνομαζόμενον, παρὰ μὲν τὸ λάμπειν αὐτοῦ τὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων, φωτός· παρὰ δὲ τὸ ἔχειν τὴν εἰρήνην τοῦ Θεοῦ τὴν ὑπερέχουσαν πάντα νοῦν, εἰρήνης· ἔτι δὲ διὰ τὴν ἀπὸ τῆς σοφίας ὠφέλειαν, τέκνον σοφίας· « Ἐδικαιώθη γὰρ, φησὶν, ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς. » Οὕτως οὖν ὁ πάντα ἐρευνῶν θείῳ Πνεύματι καὶ τὰ βάθη τοῦ Θεοῦ, ὥστε ἀποφθέγξασθαι αὐτόν· « Ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! » δύναται εἶναι φρεάτων υἱὸς, πρὸς ὃν ὁ λόγος Κυρίου γίνεται. Ὁμοίως λόγος καὶ πρὸς Ἡσαΐαν ἔρχεται διδάσκων τὰ ἐν ἐσχάταις ἡμέραις ἀπαντησόμενα τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλήμ· ὡσαύτως δὲ καὶ πρὸς Ἱερεμίαν θείῳ μετεωρισμῷ ἐπαρθέντα· (ἑρμηνεύεται γὰρ *μετεωρισμὸς* Ἰαὼ [74].) Ἀλλὰ πρὸς μὲν τοὺς ἀνθρώπους, πρότερον οὐ χωροῦντας τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ Λόγου τυγχάνοντος ἐπιδημίαν, ὁ Λόγος γίνεται· πρὸς δὲ τὸν Θεὸν οὐ γίνεται, ὡς πρότερον οὐκ ὢν πρὸς αὐτόν· παρὰ δὲ τὸ ἀεὶ συνεῖναι τῷ Πατρὶ, λέγεται· « Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· » οὐ γὰρ ἐγένετο πρὸς τὸν Θεὸν, καὶ ταυτὸν ῥῆμα τὸ « ἦν » τοῦ Λόγου κατηγορεῖται, ὅτι ἐν ἀρχῇ ἦν καὶ ὅτε πρὸς τὸν Θεὸν ἦν, οὔτε τῆς ἀρχῆς χωριζόμενος, οὔτε τοῦ Πατρὸς ἀπολειπόμενος· καὶ πάλιν οὔτε ἀπὸ τοῦ μὴ εἶναι ἐν ἀρχῇ γινόμενος ἐν ἀρχῇ, οὔτε ἀπὸ τοῦ μὴ τυγχάνειν πρὸς τὸν Θεὸν ἐπὶ τῷ πρὸς τὸν Θεὸν εἶναι γινόμενος· πρὸ γὰρ παντὸς χρόνου καὶ αἰῶνος « ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. » Ἐπεὶ τοίνυν εἰς εὕρεσιν τοῦ, « Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, » παρεθέμεθα λέξεις προφητικὰς, πῶς ἐγένετο πρὸς Ὠσηὲ, καὶ Ἡσαΐαν, καὶ Ἱερεμίαν, παρεστηρήσαμέν τε οὐ τὴν τυχοῦσαν διαφορὰν τοῦ, « ἐγενήθη » καὶ « ἐγένετο » πρὸς τὸ « ἦν, » προσθήσομεν,

A siccitate [72-68]. » Quomodo ergo sermo Domini factus est ad Oseam et sermo ad Isaiam filium Amos, et rursus ad Jeremiam de siccitate, considerandum est, ut sic, collatione facta, inveniri possit quonam pacto Sermo ille erat apud Deum. Atque equidem vulgus simplicius exponet prophetarum dicta, veluti sermone Domini, vel sermone facto ad ipsos. Tu vero vide, ne forte ut dicimus hunc ad hunc fieri, sic etiam nunc a nobis theologice consideratus Filius, sermo factus sit ad Oseam, missus ad ipsum a Patre : quod ad historiam quidem attinet, ad prophetam Oseam filium Beeri, quantum vero ad mysticam rationem, ad Servatum (sonat enim Oseas, si interpreteris, *servatus*) filium Beeri, quæ vox *puteos* sonat : efficitur enim B quilibet eorum qui servantur, putei filius, quia sapientia Dei ex profundo scaturit. Nec mirum sane est puteorum filium sic esse sanctum, qui ex strenue factis frequenter filius nominatur : idcirco quidem quia luceant opera ejus coram hominibus [69], filius lucis nuncupatus : quia vero habeat pacem Dei, exsuperantem omnem intelligentiam [70], filius pacis : atque etiam propter sapientiæ utilitatem filius sapientiæ : « Justificata est enim, inquit, sapientia a filiis suis [71]. » Hunc igitur in modum ille etiam qui **49** divino Spiritu omnia profunda Dei perscrutatur, ut eloqui possit : « O profunditas divitiarum, et sapientiæ, et cognitionis Dei [72], » potest esse puteorum filius, ad quem sermo fiat Domini. Sic C sermo etiam ad Isaiam venit docens quæ in ultimis diebus eventura erant tum Judææ, tum Jerusalem : eodem modo et ad Jeremiam divina elatione elatum (nam interpretatur *elatio* Jao). Sed ad homines quidem, qui prius capaces non erant adventus Filii Dei, qui est Sermo, fit sermo; ad Deum vero non fit, quasi qui antea non exsisteret apud ipsum, sed eo quod sit semper cum Patre, dicitur : « Et Sermo erat apud Deum [73]; » non enim factus est apud Deum, et idem verbum « erat » de Sermone prædicatur, quoniam in principio erat etiam tum cum apud Deum erat, neque a principio separatus, neque Patrem deserens : et rursus neque eo quod non sit in principio factus, in principio, neque eo quod non sit apud Deum, factus ut D esset apud Deum : ante omne enim tempus et sæculum, « in principio erat Sermo, et Sermo erat apud Deum. » Quoniam igitur ut inveniremus sensum verborum illorum, « et Sermo ille erat apud Deum, » apposuimus verba prophetica, quomodo factus sit sermo ad Oseam, et Isaiam, et Jere-

[72-68] Jerem. XIV, 1. [69] Matth. V, 16. [70] Philip. IV, 7. [71] Matth. XI, 19. [72] Rom. XI, 33. [73] Joan. I, 1.

(73) *Ὠσηὲ γὰρ ἑρμηνεύεται* Σωζόμενος, etc. A ישע, *servavit*, fit הושע, OSEE, quod significationem activam postulat potius quam passivam. BEORI vero est, בארי, a באר, *puteus*. Ἀναβλυστανούσης, quod sequitur, rectum est. Hesych., ἀναβλυστάνειν καὶ ἀναβλύσαι. Quam Hesychii vocem immerito suspectam habet Stephanus. HUETIUS.

(74) *Ἑρμηνεύεται γὰρ* μετεωρισμὸς *Ἰαώ*. Hæc proclivia sunt, et Ferrarii tamen ac Perionii captum fugerunt. JEREMIAS est ירמיהו a רום *extolli*, et יהוה, quod Samaritæ per Ἰαβαί, Eusebius per Ἰευώ, Theodoretus per Ἀϊά, Græci veteres per Ἰαώ exprimebant. Notum illud Apollinis Clarii apud Macrobium I *Saturn.* :

Φράζεο τῶν πάντων ὕπατον θεὸν ἔμμεν Ἰαώ.

ID.

Vide novam edit. Oper. S. Hieronymi, tom. II, p. 94, — editionis nostræ tom. II, col. 833, not. c. EDIT. PATR.

miam, observavimusque non parum differre « fuit » et « factus est » a verbo « erat, » addemus, dum ad prophetas sermo fit, Sermonem prophetas illustrare luce cognitionis, facientem eos, tanquam coram videntes, ea videre quæ non intellexerant, antequam fieret ad eos sermo ipse; apud Deum vero Deum esse, ex eo quod sit apud ipsum. Itaque fortasse talem quemdam ordinem intuitus Joannes in sermone non præposuit, « Deus erat Sermo, » illis verbis, « Sermo erat apud Deum, » nihil alioqui, quod ad enuntiationes attinet, obfutura serie ad intelligendam vim seorsum cujuscunque pronuntiati: unum namque pronuntiatum est: « In principio erat ille Sermo; » alterum: « Ille Sermo erat apud Deum, » et deinceps: « Et Deus erat ille Sermo. » Sed quoniam fortasse ordinem quemdam declarat, quia positum sit primo loco hoc pronuntiatum, « In principio erat ille Sermo, » juxta talem seriem, « Et Sermo erat apud Deum, » et tertio loco, « Et Deus erat Sermo, » idcirco dicitur: « Et ille Sermo erat apud Deum, » deinde: « Et Deus erat ille Sermo, » ut ille Sermo intelligi possit esse Deus, quia sit apud Deum.

A ὅτι ἐν μὲν τῷ πρὸς τοὺς προφήτας γίνεσθαι φωτίζει τοὺς προφήτας τῷ φωτὶ τῆς γνώσεως, ποιῶν αὐτοὺς ἅτε ἔμπροσθεν βλέποντας ὁρᾷν ἃ πρὸ αὐτοῦ οὐ κατενόουν· πρὸς δὲ τὸν Θεὸν τὸ Θεός ἐστι τυγχάνων ἀπὸ τοῦ εἶναι πρὸς αὐτόν. Καὶ τάχα τοιαύτην τινὰ τάξιν ὁ Ἰωάννης ἐν τῷ λόγῳ ἰδὼν οὐ προέταξε τὸ, « Θεὸς ἦν ὁ Λόγος, » τοῦ, » Ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, » ὅσον ἐπὶ ταῖς ἀποφάσεσιν οὐδὲν ἂν κωλυθέντος τοῦ εἱρμοῦ πρὸς τὸ καθ' αὑτὸ ἰδεῖν ἑκάστου τῶν ἀξιωμάτων τὴν δύναμιν· ἓν γὰρ ἀξίωμα τὸ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » καὶ δεύτερον τὸ, « Ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, » καὶ ἑξῆς· « Καὶ Θεὸς ἦν ὁ Λόγος. » Ἀλλ' ἐπεὶ τάχα τάξιν τινὰ δηλοῖ τὸ πρῶτον τετάχθαι τό· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » κατὰ τὸ οὕτως ἑξῆς τό· « Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· » καὶ τρίτον τό· « Καὶ
B Θεὸς ἦν ὁ Λόγος, » διὰ τοῦτο, ἵνα δυνηθῇ ἀπὸ τοῦ πρὸς τὸν Θεὸν εἶναι ὁ Λόγος νοηθῆναι γινόμενος Θεὸς, λέγεται· « Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, » ἔπειτα, « Καὶ Θεὸς ἦν ὁ Λόγος. »

50 2. Cæterum magna observatione (non tanquam non callens elaboratum Græcorum dicendi genus) alibi quidem articulis usus est Joannes, alibi vero reticuit: in voce namque *Sermonis* articulum cum addiderit, in Dei vocabulo aliquando id ponit, aliquando differentiæ gratia id non ponit. Nam cum Dei vocabulum ponitur de ingenito universorum auctore, articulum ponit, reticens illud, cum ille Sermo Deus nominatur. Proinde vide, ne forte ut in his locis differt Deus cum articulo, et Deus sine articulo, sic differat etiam ὁ Λόγος, [id est ille Sermo, vel illa ratio,] cum articulo, et Λόγος, [id est Sermo, sive ratio,] sine articulo. Ut enim Deus ille, qui est in omnibus, ille Deus est, [cum articulo,] et non simpliciter Deus, [sine articulo,] sic fons rationis (quæ unicuique rationis capaci inest), ratio illa est, [cum articulo;] cum alioqui ratio, quæ in unoquoque inest, non perinde proprie, atque illa ratio prima, [quam fontem hujus dico,]

2. Πάνυ δὲ παρατετηρημένως, καὶ οὐχ ὡς Ἑλληνικὴν ἀκριβολογίαν οὐκ ἐπιστάμενος, ὁ Ἰωάννης ὅπου μὲν τοῖς ἄρθροις ἐχρήσατο, ὅπου δὲ ταῦτα ἀπεσιώπησεν, ἐπὶ μὲν τοῦ *Λόγου* προστιθεὶς τὸ, *ὁ*, ἐπὶ δὲ τῆς *Θεός* προσηγορίας ὅπου μὲν τιθεὶς, ὅπου δὲ διαιρῶν. Τίθησι μὲν γὰρ τὸ ἄρθρον, ὅτε (75) ἡ *Θεός* ὀνομασία ἐπὶ τοῦ ἀγενήτου τάσσεται τῶν ὅλων αἰτίου· σιωπᾷ δὲ αὐτὸ, ὅτε ὁ Λόγος Θεός ὀνομάζεται. Ὡς δὲ
C διαφέρει κατὰ τούτους τοὺς τόπους *ὁ Θεός*, καὶ *Θεός*, οὕτως μήποτε διαφέρῃ *ὁ Λόγος* καὶ *Λόγος*. Ὃν τρόπον γὰρ ὁ ἐπὶ (76) πᾶσι Θεὸς *ὁ Θεός*, καὶ οὐχ ἁπλῶς *Θεός*, οὕτως ἡ πηγὴ τοῦ ἐν ἑκάστῳ τῶν λογικῶν λόγου, *ὁ Λόγος*, τοῦ ἐν ἑκάστῳ λόγου οὐκ ἂν κυρίως ὁμοίως τῷ πρώτῳ ὀνομασθέντος καὶ λεχθέντος, *ὁ Λόγος*. Καὶ τὸ πολλοὺς φιλοθέους εἶναι εὐχομένους ταράσσον, εὐλαβουμένους δύο ἀναγορεῦσαι θεοὺς, καὶ παρὰ τοῦτο περιπίπτοντας ψευδέσι καὶ ἀσεβέσι δόγμασιν· ἤτοι ἀρνουμένους ἰδιότητα (77) Υἱοῦ ἑτέραν παρὰ τὴν τοῦ Πατρὸς, ὁμολογοῦντας Θεὸν εἶναι τὸν μέχρι

(75) *Τίθησι μὲν γὰρ τὸ ἄρθρον, ὅτε*, etc. Distinctio hæc nonnullorum convicia in Origenem concitavit. Eam quidem Chrysostomus homil. 3 *in Joan.*, dissimulato auctoris nomine, explodit. Attendissent quomodo in sequentibus explicata sit: Pater, inquit, quod ex se Deus sit, hoc est, αὐτόθεος, ὁ Θεός appellatur: Filius, quod sit Deus a Patre, Deus de Deo, ut loquitur concilium Nicænum, Θεός dicendus est. Huetius.

(76) *Ὃν τρόπον γὰρ ὁ ἐπὶ*, etc. Sententia hæc est totius disputationis: Quemadmodum a Patre, qui est αὐτόθεος, habet Filius ut sit Deus, et cæteri qui dii appellantur, quia principium totius divinitatis Pater est; ita a Filio, qui est ὁ Λόγος, *ratio*, et fons totius rationis, habent ii qui ratione utuntur ut sint rationis participes. Igitur ut divinitatem suam Filio communicat Pater, ita rationem iis qui rationis participes sunt communicat Filius. Pater principium est divinitatis Filii, Filius principium est rationis eorum qui rationis capaces sunt. Atque eo sensu ut se habet Pater ad Filium, ita Filius ad ea quæ ratione pollent. Comparatio ergo hæc est, atque ea imperfecta et in multis claudicans. Pater autem, quia principium est et fons divinitatis totius, inde eum ἀληθινὸν Θεὸν appellavit; reliqui autem θεοὶ τῇ μετοχῇ τοῦ Θεοῦ γινόμενοι, Filius nimirum, et qui dii appellantur. At divinitatem a Patre non uno modo recipiunt;
D Filius enim ita Deus est a Patre, ut una eademque divinitate Pater et Filius polleant: reliqui autem dii, diversa, dispari et inæquali divinitate præditi sint. Ne quemquam igitur moveat vox γινόμενοι, quæ iis omnibus convenit qui ab alio habent ut sint, sive per generationem, sive per processionem, sive per creationem, ut paulo infra demonstrabimus. Nonnunquam vero simpliciter, « exsistere, esse, » significat. Atque hæc quidem posterior notatio huic ipsi loco videtur tribuenda. His ita explicatis, facile viri cujusdam eruditissimi refelluntur criminationes, qui ex hoc loco violatæ Filii dignitatis reum Origenem peragit, licet alias sæpe in eodem argumento lapsus sit. Id.

(77) *Ἤτοι ἀρνουμένους ἰδιότητα*, etc. Ea fuit Noeti hæresis circa Origenis ætatem exorta, nec multo post a Sabellio amplificata. Male autem ἰδιότητα vertit Ferrarius proprietatem, quod *personam* significat. Id.

ὀνόματος παρ' αὐτοῖς Υἱὸν προσαγορευόμενον· ἢ ἀρνουμένους τὴν θεότητα (78) τοῦ Υἱοῦ, τιθέντας δὲ αὐτοῦ τὴν ἰδιότητα καὶ τὴν οὐσίαν κατὰ περιγραφὴν τυγχάνουσαν ἑτέραν τοῦ Πατρὸς, ἐντεῦθεν λύεσθαι δύναται. Λεκτέον γὰρ αὐτοῖς, ὅτι τότε μὲν αὐτόθεος ὁ Θεός ἐστι, διόπερ καὶ ὁ Σωτήρ φησιν ἐν τῇ πρὸς τὸν Πατέρα εὐχῇ· « Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν· » πᾶν δὲ τὸ παρὰ τὸ αὐτόθεος μετοχῇ τῆς ἐκείνου θεότητος θεοποιούμενον οὐχ ὁ Θεὸς, ἀλλὰ Θεὸς κυριώτερον ἂν λέγοιτο (79), ᾧ πάντως ὁ Πρωτότοκος πάσης κτίσεως, ἅτε πρῶτος τῷ πρὸς τὸν Θεὸν εἶναι, σπάσας τῆς θεότητος εἰς ἑαυτὸν, ἔστι (80) τιμιώτερος τοῖς λοιποῖς παρ' αὐτὸν θεοῖς, ὧν ὁ Θεὸς Θεός ἐστι, κατὰ τὸ λεγόμενον, « Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν, » διακονήσας τὸ γενέσθαι θεοῖς, ἀπὸ τοῦ Θεοῦ ἀρύσας εἰς τὸ θεοποιηθῆναι αὐτοὺς ἀφθόνως, κἀκείνοις κατὰ τὴν αὐτοῦ χρηστότητα μεταδιδούς. Ἀληθινὸς οὖν Θεὸς ὁ Θεός· οἱ δὲ κατ' ἐκεῖνον μορφούμενοι θεοὶ, ὡς εἰκόνες πρωτοτύπου. Ἀλλὰ πάλιν τῶν πλειόνων εἰκόνων ἡ ἀρχέτυπος εἰκὼν ὁ πρὸς τὸν Θεόν ἐστι Λόγος, ὃς ἐν ἀρχῇ ἦν τῷ εἶναι πρὸς τὸν Θεὸν ἀεὶ μένων Θεὸς, οὐκ ἂν δ' αὐτὸ ἐσχηκὼς, εἰ μὴ πρὸς τὸν Θεὸν ἦν, καὶ οὐκ ἂν μείνας Θεὸς, εἰ μὴ παρέμεινε τῇ ἀδιαλείπτῳ θέᾳ τοῦ πατρικοῦ βάθους.

A nominetur dicaturque illa ratio, [cum articulo.] Et hinc solvi potest illud, quod perturbat multos profitentes se Dei amantes esse, ac verentes duos prædicare Deos, et propter hoc in falsa et impia dogmata incidentes; vel negantes proprietatem Filii esse aliam a Patris proprietate; confitentes Deum esse cum nomine tantum, qui apud ipsos Filius appellatur; vel negantes Filii divinitatem, et ponentes ipsius proprietatem et essentiam per circumscriptionem exsistere aliam a Patre. Dicendum enim est illis, quod αὐτόθεος quidem, [hoc est, per se Deus,] Deus ille est [cum articulo,] propter quod et Servator in precatione ad Patrem inquit : « Ut agnoscant te illum solum verum Deum [74]; » quidquid vero est præter hunc, qui αὐτόθεος dicitur, [hoc est, per se Deus,] participatione et communione B divinitatis illius deificatum, non ille Deus,[cum articulo],sed Deus [sine articulo] magis proprie dicendum esse, quo nomine omnino primogenitus omnis creaturæ, quippe qui cum primus sit apud ipsum, attrahens divinitatem ad seipsum, honorabilior 51 est reliquis diis, qui sunt præter ipsum, quorum ille Deus, Deus est, juxta id quod dicitur [75], « Ille Deus deorum Dominus locutus est, et vocavit terram, » dans esse diis, a Deo hauriens abundanter unde ipsos efficiat deos et unde illis juxta suam ipsius bonitatem suppeditet. Verus igitur Deus est ille Deus, [cum articulo :] qui autem dii efformantur ad ejus formam, velut imagines quædam sunt primi exemplaris. Sed rursus multarum imaginum archetypa imago est ille Λόγος, qui est apud Deum in principio exsistens, quia sit apud Deum semper manens Deus, haudquaquam id habiturus nisi apud Deum esset, et haudquaquam Deus mansurus, nisi perpetuo permansisset in contemplatione paternæ profunditatis.

3. Ἀλλ' ἐπεὶ εἰκὸς (81) προσκόψειν τινὰς τοῖς εἰρημένοις, ἑνὸς μὲν ἀληθινοῦ Θεοῦ τοῦ Πατρὸς ἀπαγγελλομένου, παρὰ δὲ τὸν ἀληθινὸν Θεὸν θεῶν πλειόνων τῇ μετοχῇ τοῦ Θεοῦ γινομένων, εὐλαβουμένους τὴν τοῦ πᾶσαν κτίσιν ὑπερέχοντος δόξαν ἐξισῶσαι τοῖς λοιποῖς τῆς Θεὸς προσηγορίας τυγχάνουσι, πρὸς τῇ ἀποδεδομένῃ διαφορᾷ, καθ' ἣν ἐφάσκομεν πᾶσι τοῖς λοιποῖς θεοῖς διάκονον εἶναι τῆς θεότητος τὸν Θεὸν Λόγον, καὶ ταύτην παραστατέον· ὁ γὰρ ἐν ἑκάστῳ λόγος τῶν λογικῶν τοῦτον τὸν λόγον ἔχει πρὸς τὸν ἐν ἀρχῇ λόγον πρὸς τὸν Θεὸν, ὄντα Λόγον Θεὸν, ὃν ὁ Θεὸς Λόγος πρὸς τὸν Θεόν· ὡς γὰρ αὐτόθεος, καὶ ἀληθινὸς Θεὸς ὁ Πατὴρ πρὸς εἰκόνα, καὶ εἰκόνας τῆς εἰκόνος, διὸ καὶ κατ' εἰκόνα λέγονται εἶναι οἱ ἄνθρωποι, οὐκ εἰκόνες, οὕτως ὁ αὐτὸς Λόγος πρὸς τὸν ἐν ἑκάστῳ λόγον. Ἀμφότερα γὰρ πηγῆς ἔχει χώραν· ὁ μὲν Πατὴρ θεότητος, ὁ δὲ Υἱὸς Λόγου. Ὥσπερ οὖν θεοὶ πολλοὶ, ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, καὶ πολλοὶ κύριοι, ἀλλ' ἡμῖν εἷς Κύριος Ἰησοῦς Χριστὸς, οὕτως πολλοὶ λόγοι, ἀλλ' ἡμῖν εὐχόμεθα ὅπως ὑπάρξῃ

C 3. Sed quoniam fortasse verisimile est futurum ut multi offendantur quia dixerimus unum esse verum Deum, nempe Patrem, et præter Deum verum multos factos deos participatione Dei : verentes gloriam ejus, qui omnem creaturam præcellit, æquari reliquis obtinentibus appellationem Dei sine articulo, præter datam differentiam, per quam Deum Λόγον diximus reliquis omnibus diis ministrum esse deitatis, etiam hæc differentia est apponenda. Ea enim ratio quæ in singulis rationis capacibus inest, eamdem comparationem habet ad illam rationem quæ in principio apud Deum est, et Deus est Λόγος, quam habet Deus Λόγος, [id est ratio], sine articulo ad Deum illum [cum articulo.] Ut enim Pater αὐτόθεος, [hoc est, per se Deus, et verus Deus,] D se habet ad imaginem, et ad imagines imaginis, quam ob causam etiam dicuntur homines non esse imagines, sed ad imaginem, sic hunc in modum se habet idem Λόγος, [hoc est, ipsa ratio,] ad eam, quæ est in singulis, rationem. Utraque enim locum obti-

[74] Joan. xvii, 3. [75] Psal. xlix, 1.

(78) *Ἢ ἀρνουμένους τὴν θεότητα*, etc. Origenes lib. vii *in Epist. ad Roman.*, cap. 9 : « Et miror quomodo quidam legentes quod idem Apostolus in aliis dicit : *Unus Deus Pater ex quo omnia, et unus Dominus Jesus Christus per quem omnia*, negent Filium Dei Deum debere profiteri, ne duos Deos dicere videantur. » Huetius.

(79) *Λέγοιτο*. Sic codex Bodleianus; male codex Regius, λέγοι τὸ ᾧ, etc.

(80) *Ἔστι*. Ita codex Bodleianus; codex Regius, ἔτι.

(81) *Ἀλλ' ἐπεὶ εἰκὸς*, etc. Audiendus in hunc locum Dionys. Petavius lib. i *De Trinit.*, cap. 4, n. 5. Mihi tamen id dolet, iniquum adeo in Origenem se gessisse virum magnum, ut quæ minus sana in eo deprehenduntur, germana esse, neque ab Arianis inserta, contra Rufini testimonium pertenderit : quæ vero orthodoxæ sunt fidei, amica manu adtexta fuisse contra Athanasii (lib. *De decret. Nicænæ synodi*) auctoritatem crediderit. Huetius.

nent fontis et originis; Pater quidem divinitatis, Filius vero Λόγου, [id est, rationis]. Quemadmodum ergo dii multi, sed nobis unus Deus est, nempe ille Pater; et multi domini sunt, sed nobis unus Dominus est Jesus Christus: sic multi etiam sunt λόγοι, [hoc est, rationes,] sed nobis illum Λόγον, [id est rationem illam,] precamur inesse, quæ est in principio, quæ est apud Deum Deus Λόγος. Qui enim non capit Λόγον hunc, [id est, rationem,] quæ in principio apud Deum est, aut ipsum assequetur, quatenus caro factus est, aut particeps efficietur alicujus eorum, qui Λόγον hunc, [id est, rationem ipsam,] assequuntur: si vero nec alicujus quidem horum, qui hujus rationis participes exsistunt, particeps effici poterit, in numero omnino eorum erit qui a ratione alieni dicuntur. Id autem quod diximus, palam efficietur ex exemplis de Deo illo, [qui
52 profertur cum articulo,] et de illo Λόγῳ, cum articulo,] qui est Deus, sine articulo, [tum etiam de diis, qui vel participant Deum, vel dii quidem dicuntur, nullo pacto autem sunt; et rursus de Λόγῳ Deo, et de Λόγῳ qui factus est caro, necnon de λόγοις qui hunc quodam modo participant, et λόγοι secundi ac tertii ab ipso dicuntur, et λόγοι esse existimantur, cum tamen vere non sint, sed potius, ut ita loquar, prorsus dici merentur ἄλογοι λόγοι, [hoc est rationes irrationales;] quemadmodum etiam de iis, qui dii quidem dicuntur, cum non sint, diceret aliquis dii non dii: non secus enim et hi vocantur ἄλογοι λόγοι, [hoc est, rationes ratione carentes.] Atque ille quidem Deus universorum, electionis est Deus, et multo magis illius, qui hanc servavit: deinceps eorum, qui vere sunt dii, et ut semel dicam, Deus est viventium, et non mortuorum [76]; at vero Deus Λόγος, fortasse Deus est eorum qui in ipso sistunt omnia, quique existimant ipsum esse Patrem. Sol autem, et luna, et astra, ut ante nos quidam disseruerunt, illis attributa fuerunt, qui minus digni habentur ut illo titulo ac laude cohonestentur, ut Deus deorum Deus ipsorum sit. Sic autem intellexerunt adducti verbis Deuteronomii quæ ita sese habent [77]: « Ne cum suspexeris in cœlum, et intuitus fueris solem, et lunam, et omne cœli ornamentum, deceptus adores ea, et

A ὁ ἐν ἀρχῇ Λόγος, ὁ πρὸς τὸν Θεὸν ὢν ὁ Θεὸς Λόγος· ὃς γὰρ οὐ χωρεῖ τοῦτον τὸν Λόγον τὸν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, ἤτοι αὐτῷ γενομένῳ σαρκὶ προσέξει, ἢ μεθέξει τῶν μετεσχηκότων τινὸς τούτου τοῦ Λόγου, ἢ ἀποπεσὼν τοῦ μετέχειν τοῦ μετεσχηκότος, ἐν πάντῃ ἀλλοτρίῳ τοῦ λόγου ἔσται καλουμένῳ. Σαφὲς δὲ ἔσται τὸ εἰρημένον ἐκ παραδειγμάτων τῶν περὶ τοῦ Θεοῦ, καὶ τοῦ Θεοῦ Λόγου, καὶ θεῶν, ἤτοι μετεχόντων Θεοῦ, ἢ λεγομένων μὲν, οὐδαμῶς δὲ ὄντων θεῶν, καὶ πάλιν Λόγου Θεοῦ, καὶ Λόγου γενομένου Θεοῦ σαρκὸς, καὶ λόγων (82) ἤτοι μετεχόντων πως τοῦ Λόγου, λόγων δευτέρων, ἢ τρίτων, παρὰ τὸν πρὸ πάντων νομιζομένων μὲν λόγων, οὐκ ὄντων δὲ ἀληθῶς λόγων, ἀλλ', ἵν' οὕτως εἴπω, ὅλον τοῦτο ἀλόγων λόγων, ὥσπερ καὶ ἐπὶ τῶν λεγομένων μὲν, οὐκ ὄντων δὲ θεῶν τάξαι τις
B ἂν ἀντὶ τοῦ ἀλόγων λόγων τὸ οὐ θεῶν θεῶν. Ὁ μὲν οὖν Θεὸς τῶν ὅλων τῆς ἐκλογῆς (83) ἐστι Θεὸς, καὶ πολὺ μᾶλλον τοῦ τῆς ἐκλογῆς Σωτῆρος· ἔπειτα τῶν ἀληθῶς θεῶν ἐστὶ Θεὸς, καὶ ἁπαξαπλῶς ζώντων, καὶ οὐ νεκρῶν ἐστι Θεός· ὁ δὲ Θεὸς Λόγος τάχα τῶν ἐν αὐτῷ ἱστάντων τὸ πᾶν καὶ τῶν Πατέρα αὐτὸν νομιζόντων ἐστὶ Θεός. Ἥλιος δὲ καὶ σελήνη καὶ ἀστέρες, ὥς τινες τῶν πρὸ ἡμῶν (84) διηγήσαντο, ἀπενεμήθησαν τοῖς μὴ ἀξίοις ἐπιγράφεσθαι τὸν Θεὸν τῶν θεῶν, Θεὸν αὐτῶν εἶναι. Οὕτω δὲ ἐξεδέξαντο κινηθέντες ἐκ τῶν ἐν τῷ Δευτερονομίῳ τὸν τρόπον τοῦτον ἐχόντων· « Μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς, καὶ λατρεύσῃς αὐτοῖς, ἃ ἀπένειμεν αὐτὰ Κύριος ὁ Θεός
C σου πᾶσι τοῖς ἔθνεσιν· » ὑμῖν δὲ οὐχ οὕτως ἔδωκε Κύριος ὁ Θεός σου. Πῶς γὰρ ἀπένειμε πᾶσι τοῖς ἔθνεσιν ἥλιον καὶ σελήνην καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ ὁ Θεὸς, οὐχ οὕτως δεδωκὼς αὐτὰ τῷ Ἰσραήλ; Τῷ τοὺς μὴ δυναμένους ἐπὶ τὴν νοητὴν ἀναδραμεῖν φύσιν, δι' αἰσθητῶν θεῶν κινουμένους περὶ θεότητος, ἀγαπητῶς κἂν ἐν τούτοις ἵστασθαι, καὶ μὴ πίπτειν ἐπὶ εἴδωλα καὶ δαιμόνια. Οὐκοῦν οἱ μὲν Θεὸν ἔχουσι τὸν τῶν ὅλων Θεόν· οἱ δὲ παρὰ τούτους δεύτεροι ἱστάμενοι ἐπὶ τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Χριστὸν αὐτοῦ· καὶ τρίτοι οἱ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, ἀπὸ Θεοῦ μὲν πλανηθέντες, πλὴν πλάνην πολλῷ διαφέρουσαν καὶ κρείττονα τῶν καλούντων θεοὺς ἔργα χειρῶν ἀνθρώπων,

[76] Matth. XXII, 32. [77] Deut. IV, 19.

(82) *Λόγων*. Sic codd. Bodleianus et Barberinus; editio Huetii, λόγον.

(83) *Τῆς ἐκλογῆς*. Ἐκλογὴ, id est *electi*. Ita Rom. XI, 7, ubi et quidam vocem hanc, unde huc traducta est, ita verterunt. HUETIUS.

(84) *Ὥς τινες τῶν πρὸ ἡμῶν*, etc. Clementem hic designat cujus hæc verba sunt *Strom.* VI: Ἐπειδὴ γὰρ ᾔδει Θεὸς, ἅτε προγνώστης ὢν, μὴ πιστεύσοντα τοῦτον, οὐδὲν ἧττον ὅπως τήν γε καθ' ἑαυτὸν ἀναδέξηται τελείωσιν, ἔδωκε μὲν φιλοσοφίαν αὐτῷ, ἀλλὰ πρὸ τῆς πίστεως· ἔδωκε δὲ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τὰ ἄστρα εἰς θρησκείαν· ἃ ἐποίησεν ὁ Θεὸς τοῖς ἔθνεσι, φησὶν ὁ νόμος, ἵνα μὴ τέλεον ἄθεοι γενόμενοι τελέως καὶ διαφθαρῶσιν. Οἱ δὲ κἀν ταύτῃ γενόμενοι τῇ ἐντολῇ ἀγνώμονες, γλυπτοῖς προσεσχηκότες ἀγάλμασι, κἂν μὴ μετανοήσωσι, κρίνονται· οἱ μὲν, ὅτι δυνηθέντες οὐκ ἠθέλησαν πιστεῦσαι τῷ Θεῷ· οἱ δὲ, ὅτι καὶ θελήσαντες οὐκ ἐξεπόνησαν περιγενέσθαι
D πιστοί· ναὶ μὴν κἀκεῖνοι οἱ ἀπὸ τῆς τῶν ἄστρων σεβήσεως μὴ ἐπαναδραμόντες ἐπὶ τὸν τούτων ποιητήν· ὁδὸς γὰρ ἦν αὕτη δοθεῖσα τοῖς ἔθνεσιν ἀνακύψαι πρὸς Θεὸν διὰ τῆς τῶν ἄστρων θρησκείας. « Quia enim noverat Deus, utpote præscius, hunc non crediturum, nihilominus tamen ut perfectionem reciperet cujus capax erat, dedit ei quidem philosophiam, sed ante fidem; dedit autem solem, et lunam, et astra ad religionem: quæ gentibus fecit Deus, inquit lex, ne funditus athei effecti, funditus pereant. At illi in hoc præcepto inconsiderati, in sculptiles defixi statuas, nisi pœnitentiam agant, judicantur: hi quidem, quia cum possent, noluerunt Deo credere; illi vero qui etiamsi vellent, non conati sunt tamen fideles evadere, et ii etiam qui ab astrorum cultu, ad eorum conditorem non recurrerunt. Hæc enim via erat gentibus data ad Deum per astrorum cultum assurgere. » ID.

χρυσὸν καὶ ἄργυρον, τέχνης ἐμμελετήματα. Τελευταῖοι δέ εἰσιν οἱ λεγομένοις μὲν θεοῖς ἀνακείμενοι, οὐδαμῶς δὲ οὖσι θεοῖς. Οὕτω τοίνυν οἱ μέν τινες μετέχουσιν αὐτοῦ τοῦ ἐν ἀρχῇ Λόγου, καὶ πρὸς τὸν Θεὸν Λόγου, καὶ Θεοῦ Λόγου, ὥσπερ Ὠσηὲ, καὶ Ἡσαΐας, καὶ Ἱερεμίας, καὶ εἴ τις ἕτερος τοιοῦτον ἑαυτὸν παρέστησεν, ὡς τὸν λόγον Κυρίου ἢ τὸν λόγον γενέσθαι πρὸς αὐτόν· ἕτεροι δὲ οἱ μηδὲν εἰδότες εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον, τὸν γενόμενον σάρκα Λόγον, τὸ πᾶν νομίσαντες εἶναι τοῦ Λόγου, Χριστὸν κατὰ σάρκα μόνον γινώσκουσι. Τοιοῦτον δέ ἐστι τὸ πλῆθος τῶν πεπιστευκέναι νομιζομένων. Καὶ τρίτοι λόγοις μετέχουσί τι τοῦ Λόγου ὡς πάντα ὑπερέχουσι λόγον, προσεσχήκασι. Καὶ μήποτε οὗτοί εἰσιν οἱ μετερχόμενοι τὰς εὐδοκιμούσας καὶ διαφερούσας ἐν φιλοσοφίᾳ παρ' Ἕλλησιν αἱρέσεις. Τέταρτοι δὲ παρὰ τούτους (85) οἱ πεπιστευκότες λόγοις πάντη διεφθορόσι καὶ ἀθέοις, τὴν ἐναργῆ καὶ σχεδὸν αἰσθητὴν Πρόνοιαν ἀναιροῦσι, καὶ ἄλλο τι τέλος παρὰ τὸ καλὸν ἀποδεχομένοις. Εἰ καὶ ἐδόξαμεν δὲ παρεκδεδηκέναι, οἶμαι δ' ὅτι παρακειμένως ὑπὲρ τοῦ σαφῶς ἰδεῖν τέσσαρα πράγματα κατὰ τὸ Θεὸς ὄνομα, καὶ τέσσαρα κατὰ τὸ Λόγος, τοῦτο πεποιήκαμεν· ἦν γὰρ ὁ Θεὸς καὶ Θεὸς, εἶτα θεοὶ διχῶς, ὧν τοῦ κρείττονος τάγματος (86) ὑπερέχειν (87) ὁ Θεὸς Λόγος ὑπερεχόμενος ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ. Καὶ πάλιν ἦν ὁ Λόγος, τάχα δὲ καὶ Λόγος, ὁμοίως τῷ ὁ Θεὸς καὶ Θεός· καὶ οἱ λόγοι διχῶς, οἰκεῖοί τε ἀνθρώπινοι οἱ μὲν τῷ Πατρὶ, μερίδες ὄντες αὐτοῦ καὶ τούτοις παρακείμενοι, οὓς νῦν σαφέστερον ὁ λόγος ἡμῖν παρίστησιν, οἱ ἐπὶ τὸν Σωτῆρα φθάσαντες, καὶ τὸ πᾶν ἐν αὐτῷ ἱστάντες· καὶ τρίτοι οἱ προειρημένοι, ἥλιον καὶ σελήνην, καὶ ἀστέρας νομίζοντες θεοὺς, καὶ ἐν αὐτοῖς ἱστάμενοι. Ἐπὶ πᾶσι δὲ, καὶ ἐν τῇ κάτω χώρᾳ οἱ τοῖς ἀψύχοις καὶ νεκροῖς εἰδώλοις ἐγκείμενοι. Τὸ δὲ ἀνάλογον καὶ ἐπὶ τῶν κατὰ τὸν Λόγον εὑρίσκομεν· οἱ μὲν γὰρ αὐτῷ τῷ Λόγῳ κεκόσμηνται· οἱ δὲ παρακειμένῳ τινὶ αὐτῷ, καὶ δοκοῦντι εἶναι αὐτῷ τῷ πρώτῳ Λόγῳ, οἱ μηδὲν εἰδότες, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον, οἱ τὸν Λόγον σάρκα ὁρῶντες· καὶ τρίτοι, οὓς πρὸ βραχέος εἰρήκαμεν. Τί δὲ δεῖ λέγειν περὶ τῶν νομιζομένων μὲν ἐν Λόγῳ τυγχάνειν, ἀποπεπτωκότων δὲ οὐ μόνον αὐτοῦ τοῦ καλοῦ, ἀλλὰ καὶ τῶν ἰχνέων, καὶ μετεχόντων αὐτοῦ;

A servias eis, quæ ipsa distribuit Deus tuus cunctis gentibus. » Vobis autem non sic dedit Dominus Deus tuus. Sed qui distribuit cunctis gentibus solem, et lunam, et omne cœli ornamentum Deus, cum sic non dederit Israeli? Scilicet ut qui non possunt ad intelligibilem recurrere naturam, rebus corporeis ac sub sensum cadentibus divinitatem esse suspicati, vel lubenter in his sisterent, non prolapsi ad idola et dæmonia. Deum igitur alii quidem Deum universorum habent; qui vero hos proxime sequuntur, in Christum Dei ipsius Filium defixi sunt. Tertii vero sunt qui solem, lunam omneque cœli ornamentum [deos habentes] a Deo aberrant, verumtamen errore longe præcellenti præstantioreque quam eorum qui vocant deos opera B manuum hominum, aurum et argentum, artis excogitationes. At omnium ultimi sunt qui dicati sunt his qui dii quidem dicuntur, haudquaquam vero sunt. Similiter igitur aliqui
Quod si quis ex eo offenditur, quod in sumenda natura humana infra Spiritus dignitatem Servatorem imminutum dixerim: hoc ei probandum est ex iis quæ scripta sunt in Pauli ad Hebræos Epistola, in qua etiam angelis minorem **63** Jesum fuisse propter mortis perpessionem pronuntiat; ait enim [5]: « Eum autem qui modico quam angeli minoratus est, videmus Jesum, propter passionem mortis, gloria et honore coronatum. » Aut hoc etiam dici potest creatæ naturæ, ut a servitute interitus corruptionisque liberaretur, atque etiam hominum generi beata ac divina virtute, ut ita dicam, incarnata opus fuisse, quæ ea etiam quæ in terra sunt corrigeret; et quodammodo hanc actionem ad sanctum Spiritum pertinere, quam cum ferre non posset, Servatorem offert et proponit, ut qui solus hoc certamen posset sustinere: Pater etiam ut princeps Filium mittens, una Spiritum quoque mittit, quem certo tempore descensurum ad Dei Filium, et una hominum salutem operaturum effecturumque promiserat. Id quod perfecit, tum, cum corporea specie columbæ ad eum post lavacrum volavit [6], et insistens non præteriit: quod fecit fortasse apud homines, qui ejus majestatem assidue ferre non poterant. Itaque significans Joannes et loquens de cognitione quisnam Christus esset, non solum Spiritus ad Jesum descensum narrat, sed præter descensum illius in ipso mansionem [7]. Scriptum est enim hoc dixisse Joannem: « Qui misit me baptizare, dixit: Super quem videris Spiritum descendentem, et manentem super eum, hic est qui baptizat in Spiritu et igne [8]. » Non enim dicitur, « Super quem videris Spiritum descendentem » solum, quod fortasse etiam ad alios ipse descenderet, sed « descendentem et manentem super ipsum. » Hæc autem multum ac diu examinata sunt nobis planius et apertius videre volentibus, quomodo, si omnia per ipsum facta sunt, Spiritus etiam per Verbum factus est, qui una ex rebus inferioribus eo per quod factæ sunt, intelligatur, etiamsi verba quædam nos in contrariam partem trahere videantur. Quod si quis Hebræorum Evangelium proferat, in quo Servator ipse hæc dicit: **64** « Modo accepit me mater mea sanctus Spiritus, uno capillorum meorum, et me

A ἐνανθρωπήσαντα, προσακτέον αὐτὸν ἀπὸ τῶν ἐν τῇ πρὸς Ἑβραίους λεγομένων Ἐπιστολῇ καὶ ἀγγέλων ἐλάττονα διὰ τὸ πάθημα τοῦ θανάτου ἀποφηναμένου τοῦ Παύλου γεγονέναι τὸν Ἰησοῦν· φησὶ γάρ· « Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. » Ἢ τάχα ἔστι καὶ τοῦτο εἰπεῖν (23), ὅτι ἐδεῖτο ἡ κτίσις ὑπὲρ τοῦ ἐλευθερωθῆναι ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, ἀλλὰ καὶ ἀνθρώπων γένος μακαρίας καὶ θείας δυνάμεως ἐνανθρωπούσης, ἥτις διορθώσεται καὶ τὰ ἐπὶ τῆς γῆς· καὶ ὡσπερεὶ ἐπέβαλλέ πως τῷ ἁγίῳ Πνεύματι ἡ πρᾶξις αὕτη, ἥντινα ὑπομένειν οὐ δυνάμενον (24) προβάλλεται τὸν Σωτῆρα, ὡς τὸ τηλικοῦτον ἆθλον μόνον ἐνεγκεῖν δυνάμενον, καὶ τοῦ Πατρὸς ὡς ἡγουμένου ἀποστέλλοντος B τὸν Υἱὸν, συναποστέλλει καὶ συμπροπέμπει τὸ ἅγιον Πνεῦμα αὐτὸν, ἐν καιρῷ ὑπισχνούμενον καταβῆναι πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ συνεργῆσαι τῇ τῶν ἀνθρώπων σωτηρίᾳ. Τοῦτο δὲ πεποίηκεν ὅτε τῷ σωματικῷ εἴδει ὡσεὶ περιστερὰ (25) ἐφίπταται μετὰ τὸ λουτρὸν αὐτῷ, καὶ ἐπιστὰν οὐ παρέρχεται· τάχα ἐν ἀνθρώποις τοῦτο πεποιηκότος (26) τοῖς μὴ δυνηθεῖσιν ἀδιαλείπτως φέρειν αὐτοῦ τὴν δόξαν. Διόπερ σημαίνων (27) ὁ Ἰωάννης περὶ τοῦ γνῶναι ὅστις ποτέ ἐστιν ὁ Χριστὸς οὐχὶ μόνην τὴν ἐπὶ τὸν Ἰησοῦν κατάβασιν τοῦ Πνεύματος, ἀλλὰ πρὸς τῇ καταβάσει τὴν ἐν αὐτῷ μονήν. Γέγραπται γὰρ εἰρηκέναι τὸν Ἰωάννην, ὅτι « Ὁ πέμψας με βαπτίζειν εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' C αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. » Οὐ γὰρ λέγεται, « Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, » μόνον, τάχα καὶ ἐπ' ἄλλους καταβεβηκότος αὐτοῦ, ἀλλὰ « καταβαῖνον, καὶ μένον ἐπ' αὐτόν. » Ταῦτα δὲ ἐπιπολὺ ἐξήτασται σαφέστερον ἰδεῖν βουλομένοις πῶς, εἰ πάντα δι' αὐτοῦ ἐγένετο, καὶ τὸ Πνεῦμα διὰ τοῦ Λόγου ἐγένετο, ἓν τῶν πάντων τύγχάνον ὑποδεεστέρων τοῦ (28) δι' οὗ ἐγένετο νοούμενον, εἰ καὶ λέξεις τινὲς περισπᾷν ἡμᾶς εἰς τὸ ἐναντίον δοκοῦσιν. Ἐὰν δὲ προσίεταί τις τὸ καθ' Ἑβραίους Εὐαγγέλιον, ἔνθα αὐτὸς ὁ Σωτήρ φησιν· « Ἄρτι ἔλαβέ με ἡ μήτηρ μου τὸ ἅγιον Πνεῦμα ἐν μιᾷ τῶν τριχῶν μου, καὶ ἀπήνεγκέ με εἰς τὸ ὄρος τὸ μέγα Θαβώρ· » ἐπαπορήσει πῶς μήτηρ Χριστοῦ τὸ διὰ τοῦ Λόγου γεγενημένον Πνεῦμα ἅγιον εἶναι

[5] Hebr. II, 9. [6] Luc. III, 22. [7] Joan. I, 32. [8] ibid.

(23) *Ἢ τάχα ἐστὶ καὶ τοῦτο εἰπεῖν*, etc. Mortis quippe Christi beneficium ad creatas res omnes pertinere voluit, ut in *Origenianis* demonstramus. HUETIUS.

(24) *Ἥντινα ὑπομένειν οὐ δυνάμενον*, etc. Humani generis redemptio Filium quidem potius quam Spiritum sanctum decebat, ut docet Thomas p. III, q. 3, art. 8. Uterque autem id muneris pariter exsequi poterat. ID.

(25) Recte codex Bodleianus περιστερά, male Regius περιστερᾷ.

(26) *Πεποιηκότος*. Lege πεποιηκός.

(27) *Σημαίνων*. Lege σημαίνει, aut si servas σημαίνων, aliud verbum supple quod regat οὐχὶ μόνην τὴν ἐπὶ τὸν Ἰησοῦν κατάβασιν, etc.

(28) *Ἓν τῶν πάντων τυγχάνον ὑποδεεστέρων τοῦ*, etc. Ita recte habet codex Bodleianus; in co- D dice Regio legitur, ἓν τῶν πάντων τυγχάνων ὑποδεέστερον τοῦ, etc. Quæ certe manifesto mendosa sunt. Nam quid sibi vellet Origenes, inquit Huetius, si Spiritum sanctum unum e rebus omnibus quæ a Patre et Filio habent ut sint, minorem eo esse scripsisset a quo est? Legendum ergo: ἓν τῶν πάντων τυγχάνον ὑποδεεστέρων, etc. Spiritus sanctus una est ex iis rebus quæ eo inferiores sunt per quod sunt. Quod autem Spiritum sanctum Verbo minorem statuit, consentientem habet Athanasium orat. 2 *Advers. Arianos*: Τοιαῦτα μὲν οὖν τοῖς Ἰουδαίοις ὡς ἄνθρωπος ἔλεγεν ὁ Κύριος· τοῖς δὲ μαθηταῖς τὴν θεότητα, καὶ τὴν μεγαλειότητα δεικνὺς ἑαυτοῦ, οὐκέτι ἐλάττονα ἑαυτὸν τοῦ Πνεύματος, ἀλλὰ μείζονα, καὶ ἴσον ὄντα σημαίνων, ἐδίδου μὲν τὸ Πνεῦμα καὶ ἔλεγε· « Λάβετε τὸ Πνεῦμα ἅγιον· » καὶ « Ἐγὼ αὐτὸ ἀποστέλλω· » καί· « Ἐκεῖνος ἐμὲ δοξάσει. » —

δύναται. Ταῦτα δὲ καὶ τοῦτο οὐ χαλεπὸν ἑρμηνεῦσαι. Εἰ γὰρ ὁ ποιῶν τὸ θέλημα (29) τοῦ Πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστὶν αὐτοῦ, καὶ φθάνει τὸ ἀδελφὸς Χριστοῦ ὄνομα οὐ μόνον ἐπὶ τὸ τῶν ἀνθρώπων γένος, ἀλλὰ καὶ ἐπὶ τὰ τούτου θειότερα· οὐδὲν ἄτοπον ἔσται μᾶλλον πάσης χρηματιζούσης μητρὸς Χριστοῦ διὰ τὸ ποιεῖν τὸ θέλημα τοῦ ἐν τοῖς οὐρανοῖς Πατρὸς, τὸ Πνεῦμα τὸ ἅγιον εἶναι μητέρα. Ἔτι εἰς τό· « Πάντα δι' αὐτοῦ ἐγένετο, » καὶ ταῦτα ζητητέον. Τῇ ἐπινοίᾳ ὁ Λόγος ἕτερός ἐστι παρὰ τὴν ζωὴν, καὶ « ὃ γέγονεν ἐν » τῷ Λόγῳ « ζωὴ ἦν, καὶ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. » Ἆρ' οὖν, ὡς πάντα δι' αὐτοῦ ἐγένετο, καὶ ἡ ζωὴ δι' αὐτοῦ ἐγένετο; ἥτις ἐστὶ τὸ φῶς τῶν ἀνθρώπων, καὶ αἱ ἄλλαι τοῦ Σωτῆρος ἐπίνοιαι· ἢ καθ' ὑπεξαίρεσιν τῶν ἐν αὐτῷ νοητέον τό « Πάντα δι' αὐτοῦ ἐγένετο; » ὅπερ δοκεῖ μοι εἶναι κρεῖττον. Ἵνα γὰρ συγχωρηθῇ διὰ τοῦ γεγονέναι τὴν ζωὴν τὸ φῶς τῶν ἀνθρώπων, τί λεκτέον περὶ τῆς προεπινοουμένης (30) τοῦ Λόγου σοφίας; Οὐ γὰρ δήπου διὰ τοῦ Λόγου τὸ περὶ τὸν Λόγον γεγένηται· ὥστε χωρὶς τῶν ἐπινοουμένων τῷ Χριστῷ, πάντα διὰ τοῦ Λόγου γεγένηται τοῦ Θεοῦ, ποιήσαντος ἐν σοφίᾳ αὐτὰ τοῦ Πατρός· « Πάντα γὰρ, φησὶν, ἐν σοφίᾳ ἐποίησας, » οὐ διὰ τῆς σοφίας ἐποίησας.

A in montem magnum Thabor portavit; » is dubitabit qui Spiritus sanctus, qui per Verbum factus est, mater Christi esse possit. Sed hæc atque hoc non est difficile interpretari. Si enim is qui facit voluntatem Patris qui in cœlis est, ejus est et frater, et soror, et mater [9]; et fratris Christi nomen non solum ad genus hominum venit, sed etiam ad ea quæ eo diviniora sunt, nihil jam absurdum alienumque erit, plus etiam quam eos qui quod Patris qui in cœlis est voluntatem faciant, Christi mater appellantur, matrem esse sanctum Spiritum.] Ad hæc quæramus oportet et illa in hoc dictum : « Omnia per ipsum facta sunt. » Sermo intellectione animi alius est a vita, et « quod factum est in » Sermone « vita erat, et vita erat lux hominum [10]. » An igitur
B ut omnia per ipsum facta sunt, sic etiam vita per ipsum facta est, quæ est lux hominum, et aliæ Servatoris intellectiones : vel omnia per ipsum facta fuisse intelligere opus est, detractis his quæ in ipso sunt? Quod mihi melius esse videtur. Ut enim concedatur ipsum fecisse omnia, eo quod vita, quæ est lux hominum, facta fuerit, quid dicendum de sapientia quæ ante ipsum Sermonem consideratur? Nam profecto per Sermonem factum non est, quod excellit Sermonem. Quare omnia per Sermonem Deum facta sunt, præter ea quæ considerantur in Christo, quia Pater fecerit ea in sapientia, « Omnia enim, inquit, in sapientia fecisti [11], » non per sapientiam fecisti.

7. Ἴδωμεν δὲ διὰ τί πρόσκειται τό· « Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· » τισὶ κἂν δόξαι περιττὸν τυγχάνειν τό· « Χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, » ἐπιφερόμενον τῷ· « Πάντα δι' αὐτοῦ ἐγένετο. » Εἰ γὰρ πᾶν ὁτιποτοῦν διὰ τοῦ Λόγου γεγένηται, οὐδὲν χωρὶς τοῦ Λόγου γεγένηται. Οὐκέτι μέντοι γε ἀκολουθεῖ τῷ χωρὶς τοῦ Λόγου γεγενῆσθαί τι (31) τὸ πάντα τοῦ Λόγου γεγενῆσθαι. Ἔξεστι γὰρ, οὐδενὸς χωρὶς τοῦ Λόγου γεγενημένου, μὴ μόνον διὰ τοῦ Λόγου γεγονέναι πάντα, ἀλλὰ καὶ ὑπὸ τοῦ Λόγου τινά. Χρὴ τοίνυν εἰδέναι πῶς δεῖ ἀκούειν τοῦ *πάντα*, καὶ πῶς τοῦ *οὐδέν*. Δυνατὸν γὰρ ἐκ τοῦ μὴ τετρανωκέναι ἀμφοτέρας τὰς λέξεις, ἐκδέξασθαι, ὅτι, εἰ πάντα διὰ τοῦ Λόγου ἐγένετο, τῶν δὲ πάντων ἐστὶ καὶ ἡ κακία, καὶ πᾶσα ἡ χύσις τῆς ἁμαρτίας, καὶ τὰ πονηρὰ, ὅτι καὶ ταῦτα διὰ τοῦ Λόγου ἐγένετο. Τοῦτο δὲ ψεῦδος· κτίσματα μὲν γὰρ διὰ τοῦ Λόγου γεγονέναι οὐκ ἄτοπον, ἀλλὰ καὶ διὰ τοῦ Λόγου τὰ ἀνδραγαθήματα, καὶ πάντα τὰ κατορθώματα κατωρθῶσθαι τοῖς μακαρίοις νοεῖν ἀναγκαῖον· οὐκέτι δὲ καὶ τὰ ἁμαρτήματα καὶ τὰ ἀποπτώματα. Ἐξειλήφασιν οὖν τινες (32) τῷ ἀνυπόστατον εἶναι τὴν κακίαν (οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται) ταῦτ' εἶναι τὰ μηδέν· καὶ

C 7. Videamus etiam quamobrem dictum sit, « Et sine ipso factum est nihil [12], » etiamsi quibusdam videatur superfluum esse illud, « Sine ipso factum est nihil, » quod subjungitur his verbis: « Omnia per ipsum facta sunt. » Si omne et quidquid dixeris per Sermonem factum fuit, nihil sine Sermone factum fuit, tamen non sequitur, si sine Sermone non factum est aliquid, omnia per Sermonem facta fuisse. Nam fieri potest ut, cum nihil sine Sermone factum fuerit, non tantum omnia per Sermonem facta sint, sed aliqua solum ab ipso facta fuerint. Proinde intelligamus necesse est, quonam pacto accipere debeamus vocabulum *omnia*, et quomodo vocabulum *nihil*. Fieri enim potest, ni explanaverimus utrasque dictiones, si omnia per Sermonem
D facta sunt, et appellatione omnium comprehendatur et vitium, et omnis fusio peccati, et omnia prava, ut intelligamus etiam hæc per Sermonem facta fuisse, quod est falsum : creaturas enim per Sermonem factas fuisse nihil est absurdi : atque
65 etiam beatos viros omnia præclare facta, et egregia facinora per Sermonem peregisse, nobis necessarium est intelligere : non item vero lapsus,

[9] Matth. XII, 50. [10] Joan. I, 3, 4. [11] Psal. CIII, 24. [12] Joan. I, 3.

«Hæc quidem Judæis tanquam homo dicebat Dominus. Discipulis vero divinitatem et magnitudinem suam ostendens, non jam amplius minorem se Spiritu, sed majorem esse et æqualem significans, dabat quidem Spiritum et dicebat : « Accipite Spiritum sanctum :» et, « Ego illum mitto : » et, « Ipse me glorificabit : » majorem, propter dignitatem et auctoritatem originis; æqualem, essentia et natura.

(29) Codex Bodleianus recte habet Εἰ γὰρ ὁ ποιῶν τὸ θέλημα· male Regius : Εἰ γὰρ ὁποῖον τὸ θέλημα.

(30) Codd. Regius et Barberinus, *Προεπινοουμένης*. Bodleianus, προνοουμένης.

(31) *Γεγενῆσθαί τι*. Ferrarius legit, μὴ γεγενῆσθαι.

(32) *Ἐξειλήφασιν οὖν τινες*, etc. Augustinus *Soliloq.* cap. 5.

et peccata. Exposuerunt igitur quidam, propterea quod non subsistat vitium (neque enim fuit ab initio, ac ne in sæculum quidem futurum est), ea nihil esse. Et quemadmodum gentiles quidam genera, et species, veluti animal, et hominem, nihil esse dicunt, ita hi arbitrati sunt esse omne illud, quod nec a Deo, nec per Sermonem sumpserit apparentem subsistentiam. Et adnotamus num e Scripturis possint hæc accuratissime ostendi. Quantum igitur attinet ad significata hujus voculæ *nihil*, et voculæ *non ens*, synonyma videbuntur esse, cum non ens dicatur nihil, et nihil non ens. Itaque videtur Apostolus non entia dicere, non quæ omnino nequaquam sunt, sed ea quæ sint prava, existimans prava non exsistere. « Quæ enim non erant, inquit, Deus velut entia vocavit. » Quin Mardochæus etiam in libro Esther juxta Septuaginta, non exsistentes vocat inimicos Israel, dicens : « Ne tradideris sceptrum tuum, Domine, non exsistentibus [13-14]. » Possumus etiam adjungere quomodo propter vitium mali appellentur non exsistentes, ex Dei nomine, quod scriptum est in Exodo : « Dixit enim Dominus ad Mosen : Exsistens hoc mihi est nomen [15]. » Bonus Deus hæc loquitur judicio nostro, qui gloriamur esse de Ecclesia, quem glorificans Servator dicit : « Nemo bonus, nisi solus Deus, nempe ille Pater. [16] » Igitur bonus idem est cum exsistente. Cum vero malum aut pravum contrarium sit bono, et contrarium exsistenti sit non exsistens, sequitur malum et pravum esse non exsistens. Et fortassis hac ratione adducti fuerunt, qui dicunt diabolum non esse Dei opificium : in quantum enim diabolus est, non est Dei opificium ; in quantum vero illi contigit diabolo esse, factus cum sit, cum nihil creatum sit extra Deum nostrum, Dei est opificium (37), ut si parricidam Dei opus esse negaremus, non auferentes ipsum a Deo factum fuisse, in quantum homo **66** est. Namque ponentes etiam nos, eum esse sumpsisse a Deo, in quantum homo est, non ponimus hoc eum sumpsisse, in quantum est interfector. Itaque omnes participantes ens (participant autem sancti), merito erunt exsisten-

A ὥσπερ Ἑλλήνων τινές φασιν εἶναι τῶν οὔ τινων τὰ γένη καὶ τὰ εἴδη (33), οἷον τὸ ζῶον καὶ τὸν ἄνθρωπον, οὕτως ὑπέλαβον οὐδὲν τυγχάνειν πᾶν τὸ οὐχ ὑπὸ Θεοῦ, οὐδὲ διὰ τοῦ Λόγου τὴν δοκοῦσαν σύστασιν εἰληφός. Καὶ ἐφίσταμεν εἰ δυνατὸν ἀπὸ τῶν Γραφῶν πληκτικώτατα ταῦτα παραστῆσαι. Ὅσον τοίνυν ἐπὶ τοῖς σημαινομένοις τοῦ *οὐδὲν*, καὶ τοῦ *οὐκ ὄν*, δόξει εἶναι συνώνυμα, τοῦ οὐκ ὄντος οὐδενὸς ἂν λεγομένου, καὶ τοῦ οὐδενὸς οὐκ ὄντος. Φαίνεται δὲ ὁ Ἀπόστολος τὰ οὐκ ὄντα οὐχὶ ἐπὶ τῶν μηδαμῆ μηδαμῶς ὄντων ὀνομάζων, ἀλλ' ἐπὶ τῶν μοχθηρῶν, μὴ ὄντα νομίζων τὰ πονηρά· « Τὰ μὴ ὄντα γὰρ, φησὶν, ὁ Θεὸς ὡς ὄντα ἐκάλεσεν. » Ἀλλὰ καὶ ὁ Μαρδοχαῖος, ἐν τῇ κατὰ τοὺς Ἑβδομήκοντα Ἐσθὴρ, μὴ ὄντας τοὺς ἐχθροὺς τοῦ Ἰσραὴλ καλεῖ λέγων· « Μὴ παραδῷς τὸ B σκῆπτρόν σου, Κύριε, τοῖς μὴ οὖσιν. » Καὶ ἔστι προσαγαγεῖν πῶς διὰ τὴν κακίαν μὴ ὄντες οἱ πονηροὶ προσαγορεύονται ἐκ τοῦ ἐν τῇ Ἐξόδῳ ὀνόματος ἀναγραφομένου τοῦ Θεοῦ· « Εἶπε γὰρ Κύριος πρὸς Μωϋσῆν· Ὁ ὢν, τοῦτό μοί ἐστι τὸ ὄνομα. » Καθ' ἡμᾶς δὲ τοὺς εὐχομένους (34) εἶναι ἀπὸ τῆς Ἐκκλησίας, ὁ ἀγαθὸς Θεὸς ταῦτά φησιν, ὃν δοξάζων ὁ Σωτὴρ λέγει· « Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεὸς ὁ Πατήρ. » Οὐκοῦν ὁ ἀγαθὸς τῷ ὄντι ὁ αὐτός ἐστιν. Ἐναντίον δὲ τῷ ἀγαθῷ τὸ κακὸν, ἢ τὸ πονηρὸν, καὶ ἐναντίον τῷ ὄντι τὸ οὐκ ὄν· οἷς ἀκολουθεῖ, ὅτι τὸ πονηρὸν καὶ κακὸν οὐκ ὄν. Καὶ τάχα τοῦτο ἔσηνε τοὺς εἰπόντας (35) τὸν διάβολον μὴ εἶναι Θεοῦ δημιούργημα· καθὸ γὰρ διάβολός ἐστιν, οὐκ ἔστι Θεοῦ δημιούργημα· ᾧ δὲ συμβέβηκε C διαβόλῳ εἶναι, γενητὸς ὢν, οὐδενὸς κτίστου ὄντος παρὲξ τοῦ Θεοῦ ἡμῶν, Θεοῦ ἐστι κτίσμα· ὡς εἰ ἐφάσκομεν καὶ τὸν φονέα μὴ εἶναι Θεοῦ δημιούργημα, οὐκ ἀναιροῦντες τὸ, ᾗ ἄνθρωπός ἐστι, πεποιῆσθαι αὐτὸν (36) ὑπὸ Θεοῦ. Τιθέντες γὰρ τὸ, ᾗ ἄνθρωπος τυγχάνει, ἀπὸ Θεοῦ αὐτὸν τὸ εἶναι εἰληφέναι, καὶ ἡμεῖς οὐ τίθεμεν τὸ, ᾗ φονεύς ἐστιν, ἀπὸ Θεοῦ τοῦτ' αὐτὸν εἰληφέναι. Πάντες μὲν οὖν οἱ μετέχοντες (38) τοῦ ὄντος (μετέχουσι δὲ οἱ ἅγιοι), εὐλόγως ἂν ὄντες χρηματίζοιεν· οἱ δὲ ἀποστραφέντες τὴν τοῦ ὄντος μετοχὴν, τῷ ἐστερῆσθαι τοῦ ὄντος, γεγόνασιν οὐκ ὄντες. Προείπομεν δὲ, ὅτι συνωνυμία ἐστὶ τοῦ οὐκ ὄντος καὶ τοῦ οὐδενός· καὶ διὰ τοῦτο οἱ οὐκ ὄντες οὐδὲν

[13-14] Esth. XIV, 11. [15] Ex. III, vers. 14. [16] Marc. x, 18; Luc. XVIII, 19.

(33) *Εἶναι τῶν οὔ τινων τὰ γένη καὶ τὰ εἴδη*, etc. Hoc est, juxta doctrinam Peripateticorum, rerum quæ non sunt hoc aliquid, sive τόδε τι : ea sunt autem τὰ καθόλου, vel, juxta Platonicos, ideæ universales. HUETIUS.

(34) *Καθ' ἡμᾶς δὲ τοὺς εὐχομένους*, etc. Marcionitas suggillat, οἰηθέντας δίκαιον μὲν εἶναι τὸν δημιουργὸν, ἀγαθὸν δὲ τὸν τοῦ Χριστοῦ Πατέρα, ut idem habet Origenes supra tom. I *in Joannem*, num. 40. ID.

(35) *Καὶ τάχα τοῦτο ἔσηνε τοὺς εἰπόντας*, etc. Vocabulum ἔσηνε non intellexit Perionius, hoc est, *commovit*. Origenes *in Matth.* XX : Μὴ σαινέτω δὲ ἡμᾶς εἰ ὁ Σωτὴρ, etc. Infra tom. VI *in Joann.*, num 6 : Ὅτι ὁ καιρὸς τῆς Χριστοῦ ἐπιδημίας ἔσαινε τὸν λαόν. Cæterum loco huic adsonat alter ille Epiphanii hæres. LXIV, cap. 19 : Πόθεν ὁ φθόνος, ὁ ἀντιλέγων ἐρεῖ. Εἰ γὰρ ἀπὸ τοῦ διαβόλου, καὶ διὰ τί διάβολος ἐγένετο; Εἰ ἐγένετο, καὶ ὁ ποιήσας αὐτόν ἐστιν αἴτιος τοῦ εἶναι κακόν. Ἀλλ' ἀναίτιος πάντη D κακῶν ἐστιν ὁ Θεός· ἀγένητος ἄρα ὁ διάβολος. « Undenam invidia profecta sit, adversarius quærit. Nam si a diabolo respondeas; cur omnino diabolus exstitit? Si factus est; qui condidit illum, auctor mali debet videri. Atqui malorum causa Deus esse non potest; quare ab nullo productus est diabolus. » Marcionitas porro et alios eorum symmystas hic designat Origenes, qui tria principia statuebant, quorum Deus alter esset bonus, ignotus, Christi Pater; alter Creator et cognitus; et tertius inter utrumque diabolus. Legendus Epiphanius hæres. XLII, cap. 3. ID.

(36) *Πεποιῆσθαι αὐτόν*, etc. Editio Huetii habet μὴ πεποιῆσθαι.

(37) Hæc ab Ambrosio Ferrario omissa, ac interpretatione Perionii supplemus.

(38) *Μετέχοντες*. Editio Huetii, μὴ μετέχοντες, perperam. Certe in codice Bodleiano non legitur μή.

εἰσι, καὶ πᾶσα ἡ κακία οὐδέν ἐστιν, ἐπεὶ καὶ οὐκ ὂν τυγχάνει· καὶ οὐδὲν καλουμένη χωρὶς γεγένηται τοῦ Λόγου, *τοῖς πᾶσιν* οὐ συγκαταριθμουμένη. Ἡμεῖς μὲν οὖν κατὰ τὸ δυνατὸν παρεστήσαμεν τίνα τὰ διὰ τοῦ Λόγου γεγενημένα πάντα, καὶ τί τὸ χωρὶς αὐτοῦ γενόμενον μὲν, ὂν δὲ οὐδέποτε, καὶ διὰ τοῦτο οὐδὲν καλούμενον.

tes; qui vero diffugiunt entis participationem, eo quod privati sint ente, facti fuerunt non exsistentes. Diximus autem superius ens et nihil synonyma et univoca esse: et hanc ob causam qui non sunt nihil esse, et omne vitium etiam nihil esse, quoniam est non ens; et nihil vocatum, sine Sermone factum fuisse, non connumeratum cum vocula hac, *omnibus*. Atque nos quidem pro virili ostendimus, quæ sint omnia facta per Sermonem, et quid sit sine ipso quidem factum, nunquam autem exsistens, et hanc ob causam nihil vocatum.

8. Βιαίως δὲ οἶμαι καὶ χωρὶς μαρτυρίου τὸν Οὐαλεντίνου λεγόμενον εἶναι γνώριμον Ἡρακλέωνα (39) διηγούμενον τό· « Πάντα δι' αὐτοῦ ἐγένετο, » ἐξειληφέναι πάντα τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ, ἐκκλείοντα τῶν πάντων τὸ ὅσον ἐπὶ τῇ ὑποθέσει αὐτοῦ τὰ τοῦ κόσμου, καὶ τῶν ἐν αὐτῷ διαφέροντα. Φησὶ γὰρ οὐ τὸν (40) αἰῶνα ἢ τὰ ἐν τῷ αἰῶνι γεγονέναι διὰ τοῦ Λόγου· ἅτινα οἴεται πρὸ τοῦ Λόγου γεγονέναι. Ἀναιδέστερον δὲ ἱστάμενος πρὸς τό· « Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, » μηδὲ εὐλαβούμενος (41) τό· « Μὴ προσθῇς τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε, καὶ ψευδὴς γένῃ, » προστίθησι τῷ, *οὐδὲ ἕν*, « τῶν ἐν τῷ κόσμῳ καὶ τῇ κτίσει. » Καὶ ἐπεὶ προφανῆ ἐστι τὰ ὑπ' αὐτοῦ λεγόμενα σφόδρα βεβιασμένα, καὶ παρὰ τὴν ἐνάργειαν (42) ἐπαγγελλόμενα, εἰ τὰ νομιζόμενα αὐτῷ θεῖα ἐκκλείεται *τῶν πάντων*, τὰ δὲ, ὡς ἐκεῖνος οἴεται, παντελῶς φθειρόμενα κυρίως *πάντα* καλεῖται· οὐκ ἐπιδιατριπτέον τῇ ἀνατροπῇ τῶν αὐτόθεν τὴν ἀτοπίαν ἐμφαινόντων· οἷον δὲ καὶ τὸ τῆς Γραφῆς, « Χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, » προστιθέντα αὐτὸν ἄνευ παραμυθίας τῆς ἀπὸ τῆς Γραφῆς τό· « Τῶν ἐν τῷ κόσμῳ καὶ τῇ κτίσει, » μηδὲ μετὰ πιθανότητος ἀποφαίνεσθαι, πιστεύεσθαι ἀξιοῦντα ὁμοίως προφήταις ἢ ἀποστόλοις τοῖς μετ' ἐξουσίας καὶ ἀνυπευθύνως καταλείπουσι τοῖς καθ' αὐτοὺς καὶ μεθ' αὐτοὺς σωτήρια γράμματα. Ἔτι δὲ ἰδίως καὶ τοῦ· « Πάντα δι' αὐτοῦ ἐγένετο, » ἐξήκουσε, φάσκων τὸν τὴν αἰτίαν παρασχόντα τῆς γενέσεως τοῦ κόσμου τῷ Δημιουργῷ τὸν Λόγον ὄντα εἶναι (43), οὐ τὸν *ἀφ' οὗ*, ἢ *ὑφ' οὗ*, ἀλλὰ τὸν *δι' οὗ*, περὶ τῶν ἐν τῇ συνηθείᾳ φράσιν (44) ἐκδεχόμενος τὸ γεγραμμένον. Εἰ γὰρ, ὡς νοεῖ, ἡ ἀλήθεια τῶν πραγμάτων ἦν, ἔδει διὰ τοῦ Δημιουργοῦ γεγράφθαι πάντα γεγονέναι ὑπὸ τοῦ Λόγου, οὐχὶ δὲ ἀνάπαλιν διὰ τοῦ Λόγου ὑπὸ τοῦ Δημιουργοῦ. Καὶ ἡμεῖς μὲν τῇ, *δι' οὗ*, χρησάμενοι ἀκολούθως τῇ συνηθείᾳ, οὐκ ἀμάρτυρον τὴν ἐκδοχὴν ἀφήκαμεν· ἐκεῖνος δὲ πρὸς τὸ μὴ παραμεμυθῆσθαι ἀπὸ τῶν θείων Γραμμάτων τὸν καθ' ἑαυτὸν νοῦν, φαίνεται (45) καὶ ὑποπτεύσας τὸ ἀληθὲς, καὶ ἀναιδῶς αὐτῷ ἀντιβλέψας. Φησὶ γὰρ, ὅτι οὐχ ὡς ὑπ' ἄλλου ἐνεργοῦντος αὐτὸς ἐποίει ὁ

8. Existimo autem Heracleonem, qui Valentini discipulus esse fertur, cum hæc edissereret: « Omnia per ipsum facta sunt [17], » coacte et sine testimonio mundum universum quæque in eo sunt excepisse, excludentem, quantum ipsius fert hypothesis, ex omnibus præstantissima quæque mundi et eorum quæ in ipso continentur. Ait enim per Sermonem non sæculum, non quæ in sæculo sunt, facta fuisse, existimans illa ante Sermonem fuisse. Impudentius insuper instans ad illud: « Et sine eo factum est nihil [18], » neque veritus illud: « Ne addideris sermonibus ejus, ne te redarguat, et mendax sis [19], » illi voci, *nihil*, addit, « eorum quæ in mundo sunt et in hac conditione. » Et quoniam apertum est dicta ipsius valde coacta esse, præterque evidentiam pronuntiata, si quæ ipse divina opinatur, excluduntur a voce *omnium*, quæ vero sunt opinione sua omnino corruptibilia proprie dicuntur *omnia*, non immorandum nobis est in his confutandis quæ ex se absurditatem præ se ferunt. Quale est illud etiam quod, Scriptura dicente: « Et sine ipso factum est nihil, » ipse addit sine auctoritate Scripturæ: « Eorum quæ sunt in mundo et creatione, » quod neque cum probabilitate pronuntiat, sed dignum se putat cui non secus atque prophetis vel apostolis credatur, qui cum auctoritate et inculpate reliquerunt sui similibus ac posteris suis salutaria scripta. Jam vero et hoc dictum: « Omnia per ipsum facta sunt, » privatim atque secus quam alii exposuit dicens, Sermonem eum esse qui causam præbuerit generationis mundi **67** Opifici, nec tamen Sermoni competere particulam *a quo* vel *ex quo*, sed *per quem*, exponens id quod scriptum est, phrasim esse consuetam; sed si rerum veritas erat, ut ipse putat, scriptum fuisse oportuit, omnia per Opificem facta fuisse a Sermone, non vice versa per Sermonem ab Opifice. Et nos quidem cum usi sumus vocula *per quem*, perinde atque facit consuetudo, non sine teste expositionem dimisimus. At vero ille, præterquam quod suam opinionem e divinis Scripturis non con-

[17] Joan. I, 3. [18] ibid. [19] Prov. XXX, 6.

(39) *Ἡρακλέωνα*, etc. De Heracleone ejusque dogmatis videre est apud Irenæum lib. II, cap. 4; Tertullianum *De præscript. advers. hæres.*, cap. 49, et cap. 4, *advers. Valent.*; Epiphanium hæres. XXXVI, et alios.

(40) Codex Bodleianus, Διαφέροντα γάρ φησιν οὐ τόν, etc.

(41) Bodleianus et Barberinus, μηδὲ εὐλαβούμενος, Regius, μὴ εὐλαβούμενος.

(42) Bodleianus et Barberinus, ἐνάργειαν, sicque legit Ferrarius; codex vero Regius habet ἐνέργειαν, male.

(43) *Εἶναι* deest in codice Regio, sed exstat in codicibus Bodleiano et Barberino.

(44) Codex Regius, φασίν.

(45) *Πρὸς τὸ μὴ παραμεμυθῆσθαι ἀπὸ τῶν θείων Γραμμάτων τὸν καθ' ἑαυτὸν νοῦν φαίνεται*, etc. Sic hunc locum, in codice Regio fœdatum, restituunt codd. Bodleianus et Barberinus; verum pro πρὸς τό legendum videtur πρὸς τῷ.

firmat, videtur et suspicatus fuisse veritatem, et impudenter illi adversatus dicens : Non enim faciebat ipse Sermo, tanquam ab alio operante (ut sic intelligeretur vocula *per quem*), sed ipso operante alius faciebat. Cæterum non præsentis est temporis probare quod mundi Opifex et fabricator fecerit mundum, non factus minister Sermonis, et ostendere quod Sermo, ut minister Opificis, mundum condiderit. Juxta David enim prophetam [20], « Deus dixit, et facta sunt ; mandavit, et creata sunt ; » mandavit enim ingenitus Deus Primogenito omnis creaturæ, et creata sunt, non solum mundus et quæ sunt in illo, verum etiam reliqua omnia, « sive throni, sive dominationes, sive principatus, sive potestates : omnia enim per illum, et in illum creata sunt : et ipse est ante omnia [21]. »

A Λόγος, ἵν' οὕτω νοηθῇ τὸ, *δι' αὐτοῦ*, ἀλλ' αὐτοῦ ἐνεργοῦντος ἕτερος ἐποίει. Οὐ τοῦ παρόντος δὲ καιροῦ ἐλέγξαι τὸ, μὴ τὸν Δημιουργὸν ὑπηρέτην τοῦ Λόγου γεγενημένον τὸν κόσμον πεποιηκέναι, καὶ ἀποδεικνύναι, ὅτι ὑπηρέτης τοῦ Δημιουργοῦ γενόμενος ὁ Λόγος τὸν κόσμον κατεσκεύασε. Κατὰ γὰρ τὸν προφήτην Δαυῒδ· « Ὁ Θεὸς εἶπε, καὶ ἐγενήθησαν· ἐνετείλατο, καὶ ἐκτίσθησαν· » ἐνετείλατο γὰρ ὁ ἀγέννητος Θεὸς τῷ Πρωτοτόκῳ πάσης κτίσεως, καὶ ἐκτίσθησαν, οὐ μόνον ὁ κόσμος καὶ τὰ ἐν αὐτῷ, ἀλλὰ καὶ τὰ λοιπὰ πάντα, « εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ (46), εἴτε ἐξουσίαι· πάντα γὰρ δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων. »

9. Ad hæc in hoc dictum : « Et sine ipso factum est nihil [22], » non intacta sinenda est oratio de vitio : quamvis enim admodum dissentanea atque absimilis esse videatur, ego nihil ferme facile contemnendum esse censeo. Quærendum enim est an etiam vitium per λόγον [id est rationem] factum sit, sumendo nunc λόγον [id est rationem] attente et diligenter pro eo λόγῳ qui est in unoquoque, quoniam et ipse ingenitus est singulis ab eo Λόγῳ qui erat in principio. Inquit igitur Apostolus [23] : « Sine lege peccatum est mortuum, » et addit : « Veniente autem mandato, peccatum revixit [24], » universe docens de peccato, quod peccatum ipsum nullam habeat operationem, antequam veniat lex et mandatum. Proinde cum λόγος [id est ratio] sit aliquo modo lex et mandatum, et non sit peccatum non exsistente lege (« peccatum enim non imputatur, cum non sit lex [25] »), etiam rursus non erit peccatum, si non sit ratio, nam « Si non venissem, inquit [26], et locutus eis fuissem, peccatum non haberent. » **68** Aufertur enim prætextus omnis ab eo qui voluerit se de peccato defendere, quoniam sermoni et rationi in se exsistenti, ostendentique quid agendum, non paruerit. Unde omnia vel fortasse etiam ipsa deteriora facta sunt per rationem, et sine ipsa (exponentibus nobis simplicius voculam *nihil*) factum est nihil. Nec rationi omnino vitio vertendum est, si omnia per ipsam facta sint, et sine ipsa factum sit nihil : quemadmodum neque magistro vitio vertendum est, qui discenti necessaria ostenderit, cum propter hujus disciplinas nullus defensionis peccanti relinquitur locus, perinde quasi ignoraverit, idque præsertim, si consideraverimus magistrum a discente inseparabilem : veluti enim magister inseparabilis est a discente, sic ratio in unoquoque qui rationis est compos, naturaliter exsistens, semper agenda suggerens, etiam si non

B Ἔτι εἰς τό· « Χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, » οὐκ ἀγύμναστον ἐατέον καὶ τὸν περὶ τῆς κακίας λόγον· κἂν γὰρ σφόδρα ἀπεμφαίνειν δοκῇ, οὐ πάνυ τι δοκεῖ μοι εὐκαταφρόνητον εἶναι. Ζητητέον γὰρ εἰ καὶ ἡ κακία διὰ τοῦ λόγου γεγένηται, νῦν λόγου προσεχῶς λαμβανομένου τοῦ ἐν ἑκάστῳ, ὡς καὶ αὐτὸς ἀπὸ τοῦ ἐν ἀρχῇ Λόγου ἑκάστῳ γεγένηται. Φησὶ τοίνυν ὁ Ἀπόστολος· « Χωρὶς νόμου ἁμαρτία νεκρὰ, » καὶ ἐπιφέρει· « Ἐλθούσης δὲ ἐντολῆς, ἡ μὲν ἁμαρτία ἀνέζησε· » καθολικῶς (47) διδάσκων περὶ τῆς ἁμαρτίας, ὡς μηδεμίαν ἐνέργειαν αὐτῆς ἐχούσης πρὶν νόμου καὶ ἐντολῆς· πῶς δὲ ἔχων ὁ λόγος νόμος εἶναι καὶ ἐντολὴ, καὶ οὐκ ἂν εἴη ἁμαρτία μὴ ὄντος νόμου, (ἁμαρτία γὰρ μὴ ἐλλογεῖται μὴ ὄντος νόμου·) καὶ πάλιν οὐκ ἂν εἴη ἁμαρτία, μὴ ὄντος λόγου· « Εἰ » γὰρ « μὴ C ἦλθον, φησὶ, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον (48). » Πᾶσα γὰρ πρόφασις ἀφαιρεῖται τοῦ βουλομένου ἐπὶ τῇ ἁμαρτίᾳ ἀπολογίσασθαι, ἐπὰν, ἐνυπάρχοντος λόγου καὶ παραδεικνύντος ὃ πρακτέον (49), μὴ πείθηταί τις αὐτῷ. Τάχα οὖν πάντα μέχρι καὶ τῶν χειρόνων διὰ τοῦ λόγου γεγένηται, καὶ χωρὶς αὐτοῦ (ἁπλούστερον ἡμῶν ἐκλαμβανόντων τὸ *οὐδὲν*) ἐγένετο οὐδέν. Καὶ οὐ πάντως τῷ λόγῳ ἐγκλητέον εἰ πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο (50) οὐδὲ ἕν· ὡς οὐδὲ ἐγκλητέον τῷ διδασκάλῳ παραδείξαντι τὰ δέοντα τῷ μανθάνοντι, ἐπὰν διὰ τὰ τούτου μαθήματα μηκέτι τόπος καταλείπηται τῷ ἁμαρτάνοντι ἀπολογίας, ὡς περὶ ἀγνοίας, καὶ μάλιστα ἐὰν νοήσωμεν διδάσκαλον τοῦ μανθάνοντος ἀχώριστον. Οἱονεὶ γὰρ διδάσκαλος τοῦ μανθάνοντος D ἀχώριστός ἐστιν, ὁ ἐνυπάρχων τῇ φύσει τῶν λογικῶν λόγος, ἀεὶ ὑποβάλλων τὰ πρακτέα, κἂν παρακούωμεν αὐτοῦ τῶν ἐντολῶν, ἐπιδιδόντες αὐτοὺς ταῖς ἡδοναῖς, καὶ παραπεμπόμενοι τὰς ἀρίστας αὐτοῦ συμβουλάς. Ὥσπερ δὲ ὑπηρέτῃ τῷ ὀφθαλμῷ ἐπὶ τοῖς χρείττοσιν ἡμῖν γεγενημένῳ, καὶ ἐφ' ὧν οὐ καλῶς (51) ὁρῶμεν χρώμεθα, ὁμοίως καὶ τῇ ἀκοῇ, ὅταν

[20] Psal. xxxii, 9. [21] Coloss. i, 16, 17. [22] Joan. i, 3. [23] Rom. vii, 8. [24] ibid. 9. [25] Rom. v, 13. [26] Joan. xv, 22.

(46) *Εἴτε ἀρχαί*. Hæc desunt in codice Bodleiano, sed leguntur in Barberino et Regio.

(47) *Καθολικῶς*. Ita codex Bodleianus sicque legit Ferrarius ; in codice Regio nec non Barberino legitur καθολικόν.

(48) *Εἶχον*. Ita codex Bodleianus ; Regius vero et Barberinus, εἴχοσαν.

(49) Sic codd. Bodleianus et Barberinus ; Regius, τὸ πρακτέον.

(50) *Καὶ χωρὶς αὐτοῦ ἐγένετο*. Hæc desunt in codice Regio, sed supplentur ex codd. Bodleiano et Barberino.

(51) *Οὐ καλῶς*. Ita recte habet codex Barberinus, male vero Regius et Bodleianus, οὐκ ἄλλως.

παρέχωμεν ἑαυτοὺς ἀκροάσεσι κρίσεως ᾀσμάτων, καὶ τῶν ἀπηγορευμένων ἀκουσμάτων, οὕτως ἐνυβρίζοντες τὸν ἐν ἡμῖν λόγον, καὶ οὐχ εἰς δέον αὐτῷ χρώμενοι, δι' αὐτοῦ παρανομοῦμεν εἰς κρίμα τοῖς ἁμαρτάνουσιν ἐνυπάρχοντος, καὶ διὰ τοῦτο κρίνοντος τὸν μὴ πάντων αὐτὸν προτιμήσαντα· ὅθεν καί φησιν· « Ὁ λόγος ὃν ἐλάλησα, αὐτὸς κρινεῖ ὑμᾶς, » ἴσον διδάσκων τῷ· Ἐγὼ ὁ Λόγος, ὁ ἐν ὑμῖν ἀεὶ ἐνηχῶν, αὐτὸς ὑμᾶς καταδικάσω, τόπον ἀπολογίας καταλειπόμενον ἔχοντας οὐδαμῶς. Δόξει μέντοιγε βιαιοτέρα εἶναι αὕτη ἡ ἐκδοχή, ἄλλον μὲν Λόγον τὸν ἐν ἀρχῇ ἡμῶν ἐξειληφότων τὸν πρὸς τὸν Θεὸν, τὸν Θεὸν Λόγον· ἄλλως δὲ αὐτὸν νοούντων, ἅτε οὐ μόνον ἐπὶ τῶν προηγουμένων δημιουργημάτων τό· « Πάντα δι' αὐτοῦ ἐγένετο, » λέγεσθαι ἐφάσκομεν, ἀλλὰ καὶ ἐπὶ πάντων ὑπὸ (52) τῶν λογικῶν πραττομένων, οὗ λόγου χωρὶς, οὐδὲν ἁμαρτάνομεν. Καὶ ζητητέον εἰ καὶ τὸν ἐν ἡμῖν λόγον τὸν αὐτὸν λεκτέον τῷ ἐν ἀρχῇ καὶ τῷ πρὸς τὸν Θεὸν, καὶ τῷ Θεῷ Λόγῳ, μάλιστα ἐπεὶ οὐχ ὡς ἑτέρου τούτου τυγχάνοντος παρὰ τὸν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Λόγον, ἔοικεν ὁ Ἀπόστολος διδάσκειν τό· « Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν· ἢ, τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. Ἀλλὰ τί λέγει ἡ Γραφή; Ἐγγύς σου τὸ ῥῆμά ἐστι σφόδρα ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου. »

A obediamus illius præceptis, permittentes nos ipsos voluptatibus et prætermittentes optima illius consilia. Ut autem oculo nobis ad bona ministro dato etiam abutimur in his quæ honeste non videmus, perinde atque in auditu facimus, cum attentos nos præbemus dijudicandis canticis auditionibusque nobis vetitis, sic contumeliam inferentes rationi quæ in nobis inest, nec ubi oportet illa utentes, per ipsam transgredimur legem, quæ peccantibus inest ad judicium, et idcirco eum judicans qui ipsam omnibus non prætulerit. Unde etiam inquit [27]: « Sermo, quem locutus sum, ipse condemnabit vos, » perinde quasi diceret, Ego ille Λόγος, ille in vobis insonans, ipse vos condemnabo, qui nullum omnino defensionis relictum habetis locum. Verum coactior
B videbitur esse hæc intelligentia, exponentibus nobis alium Λόγον in principio exsistentem Λόγον apud Deum; Deum Λόγον; alium autem ipsum considerantibus, quia non solum de præcipuis opificiis, omnia per ipsum facta fuisse dici diximus, verum etiam de omnibus quæ fiunt ab his qui λόγου [et rationis] sunt compotes, sine quo λόγῳ [id est ratione] nihil peccamus. Insuper quærendum etiam est an is λόγος, qui in nobis est, idem sit cum eo qui est in principio, et qui est apud Deum, et Deus Λόγος, præsertim quoniam tanquam hoc λόγῳ altero non exsistente ab eo Λόγῳ qui est in principio apud Deum, videatur Apostolus illud docere [28]: « Ne dixeris in corde tuo : Quis ascendet in cœlum? hoc est Christum deducere : **69** vel quis descendet in abyssum? hoc est Christum ex mortuis reducere. Sed quid dicit Scriptura [29]? Prope te verbum est valde in ore tuo et in corde tuo. »

Ὃ γέγονεν ἐν αὐτῷ (53) *ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.* Ἔστι τινὰ δόγματα παρ' Ἕλλησι, καλούμενα παράδοξα, τῷ κατ' αὐτοὺς σοφῷ πλεῖστα ὅσα προσάπτοντα μετά τινος ἀποδείξεως ἢ φαινομένης ἀποδείξεως, καθά φησι μόνον καὶ πάντα τὸν σοφὸν εἶναι ἱερέα, τῷ μόνον καὶ πάντα τὸν σοφὸν ἐπιστήμην ἔχειν τῆς τοῦ Θεοῦ θεραπείας· καὶ μόνον καὶ πάντα τὸν σοφὸν εἶναι ἐλεύθερον, ἐξουσίαν αὐτοπραγίας ἀπὸ τοῦ θείου νόμου εἰληφότα. Καὶ τὴν ἐξουσίαν δὲ ὁρίζονται νόμιμον ἐπιτροπήν. Καὶ τί δεῖ νῦν ἡμᾶς λέγειν περὶ τῶν καλουμένων παραδόξων, πολλῆς οὔσης τῆς εἰς αὐτὰ πραγματείας, καὶ δεομένων συγκρίσεων (54) τῆς πρὸς τὸ βούλημα τῆς Γραφῆς τῶν ὑπ' αὐτῶν κατὰ τὰ παράδοξα ἀπαγγελλομένων, ἵνα ἐπὶ τίνων ὁ τῆς θεοσεβείας λόγος συνᾴδει, καὶ ἐπὶ τίνων τὸ ἐναντίον τοῖς ὑπ' ἐκείνων λεγομένοις βούλεται, παραστῆσαι δυνηθῶμεν; Τούτων δὲ ἡμῖν μνήμη γεγένηται ζητοῦσι τό· « Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν, » διὰ τὸ οἱονεὶ τῷ χαρακτῆρι τῶν παραδόξων, καὶ εἰ δεῖ εἰπεῖν, παραδοξότερον παρὰ τὰ ὑπ' ἐκείνων λεγόμενα δύνασθαι ἄν τινα ἑπόμενον τῇ Γραφῇ δεῖξαι τοιαῦτα πλείονα. Ἐὰν γὰρ νοήσωμεν τὸν ἐν ἀρχῇ Λόγον, τὸν πρὸς τὸν Θεὸν, τὸν Θεὸν Λόγον, τάχα δυνησόμεθα μόνον τὸν τούτου, καθὰ τοιοῦ-

C 10. *Quod factum est in ipso vita erat, et vita illa erat lux hominum* [30]. Quædam sunt apud gentiles dogmata, paradoxa quæ vocant, sapienti suo tribuentia quamplurima, cum quadam demonstratione vel apparenti demonstratione, juxta quæ inquiunt solum et omnem sapientem esse sacerdotem; eo quod solus sapiens cultus divini sapientiam teneat; solum etiam et omnem sapientem inquiunt esse liberum, tanquam qui acceperit libertatem ex animi sui sententia operandi a lege divina, libertatem etiam definientes legitimam permissionem. Et quid opus est nos nunc dicere de his quæ paradoxa appellantur, cum multum operæ insumatur in eis, et ea quæ ab ipsis enuntiantur juxta paradoxa, collatione egeant cum voluntate Scripturæ, ut in quibus cultus divini ratio concor-
D det, et in quibus contrarium velit, his quæ ab illis dicuntur, ostendere possimus? Horum autem a nobis mentio facta est inquirentibus illud : « Quod factum est in ipso vita erat, » propterea quod possit aliquis Scripturam sequens, complura hujusmodi ostendere, quæ formam veluti habeant paradoxorum : quæque etiam (si quid, quod magis sit paradoxon, opus est dicere) magis sint paradoxa quam quæ ab illis dicuntur. Nam si consideraverimus Λόγον [id

[27] Joan. XII, 48. [28] Rom. X, 6, 7. [29] Deut. XXX, 14. [30] Joan. I, 3, 4.

(52) Ὑπό deest in editione Huetii, sed suppletur e codd. Barberino et Bodleiano.

(53) *Ὃ γέγονεν ἐν αὐτῷ*, etc. In editione Huetii deest ἐν, quod suppletur e codd. Bodleiano et Barberino. Hinc tomum tertium auspicatur codex Bodleianus, quem secutus videtur Ferrarius.

(54) *Συγκρίσεων*. Legendum videtur συγκρίσεως.

est rationem] et Filium Dei in principio exsistentem rationem apud Deum, et rationem Deum, fortassis eum solum, qui hujus particeps sit, in quantum est talis, rationis capacem dicere poterimus: adeo ut enuntiemus solum sanctum rationis capacem esse. Rursum si intellexerimus factam in Sermone vitam, juxta eum qui dicit [31]: « Ego sum vita, » dicturi sumus neminem extra Christi fidem vivere, sed omnes mortuos esse, qui Deo non vivant, et quod vivere ipsorum sit vivere peccato, et idcirco, ut ita dicam, vivere ipsorum ad mortem pertineat. Inspice vero an non hoc frequenter proponant divinæ Scripturæ, alicubi Servatore dicente: « Annon legistis quod dictum est in rubo: Ego Deus Abraham, et Deus Isaac, et Deus Jacob? Non est Deus mortuorum, sed viventium [32], » et: « Non justificabitur in conspectu tuo omnis vivens [33]. » Cæterum quid dicere opus est de ipso Deo vel Servatore? Ambigitur enim utrius sit vox illa quæ apud prophetas dicit: « Vivo ego, dicit Dominus [34]. »

A τος, μετέχοντα λογικὸν εἰπεῖν, ὥστε καὶ ἀποφήνασθαι ἄν, ὅτι μόνος ὁ ἅγιος λογικός. Πάλιν ἐὰν συνῶμεν τὴν γενομένην ἐν τῷ Λόγῳ ζωὴν, τὸν εἰπόντα· « Ἐγώ εἰμι ἡ ζωὴ, » ἐροῦμεν μηδένα τῶν ἔξω τῆς πίστεως Χριστοῦ ζῇν, πάντας εἶναι νεκροὺς τοὺς μὴ ζῶντας Θεῷ, τό τε ζῇν αὐτῶν ζῇν εἶναι τῆς ἁμαρτίας (55), καὶ διὰ τοῦτο, ἵν' οὕτως εἴπω, ζῇν θανάτου τυγχάνειν. Ἐπίστησον δὲ εἰ μὴ τοῦτο πολλαχοῦ παριστᾶσιν αἱ θεῖαι Γραφαὶ τὸ ὅπου μὲν τοῦ Σωτῆρος φάσκοντος· « Ἢ οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ἐπὶ τῆς βάτου· Ἐγὼ Θεὸς Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακώβ; Οὐκ ἔστι Θεὸς νεκρῶν, ἀλλὰ ζώντων, » καί· « Οὐ δικαιωθήσεται κατενώπιόν σου πᾶς ζῶν. » Τί δὲ περὶ αὐτοῦ λέγειν δεῖ τοῦ Θεοῦ ἢ τοῦ Σωτῆρος; Ἀμφιβάλλεται γὰρ ὁποτέρου εἶναι ἡ λέγουσα ἐν τοῖς προφήταις φωνή· « Ζῶ ἐγὼ, λέγει Κύριος. »

70 11. Ac principio quidem videamus illud: « Non est Deus mortuorum, sed viventium [35], » quod perinde valet atque illud: Non est peccatorum Deus, sed sanctorum Deus. Magnum enim patriarcharum munus, Deum vice sui nominis illorum nomenclaturam applicuisse suæ propriæ appellationi Dei; quemadmodum etiam Paulus inquit [36]: « Propter quod non erubescit Deus vocari Deus ipsorum. » Itaque Deus est patrum et omnium sanctorum; nec alibi scriptum reperias, Deum esse alicujus impiorum Deum. Si ergo Deus sanctorum est, et Deus viventium esse dicitur, sancti sunt viventes et viventes sancti, quippe cum sanctus non sit extra viventes, nec aliquis jam sit vivens qui cum ipsa vita non etiam hoc habeat ut sit sanctus. Idem fere de eo sentiendum est quod ait [37]: « Hilariter affectus ero erga Dominum in regione viventium; » perinde ac si dixisset in ordine sanctorum, vel in loco sanctorum, nempe animi hilaritate proprie, vel in ordine, vel in loco sanctorum exsistente, et perinde quasi nullus eam plene sit possessurus, qui vel ad ordinem sanctorum, vel ad locum sanctorum non pervenerit, ad quem accedat oportet quisquis hac in vita perceperit umbram veluti et imaginem veræ hilaritatis. Quin illud [38]: « Non justificabitur coram Deo omnis vivens, » declarat neminem, quantumlibet beatum, si cum Deo ac justitia ipsius conferatur, justificari, veluti si tale quiddam altero exemplo diceremus: Non splendebit lucerna ulla coram sole; splendebit quidem omnis lucerna, sed tum cum radiorum solis splendore non illustratur. Justificabitur etiam omnis vivens, at vero non coram Deo justificabitur, quando cum illis comparatur qui inferne habitant, quique tenebris detinentur, apud quos lucebit illorum lux. Et vide num hac ratione intelligendum sit

B 11. Καὶ πρῶτόν γε ἴδωμεν τό· « Οὐκ ἔστι Θεὸς νεκρῶν, ἀλλὰ ζώντων, » ἴσον δυνάμενον τῷ· Οὐκ ἔστιν ἁμαρτωλῶν, ἀλλὰ ἁγίων Θεός. Μεγάλη γὰρ δωρεὰ τοῖς πατριάρχαις, τὸ τὸν Θεὸν ἀντὶ ὀνόματος προσάψαι τὴν ἐκείνων ὀνομασίαν τῇ Θεὸς ἰδίᾳ αὐτοῦ προσηγορίᾳ· καθὰ καὶ ὁ Παῦλός φησι· « Διὸ οὐκ ἐπαισχύνεται ὁ Θεὸς Θεὸς καλεῖσθαι αὐτῶν. » Οὐκοῦν Θεός ἐστι τῶν πατέρων καὶ πάντων τῶν ἁγίων· καὶ οὐκ ἄν που ἀναγεγραμμένον εὑρίσκοιτο τὸν Θεὸν εἶναι τὸν Θεόν τινος τῶν ἀσεβῶν. Εἰ τοίνυν ὁ Θεὸς ἁγίων ἐστὶ καὶ Θεὸς ζώντων εἶναι λέγεται, οἱ ἅγιοι ζῶντές εἰσι, καὶ οἱ ζῶντες ἅγιοι, οὔτε ἁγίου ὄντος ἔξω τῶν ζώντων, οὔτε ζῶντος χρηματίζοντος μόνον, καὶ οὐχὶ μετ' αὐτοῦ τοῦ ζῇν (56) ἔχοντος καὶ τὸ ἅγιον αὐτὸν τυγχάνειν. Τὸ παραπλήσιον δέ ἐστι καὶ ἐπὶ τοῦ· « Εὐαρεστήσω τῷ C Κυρίῳ ἐν χώρᾳ ζώντων, » ἰδεῖν· ὡς εἰ ἔλεγεν ἐν τάξει ἁγίων, ἢ ἐν τῷ τόπῳ τῶν ἁγίων τῆς κυρίως εὐαρεστήσεως, ἤτοι ἐν τῇ τάξει τῶν ἁγίων, ἢ ἐν τῷ τόπῳ τῶν ἁγίων τυγχανούσης· οὐδέπω ἄκρως εὐαρεστοῦντος τοῦ μὴ εἰς τὴν τάξιν τῶν ἁγίων κεχωρηκότος, ἢ τοῦ μὴ εἰς τὸν τόπον τῶν ἁγίων γεγενημένου· εἰς ὃν χωρῆσαι δεήσει πάντα τὸν οἱονεὶ σκιὰν καὶ εἰκόνα τῆς εὐαρεστήσεως τῆς ἀληθινῆς ἐν τῷ βίῳ τούτῳ προσανειληφότα. Καὶ τό· « Οὐ δικαιωθήσεσθαι δὲ κατ' ἐνώπιον τοῦ Θεοῦ πάντα ζῶντα, » δηλοῖ, ὅτι ὡς (57) πρὸς Θεὸν καὶ τὴν ἐν αὐτῷ δικαιοσύνην οὐδεὶς δικαιωθήσεται τῶν πάνυ μακαρίων, ὡς εἰ καὶ ἐλέγομεν ἐπὶ ἑτέρου παραδείγματος τοιοῦτον· Οὐ φωτιεῖ πᾶς λύχνος ἐνώπιον ἡλίου· φωτιεῖ μὲν γὰρ πᾶς λύχνος, ἀλλ' ὅταν μὴ καταυγάζηται ὑπὸ ἡλίου. Δικαιω- D θήσεται δὲ καὶ πᾶς ζῶν, ἀλλ' οὐκ ἐνώπιον τοῦ Θεοῦ· ὅτε τοῖς κάτω συγκρίνεται, καὶ ὑπὸ τοῦ σκότους κεκρατημένοις, παρ' οἷς λάμψει αὐτῶν τὸ φῶς. Καὶ ὅρα εἰ κατὰ τοῦτο καὶ τὸ ἐν τῷ Εὐαγγελίῳ νοητέον· « Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· » οὐ γάρ· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τοῦ Θεοῦ·

[31] Joan, XI, 25. [32] Marc. XII, 26, 27. [33] Psal. CXLII, 2. [34] Num. XIV, 28. [35] Marc. XII, 27. [36] Hebr. XI, 16. [37] Psal. CXIV, 9. [38] Psal. CXLII, 2.

(55) *Τῆς ἁμαρτίας*. Codex Bodleianus, τῇ ἁμαρτίᾳ, et ita legit Ferrarius.

(56) *Μετ' αὐτοῦ τοῦ ζῇν*. Sic codex Bodleianus; Regius et Barberinus, μετὰ τοῦ ζῇν.

(57) *Ὡς*. Sic codex Bodleianus; Regius et Barberinus, ὡσεὶ, etc.

A τοῦτο γὰρ εἰ ἐνετέλλετο, ἀδύνατον ἂν ἐδίδου ἐντολὴν, ὡσεὶ καὶ τοῖς λύχνοις ἐμψύχοις οὖσιν ἐντολὴν ἐδίδου τὸ λάμψαι τὸ φῶς αὐτῶν ἔμπροσθεν τοῦ ἡλίου. Οὐχ οἱ τυχόντες οὖν μόνοι τῶν ζώντων οὐ δικαιωθήσονται κατενώπιον τοῦ Θεοῦ, ἀλλὰ καὶ οἱ ὡς ἐν ζῶσι τῶν ἐλαττόνων διαφέροντες· ἢ ὅπερ μᾶλλον, ἅμα ἡ πάντων τῶν ζώντων δικαιοσύνη οὐ δικαιωθήσεται ὡς πρὸς τὴν τοῦ Θεοῦ δικαιοσύνην, ὡς εἰ καὶ ἅμα πάντα τὰ ἐπὶ γῆς νυκτερινὰ συναγαγὼν φῶτα ἔφασκον μὴ δύνασθαι ταῦτα φωτίζειν ὡς πρὸς τὰς τούτου τοῦ ἡλίου αὐγάς. Κατ' ἐπανάβασιν δὲ ἐκ τῶν εἰρημένων νοητέον καὶ τό· « Ζῶ ἐγὼ, λέγει Κύριος. » Τάχα τοῦ κυρίως ζῆν, μάλιστα ἐκ τῶν εἰρημένων περὶ τοῦ ζῆν, παρὰ μόνῳ τυγχάνοντος τῷ Θεῷ. Καὶ ὅρα εἰ διὰ τοῦτο δύναται ὁ Ἀπόστολος (58) τὴν εἰς ὑπερβολὴν ὑπεροχὴν νοήσας τῆς ζωῆς τοῦ Θεοῦ, καὶ ἀξίως Θεοῦ συνιεὶς B τό· « Ζῶ ἐγὼ, λέγει Κύριος, » εἰρηκέναι περὶ Θεοῦ, « ὁ μόνος ἔχων ἀθανασίαν, » οὐδενὸς τῶν παρὰ τὸν Θεὸν ζώντων ἔχοντος τὴν ἄτρεπτον πάντη καὶ ἀναλλοίωτον ζωήν. Καὶ τί διστάζομεν περὶ τῶν λοιπῶν, ὅτε οὐδὲ ὁ Χριστὸς ἔσχε τὴν τοῦ Πατρὸς ἀθανασίαν; ἐγεύσατο γὰρ ὑπὲρ παντὸς θανάτου.

Ἅμα δὲ ἐξετάζοντες τὰ περὶ τοῦ ζῆν τοῦ Θεοῦ, καὶ ζωῆς, ἥτις ἐστὶν ὁ Χριστὸς, καὶ ζώντων ἐν χώρᾳ ἰδίᾳ τυγχανόντων, καὶ ζώντων οὐ δικαιουμένων ἐνώπιον C τοῦ Θεοῦ, ἀκολούθως τούτοις παρατιθέμενοι τό· « Ὁ μόνος ἔχων ἀθανασίαν, » τὰ ὑπονοούμενα συμπαραληψόμεθα περὶ τοῦ πᾶν ὁτιποτοῦν λογικὸν μὴ οὐσιωδῶς ἔχειν, ὡς ἀχώριστον συμβεβηκὸς, τὴν μακαριότητα. Ἐὰν γὰρ ἀχώριστον ἔχῃ τὴν μακαριότητα καὶ τὴν προηγουμένην ζωὴν, πῶς ἔτι ἔσται ἀληθὲς τὸ περὶ τοῦ Θεοῦ λεγόμενον· « Ὁ μόνος (59) ἔχων ἀθανασίαν; » Χρὴ μέντοιγε εἰδέναι, ὅτι τινὰ ὁ Σωτὴρ οὐχ αὑτῷ εἶναι (60), ἀλλ' ἑτέροις, τινὰ δὲ αὑτῷ καὶ ἑτέροις· ζητητέον δὲ εἴ τινα ἑαυτῷ καὶ οὐδενί. Σαφῶς μὲν γὰρ ἑτέροις ἐστὶ ποιμὴν, οὐχ ὡς οἱ παρὰ ἀνθρώποις ποιμένες ὄνησιν ἐκ τοῦ ποιμαίνειν εἰς ἑαυτὸν λαμβάνων, εἰ μὴ ἄρα τὴν τῶν ποιμαινομένων ὠφέλειαν διὰ φιλανθρωπίαν ἰδίαν εἶναι λογίσαιτο· ἀλλὰ καὶ ὁδός ἐστιν ἑτέροις ὁμοίως, καὶ θύρα, ὁμολογουμένως δὲ καὶ D ῥάβδος· ἑαυτῷ δὲ καὶ ἑτέροις σοφία, τάχα δὲ καὶ λόγος. Ζητητέον δὲ εἰ συστήματος θεωρημάτων ὄντος ἐν αὐτῷ, καθὸ σοφία ἐστὶν, ἔστι τινὰ θεωρήματα ἀχώρητα τῇ λοιπῇ παρ' αὐτὸν γεννητῇ φύσει, ἅτινα οἶδεν ἑαυτῷ. Καὶ οὐκ ἀνεξέταστον λόγον ἐατέον διὰ τὴν περὶ τοῦ ἁγίου Πνεύματος εὐλάβειαν· ὅτι μὲν γὰρ καὶ αὐτὸ αὐτῷ μαθητεύεται, σαφῶς (61) ἐκ τοῦ λεγομένου περὶ παρακλήτου καὶ ἁγίου Πνεύματος, ὅτι « Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. » Εἰ δὲ μαθητευόμενον (62) πάντα χωρεῖ, ἃ ἐνατενίζων τῷ

A etiam illud quod est in Evangelio [59]: « Luceat lux vestra coram hominibus; » non enim dixit: Luceat lux vestra coram Deo, alioqui præceptum daturus impossibile, si hoc præcepisset, perinde ac si lucernis animatis præcepisset, uti lux ipsorum coram sole luceret. Quamobrem non modo vulgus viventium non justificabitur coram Deo, sed nec etiam hi qui ceu inter viventes inferioribus præstant; quodque magis etiam est, omnium viventium in unum collecta justitia, comparatione Dei, non justificabitur, perinde ac si luminibus quæ super terram sunt nocturnis in unum collectis dicerem ego, fieri non posse, uti splendorem afferant, **71** splendorum hujus solis comparatione. Per repetitionem vero eorum quæ diximus, considerandum etiam illud est: « Vivo ego, dicit Dominus [60], » B cum proprium vivere, præcipue ex his quæ de vivendo disseruimus, penes solum sit Deum. Et vide num ob hoc possit Apostolus in hyperbolen usque considerata Dei vitæ excellentia, et, ut dignum est Deo, intelligens illud: « Vivo ego, dicit Dominus, » de Deo dixisse [61]: « Qui solus habet immortalitatem, » nullo præter Deum viventium, immutabilem inalterabilemque divinitatem habente. Et quid ambigimus de cæteris, quando ne Christus quidem Patris habuerit immortalitatem? nam pro quocunque mortem gustavit [62].

12. Cum vero inquiramus de his quæ ad Deum viventem pertinent, et de vita quæ est Christus, deque viventibus qui sunt in sua regione, atque de C viventibus etiam his qui coram Deo non justificantur, consequenter his apponentes: « Qui solus habet immortalitatem [63], » pariter etiam assumemus quæ subintelliguntur, nempe quod omne quidquid dixeris rationis capax, non habeat substantialiter (ceu inseparabile accidens) beatitudinem. Nam si inseparabilem habeat beatitudinem et præcipuam vitam, quomodo verum erit illud quod de Deo dicitur: « Qui solus habet immortalitatem? » Sciendum est attamen Servatorem non esse sibi ipsi aliqua, sed aliis; aliqua vero et ipsi et aliis. Insuper quærendum est an aliqua ipse habeat quæ nullus alius. Namque palam aliis est pastor: non sicut ii qui apud homines pastores sunt, utilitatem ad se D trahens eo quod pascat, nisi forte eorum qui pascantur utilitatem, benignitatis causa, propriam esse reputet. Quin etiam via est, aliis similiter etiam ostium, jam etiam in confesso est quod sit etiam virga; sibi vero ipsi et aliis sapientia; fortassis etiam λόγος [id est ratio]. Quærendum est insuper num ex ea multitudine speculationum quæ sunt in ipso, in quantum sapientia est, sint aliquæ speculationes apud ipsum, quas reliqua natura generata percipere nequeat quarumque sibi ipsi scientiam reservet. Nec inexaminata relinquenda

[59] Matth. v, 16. [60] Num. xiv, 28. [61] I Tim. vi, 16. [62] Hebr. ii, 9. [63] I Tim. vi, 16.

(58) Ἀπόστολος deest in editione Huetiana, sed restituitur e codice Bodleiano.

(59) Codex Bodleianus et Barberinus recte ὁ μόνος, male editio Huetiana in textu habet οὐ μόνος.

(60) Εἶναι. Legendum videtur ἐστί.

(61) Σαφῶς. Lege σαφές.

(62) Εἰ δὲ μαθητευόμενον, etc. Quia scientiam cæteraque omnia habet Spiritus sanctus a Filio, tanquam a processionis principio, utcunque ratione

est oratio propter Spiritus sancti reverentiam : nam quod etiam ipse ab illo edoceatur, liquet ex eo quod de paracleto et sancto Spiritu dicitur[44] : « De meo accipiet, et annuntiabit vobis ; » sed diligentius inquirendum est an cum docetur omnia capiat, **72** quæ defixis in Patrem oculis a principio exsistens Filius agnoscit. Si ergo Servator aliqua quidem est aliis, aliqua vero forsitan sibi ipsi, eaque vel nulli, vel uni, vel paucis, examinandum est utrum Servator, quatenus est vita illa quæ facta est in Sermone, sibi ipsi et aliis sit vita, an aliis ; et si aliis, quibus aliis. Quamobrem si vita et lux hominum idem sunt, inquit enim : « Quod factum est in ipso vita erat, et vita illa erat lux hominum[45], » et lux hominum aliquorum est lux, et hæc non omnium qui rationis sint capaces, propterea quod addita sit vocula *hominum*, sed hominum est lux, vita erit etiam hominum, quorum etiam lux est : et in quantum est vita, dici potest Servator non sibi ipsi, sed aliis vita, quorum est etiam lux. Hæc sane vita in Λόγῳ [hoc est in Dei Filio] fit inseparabilis ab ipso exsistens, simul atque facta fuerit ; præexsistat enim λόγος [id est sermo, sive ratio,] in anima oportet, qui ipsam expurget, ut post hunc, et ab ipso provenientem purgationem, omni prorsus ablata mortificatione et infirmitate, pura sinceraque vita ingeneretur apud omnem qui fecerit seipsum capacem Sermonis, in quantum Deus est.

A Πατρὶ ἀρχόμενος ὁ Υἱὸς γινώσκει, ἐπιμελέστερον ζητητέον. Εἰ τοίνυν ὁ Σωτὴρ ἃ μέν τινα ἑτέροις, τινὰ δὲ τάχα που αὐτῷ, καὶ ἢ οὐδενὶ, ἢ ἑνὶ, ἢ ὀλίγοις, καθὸ ζωή ἐστιν ἡ γενομένη ἐν τῷ Λόγῳ, βασανιστέον πότερον αὐτῷ καὶ ἑτέροις ζωή ἐστιν, ἢ ἑτέροις, καὶ ἑτέροις τισὶ τούτοις. Εἰ δὴ ταὐτόν ἐστι ζωὴ καὶ φῶς τῶν ἀνθρώπων, φησὶ γάρ· « Καὶ ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν, καὶ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· » τὸ δὲ φῶς τῶν ἀνθρώπων τινῶν ἐστι φῶς, καὶ τοῦτο οὐ πάντων τῶν λογικῶν, ὅσον ἐπὶ τὸ κεῖσθαι τὸ, *ἀνθρώπων*, ἀλλὰ τῶν ἀνθρώπων ἐστὶ φῶς· εἴη ἂν καὶ ζωὴ ἀνθρώπων, ὧν καὶ φῶς ἐστι· καὶ καθὸ ζωὴ, λέγοιτο ἂν ὁ Σωτὴρ οὐχ αὐτῷ, ἀλλὰ ἑτέροις εἶναι ζωὴ, ὧν ἐστι καὶ φῶς. Αὕτη δὲ ἡ ζωὴ τῷ λόγῳ ἐπιγίνεται ἀχώριστος αὐτοῦ μετὰ τὸ ἐπιγενέσθαι τυγχάνουσα· λόγον γὰρ προϋπάρξαι B τὸν καθαίροντα τὴν ψυχὴν ἐν τῇ ψυχῇ δεῖ, ἵνα μετὰ τοῦτον καὶ τὴν ἀπ' αὐτοῦ κάθαρσιν, πάσης περιαιρεθείσης νεκρότητος καὶ ἀσθενείας, ἡ ἀκραιφνὴς ζωὴ ἐγγένηται παρὰ παντὶ τῷ τοῦ Λόγου, καθὸ Θεός ἐστιν, αὐτὸν ποιήσαντι χωρητικόν.

43. Cæterum duo singulatim observanda sunt, differentiaque eorum accurate examinanda : primum quidem : Λόγος [id est Sermo] est in principio ; deinde quod vita in Sermone. Sed Sermo quidem in principio non est factus : nec enim fuit, quando principium fuerit absque Sermone et ratione, quam ob causam dicitur : « In principio Sermo erat[46]. » At vero vita in Λόγῳ [id est Sermone] non erat, sed facta est, quandoquidem vita est lux hominum ; cum enim homo nondum esset, neque lux hominum erat, considerata luce hominum juxta relationem ad homines. Cæterum nemo nos urgeat ratus nos hæc temporaliter enuntiare, ordine exigente, primum, et secundum, et quæ deinceps, etiamsi tempus non inveniatur, quando ternarius numerus aut quartus haudquaquam a sermone substrati erant. Ut igitur « omnia per ipsum facta sunt, » non omnia per ipsum erant, « et sine ipso factum est nihil, » non sine ipso erat nihil ; sic « quod factum est in ipso, » non quod erat in ipso, « vita erat. » Et rursus non quod factum est in principio, Sermo erat, sed quod erat in principio, Sermo erat. Quædam tamen exemplaria, et fortassis non improbabiliter, habent : « Quod factum est, in ipso vita est. » Quod si vita idem est cum luce hominum, nullus qui sit in tenebris vivit, nec ullus viventium est in tenebris, cum omnis qui vivit, is etiam sit in luce, et omnis qui sit in luce, is etiam vivat, **73** adeo ut solus, et omnis vivens sit lucis filius ; filius autem lucis, cujus luceant opera coram hominibus[47].

Τηρητέον δὲ τὰ δύο ἓν, καὶ τὴν διαφορὰν αὐτῶν ἐξεταστέον· πρῶτον μὲν γὰρ ἐν τῷ· Λόγος ἐν ἀρχῇ· δεύτερον δὲ ἐν τῷ· ζωὴ ἐν Λόγῳ. Ἀλλὰ Λόγος μὲν ἐν ἀρχῇ οὐκ ἐγένετο, οὐκ ἦν γὰρ ὅτε ἡ ἀρχὴ ἄλογος ἦν, διὸ λέγεται· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος· » ζωὴ δὲ ἐν τῷ C Λόγῳ οὐκ ἦν, ἀλλὰ ζωὴ ἐγένετο, εἴ γε ζωή ἐστι τὸ φῶς τῶν ἀνθρώπων. Ὅτε γὰρ οὐδέπω ἄνθρωπος ἦν, οὐδὲ φῶς τῶν ἀνθρώπων ἦν, τοῦ φωτὸς τῶν ἀνθρώπων κατὰ τὴν πρὸς ἀνθρώπους σχέσιν νοουμένου. Μηδεὶς δ' ἡμᾶς θλιβέτω, χρονικῶς οἰόμενος ταῦτα ἀπαγγέλλειν, τῆς τάξεως τὸ πρῶτον καὶ τὸ δεύτερον καὶ τὰ ἐφεξῆς ἀπαιτούσης, κἂν χρόνος μὴ εὑρίσκηται, ὅτε τὰ ὑπὸ τοῦ Λόγου ὑποβαλλόμενα τρίτα, καὶ τέταρτα οὐδαμῶς ἦν. Ὃν τρόπον τοίνυν « πάντα δι' αὐτοῦ ἐγένετο, » καὶ οὐχὶ πάντα δι' αὐτοῦ ἦν, « καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, » οὐχὶ δὲ χωρὶς αὐτοῦ ἦν (63) οὐδὲ ἕν· οὕτως « ὃ γέγονεν ἐν αὐτῷ, » οὐχὶ ὃ ἦν ἐν αὐτῷ, « ζωὴ ἦν. » Καὶ πάλιν οὐχὶ ὃ ἐγένετο ἐν ἀρχῇ, ὁ Λόγος ἦν, ἀλλὰ ὃ ἦν ἐν ἀρχῇ, Λόγος ἦν. Τινὰ D μέντοιγε τῶν ἀντιγράφων ἔχει, καὶ τάχα οὐκ ἀπιθάνως· « Ὃ γέγονεν, ἐν αὐτῷ ζωή ἐστιν. » Εἰ δὲ ζωὴ ταὐτόν ἐστι τῷ τῶν ἀνθρώπων φωτὶ, οὐδεὶς ἐν σκότῳ τυγχάνων ζῇ, καὶ οὐδεὶς τῶν ζώντων ἐν σκότῳ ἐστίν. Ἀλλὰ πᾶς ὁ ζῶν καὶ ἐν φωτὶ ὑπάρχει, καὶ πᾶς ὁ ἐν φωτὶ ὑπάρχων ζῇ· ὥστε μόνον τὸν ζῶντα καὶ πάντα εἶναι φωτὸς υἱόν· φωτὸς δὲ υἱὸς, οὗ λάμπει τὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων.

[44] Joan. XVI, 14. [45] ibid. I, 3, 4. [46] ibid. I. [47] Matth. V, 16.

originis dici potest ab eo edoctus, quemadmodum eadem de causa per Athanasium oratione 2 *contra Arianos*, p. 357. minor illo prædicatur. Periculose vero Origenes hic vocari vult in quæstionem an Spiritus sanctus, quem doceri a Filio ex Joannis XVI, 14, colligit, omnia capiat quæ Filius cognoscit, quamvis sancti Spiritus εὐλάβειαν, « reverentiam, » profiteatur.

(63) Codex Bodleianus, ἦν, Regius, ἐγένετο.

14. Πάλιν ἐπεὶ ἔστι τὰ παραλελειμμένα τῶν ἐναντίων νοεῖσθαι ἐκ τῶν εἰρημένων περὶ τῶν ἐναντίων, λέγεται δὲ περὶ ζωῆς καὶ φωτὸς ἀνθρώπων, ἐναντίον δὲ τῇ ζωῇ θάνατος, καὶ ἐναντίον φωτὶ ἀνθρώπων σκότος ἀνθρώπων, ἔστιν ἰδεῖν, ὅτι ὁ ἐν σκότῳ τῶν ἀνθρώπων τυγχάνων ἐν θανάτῳ ἐστὶ, καὶ ὁ τὰ τοῦ θανάτου πράττων οὐκ ἀλλαχόσε τοῦ σκότους ἐστίν. Ὁ δὲ μνημονεύων τοῦ Θεοῦ, ἐάν γε νοῶμεν τί τὸ μνημονεύειν αὐτοῦ, οὐκ ἔστιν ἐν τῷ θανάτῳ, κατὰ τὸ εἰρημένον· « Οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου. » Εἴτε δὲ σκότος ἀνθρώπων εἴτε θάνατος, οὐ φύσει τοιαῦτά ἐστιν, ἄλλου λόγου· « Ἡμεῖς ἦμεθά ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ, » κἂν μάλιστα ἅγιοι καὶ πνευματικοὶ ἤδη χρηματίζωμεν. Οὕτως ὅστις ποτ' ἂν (64) ᾖ σκότος, ὥσπερ δὲ δεκτικὸς (65) ὁ Παῦλος σκότος ὢν γέγονε τοῦ γενέσθαι φῶς ἐν Κυρίῳ. Κατὰ δὲ τοὺς οἰομένους εἶναι φύσεις πνευματικὰς, ὥσπερ τὸν Παῦλον καὶ τοὺς ἁγίους ἀποστόλους, οὐκ οἶδα εἰ σώζεται τὸ τὸν πνευματικὸν εἶναί ποτε σκότος, καὶ ὕστερον αὐτὸν γεγονέναι φῶς· εἰ γὰρ ὁ πνευματικός ποτε σκότος ἦν, ὁ χοϊκὸς τίς ἐστιν; Εἰ δ' ἀληθὲς, ὅτι τὸ σκότος γεγονέναι (66) φῶς, τίς ἡ ἀποκλήρωσις τοῦ μὴ πᾶν σκότος δύνασθαι γενέσθαι φῶς; Εἰ μὴ γὰρ ἐπὶ Παύλου ἐλέγετο, ὅτι « Ἦμεθά ποτε ἐν σκότῳ, νῦν δὲ φωτεινοὶ ἐν Κυρίῳ· » ἐπὶ δὲ ὧν οἴονται φύσεων ἀπολλυμένων, ὅτι σκότος ἦσαν, ἢ σκότος εἰσὶ, κἂν χώραν εἶχεν ἡ περὶ φύσεων ὑπόθεσις. Νυνὶ δὲ ὁ Παῦλός φησι γεγονέναι ποτὲ σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ, ὡς δυνατοῦ ὄντος τοῦ σκότους εἰς φῶς μεταβαλεῖν. Οὐ χαλεπὸν δὲ τὰ περὶ παντὸς σκότους ἀνθρώπων, καὶ περὶ τοῦ θανάτου τούτου τυγχάνοντος τῷ σκότῳ τῶν ἀνθρώπων ἐπιμελῶς ἰδεῖν ἐκ τῶν εἰρημένων, τὸ ἐνδεχόμενον ὁρῶντα τῆς ἐπὶ τὸ χεῖρον καὶ κρεῖττον ἑκάστου μεταβολῆς.

A 14. Rursus, quoniam ex his quæ disseruimus de contrariis, intelligi possunt contraria prætermissa, disseritur autem de vita et luce hominum, contrarium autem vitæ mors est, et contrarium luci hominum tenebræ hominum, videre est quod qui in tenebris exsistat hominum, is etiam sit in morte, et quæ mortis sunt agens non alibi sit quam in tenebris. At qui memor est Dei, si consideraverimus quid sit memorem esse Dei, non est in morte, juxta illud quod dicitur [48]: « Nihil rei cum morte habet, qui memor est tui. » An vero tenebræ hominum et mors natura talia sint, necne, alterius est considerationis: « Nos eramus aliquando tenebræ, nunc autem lux in Domino [49], » etiamsi sancti spiritualesque jam aliquo maxime pacto simus. B Quisquis fuit aliquando tenebræ, factus est perinde atque Paulus, tenebræ cum esset, capax et aptus ut fieret lux in Domino. Haud vero scio an juxta opinionem eorum qui naturas rentur spirituales, veluti Paulum ac sanctos apostolos, consistat, spiritualem esse aliquando tenebras, ipsumque postea lucem fieri; nam si spiritualis tenebræ quandoque fuit, terrestris qualis? Quod si verum est, tenebras factas fuisse lucem, quænam privata electio est cur non omnes tenebræ lux fieri queant? Nisi enim de Paulo dictum fuisset [50]: « Eramus aliquando in tenebris, nunc autem lucidi cum Domino, » de illis vero quos arbitrantur naturæ deperditæ, quoniam tenebræ erant et tenebræ sunt, locum utique habuisset eorum de naturis hypothesis. C Nunc autem Paulus inquit se aliquando tenebras fuisse, nuncque esse lucem in Domino, quasi in lucem tenebræ transire possint. Haud autem difficile est, cernentem uniuscujusque contingentem mutationem in melius vel in pejus, diligenter perspicere ex his quæ diximus, quæ ad omnes tenebras hominum, et quæ ad hanc mortem in tenebris hominum exsistentem pertinent.

Πάνυ δὲ βιαίως κατὰ τὸν τόπον γενόμενος ὁ Ἡρακλέων, τό· « Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν, » ἐξείληφεν ἀντὶ τοῦ, *ἐν αὐτῷ*, εἰς τοὺς ἀνθρώπους τοὺς πνευματικούς· οἱονεὶ ταὐτὸν νομίσας εἶναι τὸν Λόγον καὶ τοὺς πνευματικούς. Εἰ καὶ μὴ σαφῶς ταῦτ' εἴρηκε, καὶ ὡσπερεὶ αἰτιολογῶν φησιν· « Αὐτὸς γὰρ τὴν πρώτην μόρφωσιν τὴν κατὰ τὴν γένεσιν αὐτοῖς παρέσχε· τὰ ὑπ' ἄλλου παρέντα εἰς μορφὴν καὶ εἰς φωτισμὸν καὶ παραγραφὴν ἰδίαν ἀγαγὼν καὶ ἀναδείξας. » Οὐ παρετήρησε δὲ καὶ τὸ περὶ τῶν πνευματικῶν παρὰ τῷ Παύλῳ λεγομένων, ὅτι ἀνθρώπους αὐτοὺς εἶναι ἀπεσιώπησε· « Ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γάρ ἐστιν αὐτῷ· ὁ δὲ πνευματικὸς ἀνακρίνει πάντα. » Ἡμεῖς γὰρ οὐ μάτην αὐτόν φαμεν ἐπὶ τοῦ πνευματικοῦ μὴ προστεθεικέναι τὸ, ἄνθρωπος· κρεῖττον γὰρ ἢ ἄνθρωπος ὁ πνευματικὸς, τοῦ ἀνθρώπου ἤτοι ἐν ψυχῇ ἢ ἐν σώματι ἢ ἐν συναμφοτέροις (67) χαρακτηριζομένου, οὐχὶ δὲ

15. Cæterum valde coacte ad hunc contextum veniens Heracleon: « Quod factum est in ipso vita erat [51]: » *in ipso* interpretatus est in hominibus spiritualibus: quasi Sermonem et spirituales idem esse arbitratus fuerit. Etsi non aperte id dixerit, at veluti causam reddens, inquit: « Ipsam enim primam formationem, quoad ortum attinet, ipsis D præbuit, ab alio prætermissa in formam, et illuminationem, et delineationem propriam ducens, et 74 ostendens. » Non observavit autem Paulum de spiritualibus loquentem, eos homines esse, reticuisse: « Animalis enim, inquit, homo non recipit quæ sunt Spiritus Dei: stultitia enim est illi: at spiritualis omnia dijudicat [52]. » Nos enim dicimus non abs re nomen hominis a Paulo prætermissum, cum spiritualem diceret, eo quod præstantius quiddam spiritualis sit, quam homo: nempe homine, vel in anima, vel in corpore, vel in utrisque

[48] Psal. VI, 6. [49] Ephes. V, 8. [50] ibid. [51] Joan. I, 3. [52] I Cor. II, 14.

(64) *Οὕτως ὅστις ποτ' ἄν*, etc. Ferrarius legebat οὗτος.

(65) *Ὥσπερ δὲ δεκτικός*, etc. Legendum videtur, δεκτικὸς ὥσπερ ὁ Παῦλος, etc.

(66) *Γεγονέναι*. Lege γέγονε, vel præcedens ὅτι mutandum in ἐστί.

(67) *Ἢ ἐν συναμφοτέροις*. Sic codex Bodleianus; editio Huetiana, ἢ τὸν ἀμφοτέροις.

formam accipiente : non ita vero in spiritu, his longe diviniore ; secundum cujus participationem prævalentem est spiritualis. Prælerea vero quæ ad talem opinionem spectant, vel sine apparenti demonstratione enuntiat, ne mediocrem quidem persuasionem attingere valens, disserendo de hisce rebus. Sed de illo hactenus.

16. Age vero inquiramus etiam nos hoc, scilicet num vita erat hominum tantum lux, et non potius cujusvis in beatitudine exsistentis. Nam si « vita et lux hominum » idem sunt, et hominum tantum sit Christi lux, hominum tantum etiam vita erit : hoc autem suspicari æque stultum est atque impium, refragantibus aliis Scripturis huic intelligentiæ : siquidem quando proficiemus, erimus tanquam pares angelis [53]. Sed sic solvendum est dubium, si quid aliquorum esse dicatur, non continuo illud ad eos solos de quibus id dicitur, pertinere. Sic igitur non si vita lux hominum dicitur, hominum tantum est lux. Poterat enim addi, vita erat hominum tantum lux : fieri enim potest ut lux hominum, aliorum quoque, præterquam hominum sit lux, perinde atque cum animalia quædam et plantæ hominibus suppeditant unde alantur, tamen alia quoque præter homines alere possunt. Hoc autem exemplum ex consuetudine sumptum est. Verum enimvero dignum est ut e Scripturis Dei Spiritu proditis simile conferamus. Proinde hoc in loco inquirimus num quidquam prohibeat, lucem hominum esse etiam lucem aliorum, dicentes, propterea quod dicatur « lux hominum, » non jam ideo excludi aliorum quoque hominibus præstantiorum, vel hominibus similium, veluti lucem esse. Nam cum sit scriptum, Deum esse Deum Abraham, et Deum Isaac, et Deum Jacob [54], qui voluerit, quia dictum sit, « vita erat lux hominum [55], » lucem ad nullum alium præterquam ad homines pertinere, existimet oportet is pari modo, Deum nullius alterius Deum esse, nisi tantum horum trium patrum. Verum Eliæ profecto etiam **75** est Deus [56] ; et, ut inquit Judith [57], patris sui Symeon, atque etiam Hebræorum est Deus [58]. Quamobrem si nihil prohibet Deum aliorum quoque esse Deum, eodem modo nihil prohibeat oportet, lucem hominum esse etiam aliorum, præterquam hominum, lucem.

17. Porro alius quispiam etiam testimonio illo utens : « Faciamus hominem ad imaginem et similitudinem nostram [59], » hominem esse dicit, quidquid ad imaginem et similitudinem Dei sit factum, innumeris hac in re utens exemplis, nihil referre Scripturæ, hominem dicat an angelum : de eodem enim subjecto alicubi poni angeli et hominis vocabulum, quemadmodum in tribus illis qui apud

A καὶ ἐν τῷ τούτων θειοτέρῳ πνεύματι· οὗ κατὰ μετοχὴν ἐπικρατοῦσαν χρηματίζει ὁ πνευματικός. Ἅμα δὲ καὶ τὰ τῆς τοιαύτης ὑποθέσεως, χωρὶς κἂν φαινομένης ἀποδείξεως, ἀποφαίνεται, οὐδὲ μέχρι τῆς τυχούσης πιθανότητος φθάσαι εἰς τὸν περὶ τούτων (68) δυνηθεὶς λόγον. Καὶ ταῦτα μὲν περὶ ἐκείνου.

Φέρε δὲ καὶ ἡμεῖς καὶ τοῦτο ζητήσωμεν, εἰ ἡ ζωὴ ἦν μόνων ἀνθρώπων φῶς, καὶ μὴ παντὸς οὑτινοσοῦν ἐν μακαριότητι τυγχάνοντος. Ἐὰν γὰρ ταὐτὸν ἦν « ζωὴ καὶ φῶς ἀνθρώπων, » καὶ μόνων ἀνθρώπων εἴη τὸ τοῦ Χριστοῦ φῶς, μόνων ἀνθρώπων καὶ ἡ ζωή· τοῦτο δ' ὑπολαμβάνειν ἐστὶν ἠλίθιον ἅμα καὶ ἀσεβὲς, ἀντιμαρτυρουσῶν τῶν ἄλλων Γραφῶν ταύτῃ τῇ ἐκδοχῇ· εἴ γε, ὅταν προκόψωμεν, ἰσάγγελοι ἐσόμεθα. B Οὕτω δὲ λυτέον τὸ ἀπορηθὲν, οὐχὶ εἴ τι λέγεταί τινων, ἐκείνων μόνων ἐστὶ τὸ λεγόμενον. Οὕτως οὖν οὐχὶ ᾗ λέγεται φῶς ἀνθρώπων, μόνων ἀνθρώπων ἐστὶ φῶς· ἐδύνατο γὰρ προσκεῖσθαι, ἡ ζωὴ ἦν τὸ τῶν ἀνθρώπων μόνων φῶς. Ἔξεστι γὰρ τὸ φῶς τῶν ἀνθρώπων, καὶ ἑτέρων παρὰ τοὺς ἀνθρώπους εἶναι φῶς· ὡς ἔξεστι τάδε τὰ ζῶα, καὶ τάδε τὰ φυτὰ ἀνθρώπων ὄντα τροφὴν, καὶ ἑτέρων παρὰ τοὺς ἀνθρώπους τὰ αὐτὰ εἶναι τροφήν. Καὶ τοῦτο μὲν ἀπὸ τῆς συνηθείας τὸ παράδειγμα· ἄξιον δὲ ἀπὸ τῶν θεοπνεύστων λόγων ὅμοιον ἀντιπαραβαλεῖν. Ἐνθάδε τοίνυν ζητοῦμεν εἰ μηδὲν κωλύει τὸ φῶς τῶν ἀνθρώπων καὶ ἑτέρων εἶναι φῶς· λέγοντες, ὅτι οὐχὶ, ἐπεὶ λέγεται « φῶς ἀνθρώπων, » ἤδη ἀποκέκλεισται καὶ ἑτέρων παρὰ τοὺς ἀνθρώπους C κρειττόνων, ἢ ἄνθρωποι (69) ὁμοίων εἶναι (70) ὡς φῶς. Ἀναγέγραπται δὲ ὁ Θεὸς Θεὸς εἶναι Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακώβ· ὁ δὴ βουλόμενος, ἐπειδὴ εἴρηται, « ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, » τὸ φῶς μηδενὸς ἑτέρου εἶναι ἢ τῶν ἀνθρώπων, κατὰ τὸ ὅμοιον οἰήσεται τὸν Θεὸν Ἀβραὰμ, καὶ Θεὸν Ἰσαὰκ, καὶ Θεὸν Ἰακὼβ, μηδενὸς εἶναι Θεὸν ἢ τῶν τριῶν μόνων τούτων πατέρων. Ἔστι (71) δέ γε καὶ Ἠλίου Θεὸς, καὶ, ὥς φησιν Ἰουδὶθ, τοῦ πατρὸς αὐτῆς Συμεὼν, καὶ Θεὸς τῶν Ἑβραίων. Διόπερ κατὰ τὸ ὅμοιον, εἰ μηδὲν κωλύει εἶναι αὐτὸν καὶ ἑτέρων Θεὸν, οὐδὲν κωλύει εἶναι τὸ φῶς τῶν ἀνθρώπων καὶ ἑτέρων παρὰ τοὺς ἀνθρώπους φῶς.

D Ἄλλος δέ τις, προσχρησάμενος τῷ· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν, » πᾶν τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν γενόμενον Θεοῦ ἄνθρωπον εἶναί φησι, μυρίοις χρώμενος εἰς τοῦτο παραδείγμασιν, ὅτι οὐδὲν διαφέρει τῇ Γραφῇ ἄνθρωπον ἢ ἄγγελον φάναι· ἐπὶ γὰρ τοῦ αὐτοῦ ὑποκειμένου οὐ κεῖται (72) ἡ ἄγγελος καὶ ἄνθρωπος προσηγορία· ὥσπερ ἐπὶ τῶν ξενισθέντων παρὰ τῷ

[53] Matth. xxii, 30. [54] Exod. iii, 6, 15, 16 ; iv, 5. [55] Joan. i, 4. [56] IV Reg. ii, 14. [57] Judith. ix, 2. [58] Exod. iii, 18 ; v, 3 ; vii, 16 ; ix, 1, 13 ; x, 3. [59] Gen. i, 26.

(68) *Τούτων*. Ita codex Bodleianus ; Regius, male, τοῦτον.

(69) *Ἄνθρωποι*. Lege ἀνθρώποις.

(70) *Εἶναι*. Sic codex Bodleianus ; Regius et Barberinus, εἶεν, male.

(71) *Ἔστι*. Ita codex Bodleianus ; Regius et Barberinus, ἔτι.

(72) *Οὐ κεῖται*. Vel delendum οὐ, vel legendum ποῦ, uti legit Ferrarius.

Ἀβραὰμ τριῶν, καὶ γενομένων ἐν Σοδόμοις δύο, καὶ A ἐν ὅλῳ τῷ εἱρμῷ τῆς Γραφῆς ὁτὲ μὲν ἄνδρες, ὁτὲ δὲ ἄγγελοι εἶναι λέγονται. Πλὴν ὁ τοῦτο νομίζων ἐρεῖ, ὅτι, ὥσπερ παρὰ τοῖς ὁμολογουμένοις (73) ἀνθρώποις εἰσὶν ἄγγελοι, ὡς ὁ Ζαχαρίας λέγων· « Ἄγγελος Θεοῦ ἐγὼ μεθ' ὑμῶν εἰμι, λέγει Κύριος παντοκράτωρ· » καὶ ὁ Ἰωάννης, περὶ οὗ γέγραπται· « Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, » οὕτως καὶ οἱ τοῦ Θεοῦ ἄγγελοι παρὰ τὸ ἔργον τοῦτο χρηματίζουσι, καὶ οὐ παρὰ τὴν φύσιν ἄνδρες κληθέντες. Καὶ ἔτι μᾶλλον παραμυθήσεται, ὅτι ἐπὶ τῶν κρειττόνων δυνάμεων τὰ ὀνόματα οὐχὶ φύσεων ζώων ἐστὶν ὀνόματα, ἀλλὰ τάξεων, ὧν ἥδε τις καὶ ἥδε λογικὴ φύσις τέτευχεν ἀπὸ Θεοῦ· θρόνος γὰρ οὐκ εἶδος ζώου (74), οὐδὲ ἀρχὴ, οὐδὲ κυριότης, οὐδὲ ἐξουσία, ἀλλὰ ὀνόματα πραγμάτων, ἐφ' ὧν ἐτάχθησαν οἱ B οὕτω προσαγορευόμενοι, ὧν τὸ ὑποκείμενον οὐκ ἄλλο τί ἐστιν ἢ ἄνθρωπος, καὶ τῷ ὑποκειμένῳ συμβέβηκε τὸ θρόνῳ εἶναι, ἢ κυριότητι, ἢ ἀρχῇ, ἢ ἐξουσίᾳ. Καὶ ἐν τῷ Ἰησοῦ δὲ τῷ τοῦ Ναυῆ κεῖται τό· Ὤφθη τῷ Ἰησοῦ ἄνθρωπος ἐν Ἰεριχὼ, ὅς φησιν· « Ἐγὼ ἀρχιστράτηγος Κυρίου δυνάμεως νυνὶ παραγέγονα. » Κατὰ τοῦτο οὖν, ὡς ἴσον δυνάμενον, ἐκλήψεται τὸ φῶς τῶν ἀνθρώπων καὶ φῶς παντὸς λογικοῦ, παντὸς λογικοῦ τῷ κατ' εἰκόνα καὶ ὁμοίωσιν εἶναι Θεοῦ ἀνθρώπου τυγχάνοντος. Τὸ αὐτὸ μέντοιγέ ἐστι τριχῶς ὀνομαζόμενον, *Φῶς τῶν ἀνθρώπων*, καὶ ἁπαξαπλῶς *Φῶς*, καὶ *Φῶς ἀληθινόν*· φῶς μὲν οὖν ἀνθρώπων, ἤτοι, ὡς προαποδέδεικται, οὐδενὸς κωλύοντος τὸ ἐκλαμβάνειν καὶ ἑτέρων παρὰ τὸν ἄνθρωπον εἶναι τὸ C φῶς, ἢ πάντων τῶν λογικῶν, διὰ τὸ κατ' εἰκόνα Θεοῦ γεγονέναι ἀνθρώπων καλουμένων.

Abraham hospitio fuere excepti [60], et in duobus qui Sodomis fuerunt [61], et in tota Scripturæ serie, aliquando quidem angeli, aliquando vero homines esse dicuntur. Quin etiam, qui hoc existimat, dicet quod ut homines vocati sunt angeli, apud eos quos palam cernere est esse homines, quemadmodum Zacharias dicens: « Angelus Dei ego vobiscum sum, dicit Dominus omnipotens [62]: » et Joannes, de quo scriptum est [63]: « Ecce ego mitto angelum meum ante faciem tuam, » sic etiam Dei angeli hoc vocabulo nuncupantur, propter officium, et non propter naturam vocati viri. Præterea magis etiam hoc corroborabit quoniam nomina in virtutibus præstantioribus non naturarum animalium sunt nomina, sed ordinum, quos hæc et hæc rationis compos natura sortita sit a Deo: thronus enim non species animalis est, neque principatus, neque dominatio, neque potestas species sunt animalis, sed rerum nomina, in quibus ordinati sunt, qui sic appellantur, quorum subjectum nihil aliud sit, quam homo, cui subjecto contingat esse vel throno, vel dominationi, vel principatui, vel potestati. Et in Jesu Nave ponitur illud, Visus est Jesu ipsi homo in Jericho, qui inquit: « Ego sum princeps exercitus potentiæ Domini, nunc accessi [64]. » Secundum hoc ergo, ut æque valens, interpretabitur lucem hominum lucem etiam esse cujuslibet qui rationis sit compos, quippe quia sit homo, ad imaginem et similitudinem Dei. Sane lux ipsa trifariam nominatur, *lux hominum*, et simpliciter *lux*, et *lux vera*. Atque lux quidem est hominum, vel quod, ut ante ostensum est, nihil prohibeat eam intelligere lucem etiam aliorum præter hominem esse, vel quod omnes qui rationis sunt compotes, homines vocentur, quia facti sint ad imaginem et similitudinem Dei.

Ἐπεὶ δὲ φῶς ἁπαξαπλῶς ἐνταῦθα μὲν ὁ Σωτὴρ, ἐν δὲ τῇ Καθολικῇ τοῦ αὐτοῦ Ἰωάννου Ἐπιστολῇ λέγεται ὁ Θεὸς εἶναι φῶς, ὁ μέν τις οἴεται (75) καὶ ἐντεῦθεν κατασκευάζεσθαι τῇ οὐσίᾳ μὴ διεστηκέναι τοῦ Υἱοῦ τὸν Πατέρα· ὁ δέ τις ἀκριβέστερον τηρήσας, ὁ καὶ ὑγιέστερον λέγων, φήσει οὐ ταὐτὸν εἶναι τὸ φαῖνον ἐν τῇ σκοτίᾳ φῶς, καὶ μὴ καταλαμβανόμενον ὑπ' αὐτῆς, καὶ τὸ φῶς, ἐν ᾧ οὐδαμῶς ἐστι σκοτία. Τὸ μὲν γὰρ φαῖνον ἐν τῇ σκοτίᾳ φῶς, οἱονεὶ ἐπέρχεται τῇ σκοτίᾳ· καὶ διωκόμενον ὑπ' αὐτῆς, D καὶ, ἵν' οὕτως εἴπω, ἐπιβουλευόμενον οὐ καταλαμβάνεται· τὸ δὲ φῶς, ἐν ᾧ οὐδεμία ἐστὶ σκοτία, οὔτε φαίνει ἐν τῇ σκοτίᾳ, οὔτε τὴν ἀρχὴν διώκεται ὑπ' αὐτῆς, ἵνα καὶ ὡς νικῶν ἀναγράφηται

76 18. Quia vero lux simpliciter hoc in loco Servator, in ipsius vero Joannis Catholica Epistola [65], Deus lux esse dicitur, alius quidem existimat etiam hinc colligi, Patrem a Filio substantia non differre. Qui vero et diligentius observarit et rectius locutus fuerit, dicet non idem esse, lux quæ in tenebris luceat, ab illis non apprehensa, et lux in qua haudquaquam sint tenebræ. Siquidem ea lux quæ in tenebris lucet, tanquam supervenit tenebris; cumque ab ipsis persecutionem patitur, et, ut ita dicam, insidiis petitur, non comprehenditur. At lux in qua nullæ sunt tenebræ, neque lucet in tenebris, neque ullo modo ab ipsis persecutionem patitur, ut ceu vincens publice declaretur, quod ab

[60] Gen. XVIII, 2 et seq. [61] ibid. XIX, 1. [62] Aggæ. I, 13. [63] Malach. III, 1; Matth. XI, 10; Marc. I, 2; Luc. VII, 27. [64] Jos. V, 13, 14. [65] I Joan. I, 5.

(73) *Ὥσπερ παρὰ τοῖς ὁμολογουμένοις*, etc. Observavimus supra ad Origenis tom. XII *in Matth.* unum hoc fuisse ex ejus dogmatibus, homines sanctos angelos esse. HUETIUS.

(74) *Θρόνος γὰρ οὐκ εἶδος ζώου*, etc. Ex hoc loco et præcedentibus angelis et hominibus unam eamdemque naturam videtur Origenes tribuere. Hujus super ea re doctrinam fuse in *Origenianis* expendimus. ID.

(75) *Ὁ μέν τις οἴεται*, etc. Hinc ansam calumniandi Origenis arripi minime posse monet Ferrarius; non enim Patrem ejusdem esse substantiæ ac Filium negare hic Adamantium, quod multis ipse alioqui locis aperte docet; sed inficiari ex hoc loco id colligi posse. At lucem tamen quæ lucet in tenebris, Christum nempe qui in mundum venit, et naturam humanam induit, a luce illa quæ non in tenebris lucet, Patre videlicet, separat et inferiorem statuit; ait enim: Ὁ δὲ λόγῳ ὁ Πατὴρ τῆς ἀληθείας Θεὸς πλείων ἐστὶ καὶ μείζων ἢ ἀλήθεια· καὶ ὁ Πατὴρ ὢν σοφίας κρείττων ἐστὶ καὶ διαφέρων ἢ σοφία, τούτῳ ὑπερέχει τοῦ εἶναι φῶς ἀληθινόν. Vide et quæ sequuntur. Sed de his in *Origenianis*. ID.

ipsis persequentibus non sit apprehensa. Tertio dicitur hæc lux, « lux vera [66]. » Qua portione autem Pater veritatis, Deus amplior et major est quam veritas; et Pater cum sit sapientiæ, melior et præstantior est sapientia, hac etiam portione superat lucem esse veram. Apertius autem Patrem et Filium duas exsistere luces per hæc, a Davide sciemus psalmo quinto et trigesimo [67], dicente : « In lumine tuo videbimus lumen. » Eadem sane lux hominum in tenebris lucens, « lux vera, » in sequentibus Evangelii lux esse mundi dicitur, dicente Jesu [68] : « Ego sum lux mundi. » Quare neque hoc sinamus non animadversum, cur, cum potuisset scribere : Quod factum est in ipso lux erat hominum, et lux hominum vita erat, contrarium fecerit, præponens vitam luci hominum, quamvis idem sit « vita » et « lux hominum [69], » et dicendum quod in his qui participes sunt vitæ, quæ est lux hominum, primum nobis occurrat ipsos vivere vita beata et antea dicta; deinde eos illustrari : supponatur enim vivere oportet, ut vivens illuminatus fiat; nec consequens fuisse illuminari eum, qui nondum intellectus fuisset vivere, et superinduci illuminationi ipsum vivere. Quamvis enim idem sit « vita » et « lux hominum, » considerationes tamen secundum aliud et aliud sumuntur. Hæc itaque lux hominum dicitur etiam lux gentium apud prophetam Isaiam [70], juxta illud : « Ecce posui te in testamentum **77** generis, in lucem gentium : » et huic luci confisus David in sexto et vigesimo psalmo [71] inquit : « Dominus illuminatio mea et salus mea, quem timebo ? »

19. Sane ad eos qui fingunt fabulosum de sæculis in conjugationibus commentum, et existimant a mente et veritate sermonem, vitamque jam ante emissos et productos fuisse, haud absurdum est talia movere dubia. Quomodo enim vita sermonis, ut ipsi tradunt, conjux esse sumit in marito ? « Quod factum est » enim, inquit, « in ipso » (scilicet prædicto sermone) « vita erat [72]. » Dicant ergo nobis quomodo conjux sermonis vita facta sit in sermone, et quomodo ipsa vita potius quam sermo lux sit hominum. Verum enimvero probabile est, ut viri meliore mente præditi, qui quæstionibus permoventur dubitatione hac perculsi, ex adverso nos interrogent, urgeantque, ni invenerimus causam per quam sermo non sit dictus lux hominum, sed vita quæ facta est in sermone ipso; quibus talia respondebimus : vitam hoc in loco non eam intelligi quam communiter participant et rationis capa-

A τῷ μὴ καταλαμβάνεσθαι ὑπ' αὐτῆς διωκούσης. Τρίτον ἦν τὸ λεγόμενον τοῦτο τὸ φῶς, « φῶς ἀληθινόν. » Ὧ δὲ λόγῳ ὁ Πατὴρ τῆς ἀληθείας Θεὸς πλείων ἐστὶ καὶ μείζων ἢ ἀλήθεια (76)· καὶ ὁ Πατὴρ ὢν σοφίας κρείττων ἐστὶ καὶ διαφέρων ἢ σοφία (77), τούτῳ ὑπερέχει τοῦ εἶναι φῶς ἀληθινόν. Παραστατικώτερον δὲ δύο φῶτα τὸν Πατέρα καὶ τὸν Υἱὸν ἀπὸ τοῦ Δαυῒδ τυγχάνειν διὰ τούτων εἰσόμεθα, ὅτε φησὶν ἐν τριακοστῷ πέμπτῳ ψαλμῷ· « Ἐν φωτί σου ὀψόμεθα φῶς. » Ταὐτὸ δὲ αὐτὸ τὸ φῶς τῶν ἀνθρώπων τὸ ἐν τῇ σκοτίᾳ φαῖνον, « τὸ ἀληθινὸν φῶς, » ἐν τοῖς ἑξῆς τοῦ Εὐαγγελίου φῶς τοῦ κόσμου ἀναγορεύεται, φάσκοντος Ἰησοῦ· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. » Οὐδὲ τοῦτο δὲ ἀπαρασήμαντον ἐάσωμεν, ὅτι, ἐνδεχομένου γεγράφθαι· Ὃ γέγονεν ἐν αὐτῷ φῶς ἦν τῶν B ἀνθρώπων, καὶ τὸ φῶς τῶν ἀνθρώπων ζωὴ ἦν, τὸ ἀνάπαλιν πεποίηκε· προτάσσει γὰρ τὴν ζωὴν (78) τοῦ τῶν ἀνθρώπων φωτός, εἰ καὶ ταὐτόν ἐστι ζωὴ καὶ ἀνθρώπων φῶς, τῷ προαπαντᾷν ἡμᾶς ἐπὶ τῶν μετεχόντων τῆς ζωῆς τυγχανούσης καὶ φωτὸς ἀνθρώπων τὸ ζῆν αὐτοὺς τὴν προειρημένην θείαν ζωὴν παρὰ τὸ πεφωτίσθαι· ὑποκεῖσθαι γὰρ δεῖ τὸ ζῆν, ἵν' ὁ ζῶν πεφωτισμένος γένηται· οὐκ ἦν δὲ ἀκόλουθον πεφωτίσθαι τὸν μηδέπω ζῆν νενοημένον, καὶ ἐπιγίνεσθαι τῷ πεφωτίσθαι τὸ ζῆν. Εἰ γὰρ καὶ ταὐτόν ἐστιν « ἡ ζωὴ » καὶ « τὸ φῶς τῶν ἀνθρώπων, » ἀλλ' αἵ γε ἐπίνοιαι καθ' ἕτερον καὶ ἕτερον (79) λαμβάνονται. Τοῦτο δὲ τὸ φῶς τῶν ἀνθρώπων καὶ φῶς ἐθνῶν παρὰ τῷ προφήτῃ Ἠσαΐᾳ λέγεται κατὰ τό· « Ἰδοὺ τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν· » καὶ τούτῳ τῷ C φωτὶ πεποιθὼς ὁ Δαυῒδ φησιν ἐν εἰκοστῷ ἕκτῳ ψαλμῷ· « Κύριος φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; »

Πρὸς δὲ τοὺς τὴν περὶ αἰώνων (80) ἀναπλάσαντας ἐν συζυγίαις μυθολογίαν, καὶ οἰομένους ὑπὸ νοῦ καὶ ἀληθείας προβεβλῆσθαι λόγον καὶ ζωὴν, οὐκ ἀπίθανον καὶ ταῦτα ἀπορῆσαι. Πῶς γὰρ ἡ κατ' αὐτοὺς σύζυγος τοῦ λόγου ζωὴ τὸ γεγονέναι ἐν τῷ συζύγῳ λαμβάνει; « Ὃ γέγονε » γὰρ, φησὶν, « ἐν αὐτῷ » (δηλονότι τῷ προειρημένῳ λόγῳ) « ζωὴ ἦν. » Λεγέτωσαν οὖν ἡμῖν πῶς ἡ σύζυγος τοῦ λόγου ζωὴ γέγονεν ἐν τῷ λόγῳ, καὶ πῶς μᾶλλον τοῦ λόγου ἡ ζωὴ φῶς ἐστι τῶν ἀνθρώπων. Εἰκὸς δὲ τοὺς εὐγνωμονεστέρους ἐν ταῖς ζητήσεσιν ἀνατρεπομένους, D πληγέντας ὑπὸ τοῦ ἐπαπορήματος (81) ἀντερωτήσειν ἡμᾶς, καὶ αὐτοὺς θλιβομένους, ἐὰν μὴ εὕρωμεν αἰτίαν, δι' ἣν οὐχὶ λόγος εἴρηται τὸ φῶς τῶν ἀνθρώπων, ἀλλ' ἡ γενομένη ἐν τῷ λόγῳ ζωή· πρὸς οὓς τοιαῦτα ἀποκρινούμεθα· Ὅτι ζωὴ ἐνταῦθα οὐχ ἡ κοινὴ λογικῶν καὶ ἀλόγων λέγεται, ἀλλ' ἡ ἐπιγινομένη τῷ ἐν ἡμῖν συμπληρουμένῳ λόγῳ τῆς μετοχῆς

[66] Joan. I, 9. [67] Vers. 10. [68] ibid. VIII, 12. [69] Joan. I, 4. [70] Cap. XLII, vers. 6. [71] Vers. 1. [72] Joan. I, 3, 4.

(76) *Μείζων ἢ ἀλήθεια.* Sic codex Bodleianus, recte; codex Regius, μείζων ἀλήθεια.

(77) *Διαφέρων ἢ σοφία.* Ita codex Bodleianus; Regius, διαφέρων, ἢ σοφία.

(78) *Ζωὴν* deest in editione Huetiana, sed exstat in codd. Bodleiano et Barberino.

(79) *Καὶ ἕτερον.* Non comparet in editione Huetiana, sed restituitur e codd. Bodleiano et Barberino.

(80) *Πρὸς δὲ τοὺς τὴν περὶ αἰώνων*, etc. Valentinianos eorumque consectaneos intellige, qui hæc Æonum τερατεύματα e Platonicis ideis et poetarum Græcorum theologia confinxerunt. HUETIUS.

(81) *Ἐπαπορήματος.* Sic codex Bodleianus; editio Huetiana, ὑπαπορήματος.

ἀπὸ τοῦ πρώτου λαμβανομένης λόγου· καὶ κατὰ μὲν τὸ ἀποστραφῆναι τὴν δοκοῦσαν ζωὴν, οὐκ οὖσαν δὲ ἀληθῶς, καὶ ποθεῖν χωρῆσαι τὴν ἀληθῶς ζωὴν πρῶτον κοινωνοῦμεν αὐτῇ, ἥτις γενομένη ἐν ἡμῖν καὶ φωτὸς γνώσεως ὑπόστασις γίνεται. Καὶ τάχα αὕτη ἡ ζωὴ παρ' οἷς μὲν δυνάμει καὶ οὐκ ἐνεργείᾳ φῶς ἐστι, τοῖς τὰ τῆς γνώσεως ἐξετάζειν μὴ φιλοτιμουμένοις, παρ' ἑτέροις δὲ καὶ ἐνεργείᾳ γενομένοις φῶς· δῆλον δὲ, ὅτι παρ' οἷς κατορθοῦται τὸ ὑπὸ τοῦ Παύλου προστεταγμένον· « Ζηλοῦτε τὰ χαρίσματα κρείττονα, » μείζονα δὲ τῶν χαρισμάτων τὸ καὶ πάντων προτεταγμένον, ὅσπερ ἐστὶ λόγος σοφίας· καὶ τούτῳ ἕπεται λόγος γνώσεως. Περὶ δὲ τῆς διαφορᾶς αὐτῶν, παρακειμένων ἀλλήλοις τῶν σημαινομένων σοφίας καὶ γνώσεως, οὐ τοῦ παρόντος ἐστὶν εἰπεῖν καιροῦ.

A ces et bruta, sed eam quæ completæ in nobis rationi supervenit, sumpta participatione ἀπὸ τοῦ πρώτου λόγου [hoc est a ratione prima], cujus in primis vitæ participes efficimur, ut ab apparente nec vere exsistente vita abducamur, vitam illam vere exsistentem capere desiderantes, qua percepta mox in nobis oriri etiam dicimus fundamentum lucis cognitionis. Et fortassis ipsa hæc vita penes quosdam quidem potentia, non actu, lux est; nempe penes eos qui minime quæ ad cognitionem pertinent inquirere contendunt; apud quosdam vero actu etiam factos jam lucem; quos eos esse perspicuum est qui Pauli præceptum cum laude impleverint, nimirum: « Æmulamini charismata utiliora [73], » quibus charismatibus utilius illud est, B quod omnibus etiam præponitur, nempe sapientiæ sermo, quem mox cognitionis sermo sequitur. Jam vero quid differant inter se sapientiæ et cognitionis significata ipsa mutuo inter se collata, non est præsentis temporis disserere.

20. *Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.* Ἔτι περὶ τοῦ τῶν ἀνθρώπων, ἐπεὶ προτέτακται, ζητοῦμεν φωτὸς, οἶμαι δ' ὅτι καὶ τοῦ ἐναντίου καλουμένου σκοτίας· ἂν δὲ (82) οὕτω δοκιμασθείσης τῶν ἀνθρώπων φημὶ, ὅτι τάχα γενικόν ἐστι τὸ φῶς τῶν ἀνθρώπων δύο ἰδικῶν πραγμάτων· ὁμοίως δὲ καὶ ἡ σκοτία αὐτῶν. Ἔστι γὰρ τὸν τὸ φῶς τῶν ἀνθρώπων κεκτημένον, καὶ κοινωνοῦντα τῶν αὐγῶν αὐτοῦ, ἔργα φωτὸς ἐπιτελεῖν καὶ γινώσκειν φωτιζόμενον φῶς γνώσεως· τὸ δὲ ἀνάλογον καὶ ἐκ τῶν ἐναντίων νοητέον, τῶν τε μοχθηρῶν πράξεων καὶ τῆς νομιζομένης γνώσεως, οὐκ οὔσης κατὰ C ἀλήθειαν, τὸν λόγον τῆς σκοτίας ἐχόντων. Καὶ ὅτι μὲν τὰ πρακτικὰ φῶς ὁ ἱερὸς οἶδε λόγος, φησὶν ὁ Ἡσαΐας· « Διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς· » καὶ ὁ Δαυῒδ ἐν ιη' ψαλμῷ· « Ἡ ἐντολὴ Κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς· » ὅτι δὲ φῶς παρὰ τὰ προστάγματα καὶ τὰς ἐντολάς ἐστί τι γνώσεως παρά τινι τῶν Δώδεκα εὕρομεν· « Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς, φωτίσατε ἑαυτοῖς φῶς γνώσεως. » Ὡς γὰρ ὄντος καὶ ἑτέρου φωτὸς παρὰ τὰς ἐντολὰς τῆς γνώσεως, λέγεται τὸ, « Φωτίσατε ἑαυτοῖς φῶς, » οὐχ ἁπλῶς φῶς, ἀλλὰ ποῖον φῶς; ὅτι τὸ τῆς γνώσεως. Εἰ γὰρ πᾶν φῶς, ὃ φωτίζει ἄνθρωπος ἑαυτῷ, φῶς γνώσεως ἦν, μάτην προσέκειτο τὸ, « Φωτίσατε ἑαυτοῖς φῶς γνώσεως. » Πάλιν ὅτι ἡ σκοτία ἐπὶ τῶν μοχθηρῶν D ἔργων παραλαμβάνεται, διδάσκει ὁ αὐτὸς ἐν τῇ Ἐπιστολῇ Ἰωάννης φάσκων, ὅτι « Ἐὰν εἴπωμεν, ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατοῦμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν· » καὶ πάλιν· « Ὁ λέγων ἐν τῷ φωτὶ εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι· » καὶ ἔτι· « Ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστὶ, καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ. » Τὸ γὰρ ἐν τῷ σκότῳ περι-

20. *Et lux in tenebris lucet, et tenebræ eam non apprehenderunt* [74]. Adhuc de hominum luce, quoniam in ordine prima est, inquirimus, atque etiam, opinor, de ejus contrario, nempe tenebris, de quibus nondum inquisivimus. De hominum autem luce, inquam, quoniam fortasse lux hominum genus est duarum specialium rerum; atque 78
etiam similiter tenebræ. Contingit enim, ut qui lucem hominum possederit, et splendorum ejus particeps fuerit, opera lucis perficiat, et illustratus scientiæ lucem cognoscat: idem pari ratione ex contrariis existimandum est, pravis videlicet actionibus, et scientia quæ opinione quidem fit, revera non fit, rationem habentibus tenebrarum. Et quod quidem res ad agendum aptas lucem soleat Scriptura sacra dicere, inquit Isaias [75]: « Eo quod lux sint mandata tua super terram, » et David in decimo octavo psalmo [76]: « Mandatum Domini lucidum illuminans oculos. » Quod vero præter mandata et præcepta lux sit quædam scientiæ, invenimus apud quemdam ex Duodecim: « Seminate vobis ipsis ad justitiam, vindemiate ad fructum vitæ, illuminate vobis ipsis lucem scientiæ [77]. » Veluti enim exsistente alia luce scientiæ præter mandata, dicitur: « Illuminate vobis ipsis lucem, » non simpliciter lucem, sed qualem? nempe lucem scientiæ. Nam si quævis lux, quam sibi homo illuminat, lux scientiæ esset, frustra additum fuisset: « Illuminate vobis ipsis lucem scientiæ. » Rursus quod tenebræ de pravis operibus sumantur, ipse Joannes in sua docet Epistola dicens [78]: « Si dixerimus quod communicationem cum ipso habemus, et ambulamus in tenebris, mentimur, et non facimus veritatem; » et rursus [79]: « Qui dicit se in luce esse, et fratrem suum odit, in tenebris est usque modo: » et adhuc [80]: « Qui odit fratrem suum, in tenebris est, et in tenebris ambulat, nec novit

[73] I Cor. XII, 31. [74] Joan. I, 5. [75] Cap. XXVI, vers. 9. [76] Vers. 9. [77] Osee X, 12. [78] I Joan. I, 6. [79] ibid. II, 9. [80] ibid. 11.

(82) *Τοῦ ἐναντίου καλουμένου σκοτίας· ἂν δέ*, etc. Plane corrupta hæc sunt, quæ sic restituas, τοῦ ἐναντίου καλουμένου σκοτίας οὕτω δοκιμασθείσης. Τῶν ἀνθρώπων, etc. Præivit huic emendationi Ferrarius, quem sic legisse ex ipsius interpretatione conjicere est. HUETIUS.

quo vadat, quia tenebræ excæcaverunt ipsius oculos, » siquidem per ambulationem in tenebris indicat actionem vituperabilem. Quin etiam odio prosequi fratrem suum, nonne lapsus est ab ea quæ proprie vocatur scientia? Quod autem qui ignorat divina, propter ipsum ignorare in tenebris ambulet, inquit David [81]: « Non cognoverunt, neque intellexerunt, in tenebris ambulant. » Illud vero observa, an idcirco dicatur [82]: « Deus lux est, et tenebræ in eo ne unæ quidem sunt, » non quia unæ sint tenebræ, sed vel propter genus duplex tenebrarum, vel etiam quia unaquæque species tenebrarum multas habeat pravas actiones, et multa falsa dogmata, plures sunt tenebræ, quarum nulla in Deo est. Neque enim dictum fuisset de sancto quod ait Salvator [83]: « Vos estis lux mundi, » quoniam lux mundi est sanctus, « et tenebræ in eo non sunt ullæ [84]. »

A πατεῖν ἐμφαίνει τὴν ψεκτὴν πρᾶξιν· καὶ τὸ μισεῖν δὲ τὸν ἀδελφὸν αὐτοῦ, οὐ τῆς κυρίως καλουμένης γνώσεώς ἐστιν ἀπόπτωμα; Ὅτι δὲ καὶ ὁ ἀγνοῶν τὰ θεῖα κατ' αὐτὸ τὸ ἀγνοεῖν ἐν σκότει διαπορεύεται, φησὶν ὁ Δαυΐδ· « Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται. » Ἐπίστησον δὲ τῷ· « Ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία, » εἰ μὴ διὰ τοῦτο λέγεται τῷ εἶναι μὴ μίαν σκοτίαν, ἀλλ' ἤτοι διὰ τὸ γενικὸν δύο, ἢ καὶ διὰ τὸ καθ' ἕκαστον τῶν ἰδικῶν πολλὰς εἶναι πράξεις μοχθηρὰς, καὶ πολλὰ δόγματα ψευδῆ, πολλαί εἰσι σκοτίαι, ὧν οὐδεμία ἐν τῷ Θεῷ ἐστιν, οὐκ ἂν λεχθέντος ἐπὶ τοῦ ἁγίου ὅ φησιν ὁ Σωτὴρ, τό· « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, » ὅτι φῶς ἐστι τοῦ κόσμου ὁ ἅγιος, καὶ σκοτία οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία.

21. Proinde quæret aliquis: Si de Patre positum est quod tenebræ nullæ sint in eo, quomodo ceu rem eximiam et præcipuam **79** hoc in ipso dicemus esse, cum de Servatore quoque dicatur quod omnino sit impeccabilis [85], ita ut cum dicamus esse lucem in qua nullæ sint tenebræ? Ex parte itaque differentiam in superioribus ostendimus. Atque etiamnum illis audacius addemus, si Christum non agnoscentem peccatum fecit Pater pro nobis peccatum, si fecit, inquam, Deus ille Christum pro nobis peccatum, dici non posse de eo, « Tenebræ in eo non sunt ullæ [86]. » Quamvis enim « in similitudinem carnis peccati (83) [de peccato damnavit Jesus peccatum, » quod similitudinem carnis peccati assumpsit [87],] haud tamen omnino hæc de eo recte dicentur, scilicet quod nullæ tenebræ insint in eo. Addemus autem eum infirmitates nostras et morbos assumpsisse, et animæ infirmitates et morbos occulti cordis nostri hominis, quas infirmitates morbosque quia a nobis sustulerit, dicitur apud Zachariam animam pertristem, perturbatamque habere atque vestibus sordidis indutus [88]; quibus quoniam exuendus erat, dicuntur esse peccata. Subjungit ergo eodem in loco [89]: « Ecce ego abstuli peccata tua; » eo enim quod ipse receperit in seipsum populi credentium peccata, frequenter inquit: « Longe a salute mea verba delictorum meorum [90]; » et: « Tu cognovisti insipientiam meam, et delicta mea a te non sunt abscondita [91]. » Nec vero suspicetur nos quisquam hæc dicere, minus pie Christum Dei colentes. Nam qua ratione solus Pater habet immortalitatem, quia Dominus noster [omnium nostrum nomine] mortem ob amorem erga genus humanum pertulerit, hac Pater solus habet ut in ipso nullæ sint tenebræ: cum Christus, ut homines beneficio afficeret, tenebras nostras in seipsum receperit, ut potentia sua mortem nostram deleret, expelleretque animarum no-

B Ζητήσει δέ τις· Εἰ ἐπὶ τοῦ Πατρὸς τέτακται τό· Σκοτία οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία, πῶς τὸ ἐξαίρετον ἐροῦμεν εἶναι ἐν αὐτῷ, πάντη ἀναμάρτητον καὶ τὸν Σωτῆρα νοοῦντες, ὥστε καὶ περὶ αὐτοῦ ἂν εἰπεῖν, ὅτι φῶς ἐστι, καὶ σκοτία οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία; Ἀπὸ μέρους μὲν οὖν ἐν τοῖς ἀνωτέρω τὴν διαφορὰν παρεστήσαμεν· τολμηρότερόν τε ἔτι ἐκείνοις καὶ νῦν προσθήσομεν, ὅτι, εἰ τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε τὸν Χριστὸν, εἰ ἐποίησεν αὐτὸν ὑπὲρ ἡμῶν ἁμαρτίαν ὁ Θεὸς, οὐκ ἂν δύναιτο λέγεσθαι περὶ αὐτοῦ· « Σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. » Κἂν γὰρ « ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας περὶ ἁμαρτίας κατακρίνας τυγχάνῃ » ὁ Ἰησοῦς « τὴν ἁμαρτίαν » τῷ τὸ ὁμοίωμα τῆς σαρκὸς ἁμαρτίας ἀνειληφέναι, οὐκέτι ἕξει πάντη ὑγιῶς λεγόμενα περὶ αὐτοῦ, ὅτι σκοτία C ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. Προσθήσομεν δ' ὅτι αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασε, καὶ ἀσθενείας τὰς τῆς ψυχῆς, καὶ νόσους τὰς τοῦ κρυπτοῦ τῆς καρδίας ἡμῶν ἀνθρώπου, δι' ἃς ἀσθενείας καὶ νόσους βαστάσας αὐτὰς ἀφ' ἡμῶν, περίλυπον ἔχειν τὴν ψυχὴν ὁμολογεῖ καὶ τεταραγμένην, καὶ ῥυπαρὰ ἱμάτια ἐνδεδύσθαι παρὰ τῷ Ζαχαρίᾳ ἀναγέγραπται· ἅπερ ὅτι ἐκδύεσθαι ἔμελλε, λέγεται εἶναι ἁμαρτήματα. Ἐπιφέρει γοῦν ἐκεῖ· « Ἰδοὺ ἀφῄρηκα τὰς ἁμαρτίας σου· » διὰ γὰρ τὸ ἀναλαβεῖν αὐτὸν τὰ τοῦ λαοῦ τῶν πιστευόντων εἰς αὐτὸν ἁμαρτήματα, πολλαχοῦ φησι· « Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου· » καί· « Σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἐκρύβησαν. » Μηδεὶς δ' ἡμᾶς ὑπολαμβανέτω D ταῦτα λέγειν ἀσεβοῦντας εἰς τὸν Χριστὸν τοῦ Θεοῦ. Ὧ γὰρ λόγῳ ὁ Πατὴρ μόνος ἔχει ἀθανασίαν, τοῦ Κυρίου ἡμῶν διὰ φιλανθρωπίαν θάνατον τὸν ὑπὲρ ἡμῶν ἀνειληφότος, τούτῳ ὁ Πατὴρ ἔχει μόνος τό· Σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία, τοῦ Χριστοῦ διὰ τὴν πρὸς ἀνθρώπους εὐεργεσίαν ἐφ' αὐτὸν τὰς ἡμῶν σκοτίας ἀναδεδεγμένου, ἵνα τῇ δυνάμει αὐτοῦ καταργήσῃ ἡμῶν τὸν θάνατον, καὶ ἐξαφανίσῃ τὸ ἐν τῇ ψυχῇ

[81] Psal. LXXXI, 5. [82] I Joan. I, 5. [83] Matth. V, 14. [84] I Joan. I, 5. [85] Isa. LIII, 9; I Petr. II, 22; I Joan. I, 5. [86] ibid. I, 5. [87] Rom. VIII, 3; Isa. LIII, 4, 5; Matth. VIII, 17. [88] Zach. III, 3, 4. [89] ibid. 4. [90] Psal. XXI, 2. [91] Psal. LXVIII, 6.

(83) Hæc a Ferrario prætermissa e Perionio supplevimus.

A ἡμῶν σκότος, ἵνα πληρωθῇ τὸ παρὰ τῷ Ἡσαΐᾳ· «Ὁ λαὸς ὁ καθήμενος ἐν σκοτίᾳ φῶς εἶδε μέγα.» Τοῦτο δὲ τὸ φῶς, ὃ γέγονεν ἐν τῷ λόγῳ, τυγχάνον καὶ ζωή, φαίνει ἐν τῇ σκοτίᾳ τῶν ψυχῶν ἡμῶν, καὶ ἐπιδεδήμηκεν ὅπου οἱ κοσμοκράτορες τοῦ σκότους τούτου, οἵτινες διὰ τοῦ παλαίειν τῷ τῶν ἀνθρώπων γένει τῷ σκότῳ ὑπάγειν ἀγωνίζονται τοὺς μὴ παντὶ τρόπῳ ἱσταμένους, ὑπὲρ τοῦ αὐτοὺς πεφωτισμένους φωτὸς χρηματίσαι υἱούς. Καὶ φαῖνον ἐν τῇ σκοτίᾳ τοῦτο τὸ φῶς διώκεται μὲν ὑπ' αὐτῆς, οὐ καταλαμβάνεται δέ.

strarum tenebras, nimirum ut impleretur illud Isaiæ [92] : « Populus qui sedebat in tenebris vidit lucem magnam. » Hæc itaque lux quæ facta est in sermone, exsistens etiam vita, lucet in tenebris animarum nostrarum : et eo accessit ubi erant mundi rectores tenebrarum [sæculi] hujus [93], qui quia cum genere humano luctentur, in tenebras adducere eos contendunt qui pro virili non instant ut illuminati in filiorum lucis numero censeantur. Jam vero etiam hæc lux lucens in tenebris persecutionem patitur quidem a tenebris, sed non apprehenditur.

Ἐὰν δέ τις νομίσῃ τὸ μὴ γεγραμμένον ἡμᾶς προστιθέναι, τὸ διώκεσθαι τὸ φῶς ὑπὸ τῆς σκοτίας, ἀκουέτω, ὅτι τό· «Ἡ σκοτία αὐτὸ οὐ κατέλαβε,» μηδαμοῦ τῆς σκοτίας διωξάσης τὸ φῶς, μάτην λέγεται. Ὡς δὲ ἔχουσι νοῦν ἐκδέξασθαι δυνάμενον ἀκολούθως τοῖς γεγραμμένοις τὰ νομιζόμενα παραλελεῖφθαι, ἔγραψεν ὁ Ἰωάννης τό· «Ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.» Εἰ γὰρ οὐ κατέλαβε, διώξασα οὐ κατέλαβε· καὶ ὅτι ἐδίωξεν ἡ σκοτία τὸ φῶς, δῆλον ἔκ τε ὧν πέπονθεν ὁ Σωτήρ, καὶ οἱ παραδεξάμενοι αὐτοῦ τὰ μαθήματα, τὰ ἴδια τέκνα, τῆς σκοτίας ἐνεργούσης κατὰ τῶν υἱῶν τοῦ φωτός, καὶ βουληθείσης ἀποδιῶξαι ἀπὸ τῶν ἀνθρώπων τοῦ φωτός. Ἀλλ' ἐπεί, ἐὰν Θεὸς ὑπὲρ ἡμῶν, οὐδείς, κἂν βούληται, δυνήσεται καθ' ἡμῶν, ὅσῳ ἑαυτοὺς ἐταπείνουν, τοσούτῳ πλείους ἐγίνοντο, καὶ κατίσχυον σφόδρα σφόδρα. Διχῶς δὲ ἡ σκοτία τὸ φῶς οὐ κατείληφεν· ἢ σφόδρα αὐτοῦ ἀπολειπομένη, καὶ διὰ τὴν ἰδίαν βραδύτητα τῇ ὀξύτητι καὶ ταχύτητι τοῦ δρόμου τοῦ φωτός, οὐδὲ κατὰ τὸ ποσὸν παρακολουθῆσαι δυναμένη· ἢ εἴ που ἐνεδρεῦσαι βεβούληται τὸ φῶς τὴν σκοτίαν, καὶ κατ' οἰκονομίαν παρέμεινεν ἐπερχομένην αὐτὴν ἐγγίσασα ἡ σκοτία τοῦ φωτὸς ἠφανίζετο. Πλὴν ἑκατέρως (84) ἡ σκοτία οὐ κατέλαβε τὸ φῶς.

80 22. Quod si quis putet nos addere quod non sit scriptum, nempe quod tenebræ lucem insequantur, B audiat frustra illud dici, quod « tenebræ eam non apprehenderunt [94], » si nequaquam tenebræ lucem sunt persecutæ. Veluti autem mente præditis, per quam intelligere possent consequentia rerum scriptarum quæ putarentur omissa, scribit Joannes tenebras lucem non apprehendisse. Nam si non apprehenderunt, persecutæ non apprehenderunt ; quodque lucem tenebræ persecutæ fuerint, perspicuum est, tum ex his quæ Servator perpessus est, tum etiam illi qui illius disciplinam exceperunt, et secuti sunt, genuini ipsius filii, tenebris operantibus adversus lucis filios et fugare volentibus lucem ab hominibus. At quoniam si Deus pro nobis [95], nullus, etiamsi velit, poterit aliquid adversum nos, quanto magis seipsos humiliabant, tanto plures C exsistebant prævalebantque admodum valde. Porro duobus modis tenebræ non apprehenderunt lucem : vel quia lux eas longo intervallo post se relinqueret, ut quam celeritate pernicitateque cursus præstantem, ob propriam tarditatem ipsæ tenebræ, ne juxta quantitatem quidem, assequi possent, vel quia sicubi tenebræ luci insidias struere voluerint, atque certo quodam consilio, et per dispensationem supervenientes ipsas lux exspectaverit, mox atque luci appropinquaverint, evanescunt. Attamen utroque modo tenebræ lucem non apprehenderunt.

Ἀναγκαῖον δὲ ἐν τούτοις ἡμᾶς γενομένους ἐπισημειῶσαι (85), ὅτι οὐ πάντως, εἴ που ὀνομάζεται σκότος, ἐπὶ τῷ χείρονι λαμβάνεται· ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τῷ κρείττονι ἀναγέγραπται· ὅπερ οἱ ἑτερόδοξοι (86) μὴ διαστειλάμενοι, δυσφημότατα περὶ τοῦ Δημιουργοῦ δόγματα παραδεξάμενοι, ἀπέστησαν αὐτοῦ, ἀναπλάσμασι μύθων ἑαυτοὺς ἐπιδεδωκότες. Πῶς οὖν, καὶ πότε, καὶ ἐπὶ τοῦ κρείττονος τὸ ὄνομα τοῦ σκότους παραλαμβάνεται, παραδεικτέον ἤδη. Σκότος, γνόφος, θύελλα ἐν τῇ Ἐξόδῳ περὶ τὸν Θεὸν εἶναι λέγεται, καὶ ἐν τῷ ιζ' ψαλμῷ· «Ὁ Θεὸς ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ· σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων·» ἐὰν γάρ τις κατανοήσῃ τὸ πλῆθος τῶν περὶ Θεοῦ θεωρημάτων καὶ γνώσεως, ἄληπτον τυγχάνον ἀνθρωπίνῃ φύσει, τάχα δὲ καὶ ἑτέροις παρὰ Χριστὸν καὶ τὸ ἅγιον Πνεῦμα γενητοῖς, εἴσεται πῶς περὶ τὸν Θεόν ἐστι

23. Necesse autem est nos in his versantes adnotare, non, sicubi tenebræ nominentur, mox eas in pejorem partem sumi, verum Scripturam etiam in bonam partem aliquoties has accipere : quod qui diversa a nobis sentiunt, non dividentes, horrenda de mundi Opifice dogmata admittentes, ab ipso recesserunt, seipsos figmentis fabularum ad- D dicentes. Quomodo ergo, et quando, et num in meliorem partem tenebrarum nomen sumatur, jam est ostendendum. Tenebræ, nubes nimbusque in Exodo [96] circa Deum esse dicuntur, et in psalmo decimo septimo [97] : Deus « posuit tenebras latibulum suum, in circuitu ejus tabernaculum ejus : tenebrosa aqua in nubibus aeris : » si enim quis consideraverit multitudinem contemplationum et cognitionis de Deo, quam humana natura percipere nequeat, fortasse autem nec alii qui geniti sunt,

[92] Isa. IX, 2. [93] Ephes. VI, 12. [94] Joan. I, 5. [95] Rom. VIII, 31. [96] Exod. XIX, 9, 16; XX, 21. [97] Vers. 12.

(84) *Πλὴν ἑκατέρως*. Sic codex Bodleianus ; editio Huetiana, Πλὴν ἑκατέρῳ.
(85) *Ἐπισημειῶσαι*. Ita codex Bodleianus ; editio Huetii, ἐπισημειῶσθαι.
(86) *Ὅπερ οἱ ἑτερόδοξοι*, etc. Valentiniani nimirum, Cerdoniani et Marcionitæ.

præter Christum et Spiritum sanctum, sciet quonam pacto circa Deum sint tenebræ; propterea quod nulla quantumlibet copiosa, atque ornata oratio explicare valeat, ac ne sciat quidem ex dignitate ipsius Dei, in quibus tenebris posuerit latibulum suum, qui hoc fecit, eo **81** quod quæ de ipso sunt, ignorentur, imperceptibilia cum sint. Quod si quis hujuscemodi expositionibus offendetur, is in sententiam nostram veniat, adductus tum a tenebrosis sermonibus, tum a thesauris Christo datis a Deo, tenebrosis, occultis et invisibilibus: nec enim aliud opinor esse tenebrosos thesauros per Christum manifestatos: « Tenebras posuit Deus latibulum suum [98], » et: « Sanctus intelliget parabolam, et obscurum sermonem [99]. » Verum considera num ob hoc dicat Servator discipulis suis [1]: « Idcirco quæ in tenebris audistis, dicite in luce. » Tradita enim ipsis mysteria, cognitu difficilia et obscura, in loco secreto, et non in frequenti auditorio, jubet eos illuminatos, et ob hoc dictos esse in luce, omnibus qui lux fuerint, nuntiare. Admirabilius autem quiddam addam de tenebris laudatis, nempe has festinare ad lucem, eamque apprehendere, atque quæ olim fuissent tenebræ, non dispicienti vim ipsarum, eo quod ignoraretur, sic immutari, ut cum is ad eorum scientiam pervenerit quæ ignorabat enuntiet, quæ didicerit fui-se sibi aliquando tenebras, nunc autem lucem.

A σκότος, κατὰ τὸ ἀγνοεῖσθαι τὸν κατ' ἀξίαν περὶ αὐτοῦ πλούσιον λόγον, ἐν ᾧ σκότῳ ἔθετο αὐτοῦ τὴν ἀποκρυφὴν τῷ τὰ περὶ αὐτοῦ ἀγνοεῖσθαι, ἀχώρητα ὄντα, τοῦτο πεποιηκώς. Ἐὰν δέ τις ταῖς τοιαύταις προσκόπτῃ ἐκδοχαῖς, προσαγέσθω ἀπό τε τῶν σκοτεινῶν λόγων καὶ τῶν διδομένων ὑπὸ Θεοῦ Χριστῷ θησαυρῶν σκοτεινῶν, ἀποκρύφων, ἀοράτων· οὐκ ἄλλο γάρ τι ἡγοῦμαι εἶναι τοὺς σκοτεινοὺς θησαυροὺς ἐν Χριστῷ ἀποκαλυπτομένους· « Τὸ σκότος ἔθετο ὁ Θεὸς ἀποκρυφὴν ἑαυτοῦ, » καί· « Ὁ ἅγιος νοήσει παραβολὴν καὶ σκοτεινὸν λόγον. » Ἐπίσκεψαι δὲ εἰ διὰ τοῦτό φησιν ὁ Σωτὴρ τοῖς μαθηταῖς· « Ἀνθ' ὧν ὅσα ἠκούσατε ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί. » Τὰ γὰρ ἐν ἀποῤῥήτῳ καὶ μὴ ἐπηκόῳ πολλῶν δύσγνωστα καὶ ἀσαφῆ αὐτοῖς παραδεδομένα μυστήρια προστάσσει αὐτοὺς B φωτιζομένους, καὶ διὰ τοῦτο λεγομένους εἶναι ἐν φωτὶ ἀπαγγέλλειν παντὶ τῷ γινομένῳ φωτί. Παραδοξότερον δ' ἂν ἐπὶ τοῦ ἐπαινουμένου σκότους εἴποιμι, ὅτι τοῦτο σπεύδει ἐπὶ τὸ φῶς, καὶ καταλαμβάνει αὐτὸ, καὶ γίνεταί ποτε, διὰ τὸ ἀγνοεῖσθαι σκότος, τῷ μὴ ὁρῶντι (87) τὴν δύναμιν αὐτοῦ, οὕτω μεταβάλλον ὥστε τὸν μεμαθηκότα ἀποφαίνεσθαι γεγονέναι φῶς τὸ γνωσθέν ποτε ὑπάρχον αὐτῷ σκότος.

24. *Fuit homo missus a Deo, nomen illi Joannes* [2]. Accuratius aliquis intelligens vocem *missus* (quoniam qui mittitur, alicunde et aliquo mittitur) quærat unde Joannes sit missus et quo. Cum vero liqueat quo, nimirum juxta historiam, quod ad Israel et ad volentes eum audire in eremo Judææ commorantem, et apud Jordanem fluvium baptizantem (juxta vero rationem profundiorem, in mundum, intelligendo per mundum locum hunc terrestrem ubi sunt homines), inquiret quonam pacto particula *unde* sumi debeat. Itaque diutius dictionem examinans, forte etiam enuntiabit quod quemadmodum de Adam scriptum est, quod « emiserit eum Dominus Deus e paradiso voluptatis, ut coleret terram, e qua sumptus fuerat [3], » ita Joannes missus fuerit vel e cœlo, vel e paradiso, vel ex alia parte, alicunde tandem, ad hunc super terram locum; et missus fuerit, « ut testaretur de luce [4]. » Habet autem non contemnendam objectionem sermo hic, quoniam scriptum sit apud Isaiam [5]: « Quem mittam, et quis ibit ad populum hunc? » et respondens propheta inquit [6]: « Ecce ego, **82** mitte me. » Dicet enim qui adversabitur huic opinioni, quæ profundior apparet, quemadmodum Isaias missus est, non ab alio loco ad hunc mundum, sed postquam vidit Dominum sedentem in

Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Ἀκριβέστερόν τις ἀκούων τοῦ, *ἀπεσταλμένος* (ἐπειδὴ ὁ ἀπεσταλμένος ποC θέν που ἀποστέλλεται), ζητήσει πόθεν ὁ Ἰωάννης ἀπεστάλη καὶ ποῦ. Σαφοῦς δ' ὄντος τοῦ ποῦ, κατὰ μὲν τὴν ἱστορίαν, ὅτι πρὸς τὸν Ἰσραὴλ, καὶ τοὺς βουλομένους αὐτοῦ ἀκούειν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας διατρίβοντος, καὶ παρὰ τῷ Ἰορδάνῃ ποταμῷ βαπτίζοντος (κατὰ δὲ βαθύτερον λόγον, ὅτι εἰς τὸν κόσμον, κόσμου λαμβανομένου τοῦ περιγείου τόπου, ἔνθα εἰσὶν (88) ἄνθρωποι), ἐξετάσει πῶς δεῖ λαμβάνειν τὸ, *πόθεν*. Ἐπιπλεῖον δὲ βασανίζων τὴν λέξιν, τάχα καὶ ἀποφαίνεται, ὅτι, ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ γέγραπται· « Καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη, » οὕτω καὶ ὁ Ἰωάννης (89) ἀπεστάλη ἢ ἐξ οὐρανοῦ (90), ἢ ἐκ τοῦ παραδείσου, D ἢ ὅθεν δήποτε ἑτέρωθεν παρὰ (91) τὸν ἐπὶ γῆς τοῦτον τόπον· καὶ ἀπεστάλη, « ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. » Ἔχει δὲ ἀνθυποφορὰν οὐκ εὐκαταφρόνητον ὁ λόγος, ἐπεὶ καὶ παρὰ Ἡσαΐᾳ γέγραπται· « Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; » ὅτε ἀποκρινόμενος ὁ προφήτης φησίν· « Ἰδοὺ, εἰμὶ ἐγὼ, ἀπόστειλόν με. » Ἐρεῖ γὰρ ὁ ἐνιστάμενος τῇ βαθυτέρᾳ ἐμφαινομένῃ ὑπονοίᾳ, ὅτι, ὥσπερ ὁ Ἡσαΐας ἀπεστάλη, οὐχὶ ἀφ' ἑτέρου τόπου

[98] Psal. XVII, 12. [99] Prov. I, 6. [1] Matth. X, 27. [2] Joan. I, 6. [3] Gen. III, 23. [4] Joan. I, 7. [5] Cap. VI, vers. 8. [6] Ibid.

(87) *Τῷ μὴ ὁρῶντι*. Sic codex Bodleianus; editio Huetiana, τὸ μὴ ὁρῶντι.

(88) *Τόπου, ἔνθα εἰσίν*. Ita codd. Barberinus et Bodleianus; male vero editio Huetiana in textu, τὸ ποῦ εἰσίν.

(89) *Οὕτω καὶ ὁ Ἰωάννης*, etc. Hominum enim animas de cœlo peti credidit Origenes; at illas hominum sanctitate nobilium ipsos esse angelos, ut alias sæpe nobis observatum est. HUETIUS.

(90) *Ἡ ἐξ οὐρανοῦ*. Sic codex Bodleianus; Regius et Barberinus, εἴτε ἐξ οὐρανοῦ.

(91) *Παρά*. Sic codex Bodleianus; Regius et Barberinus, περί.

A παρὰ τὸν κόσμον τοῦτον, ἀλλὰ μετὰ τὸ ἑωρακέναι τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, πρὸς τὸν λαὸν, ἵνα εἴπῃ· « Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, » καὶ τὰ ἑξῆς· οὕτω καὶ ὁ Ἰωάννης, σιωπωμένης τῆς ἀρχῆς τῆς ἀποστολῆς, ἀναλογίαν ἐχούσης πρὸς τὴν ἀποστολὴν τοῦ Ἡσαΐου, ἀποστέλλεται βαπτίζειν καὶ ἑτοιμάζειν Κυρίῳ λαὸν κατεσκευασμένον, καὶ μαρτυρεῖν περὶ τοῦ φωτός. Τούτων δ' οὕτως λεχθέντων ἂν πρὸς τὸν πρῶτον λόγον λύσεις τοιαῦται προσάγονται (92) συγκατάθεσιν ἐπισπώμεναι πρὸς τὸ περὶ Ἰωάννου βαθύτερον ὑπονοούμενον· αὐτόθεν μὲν ἐπιφέρεται· « Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός· » εἰ γὰρ ἦλθε, πόθεν ἦλθε. Καὶ λεκτέον πρὸς τὸν δυσπαραδεκτοῦντα τὸ ἐν τοῖς ἑξῆς ὑπὸ Ἰωάννου λεγόμενον B ἐπὶ τῷ ἑωρακέναι τὸ Πνεῦμα τὸ ἅγιον ὡς περιστερὰν κατερχόμενον ἐπὶ τὸν Σωτῆρα· φησὶ γάρ· « Ὁ πέμψας με βαπτίζειν (93) ἐν τῷ ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. » Πότε γὰρ πέμψας τοῦτ' ἐνετείλατο; Ἀλλ' εἰκὸς ἀποκρίνεσθαι πρὸς τὸ πύσμα τοῦτο, ὅτι ὅτε δήποτε ἔπεμπεν ἐπὶ τὸ ἄρξασθαι βαπτίζειν, τότε τοῦτον τὸν λόγον εἶπεν ὁ χρηματίζων πρὸς αὐτόν. Ἔτι δὲ ἐκπληκτικώτερον πρὸς τὸ ἑτέρωθέν ποθεν ἀπεστάλθαι τὸν Ἰωάννην ἐνσωματούμενον, ὑπόθεσιν οὐκ ἄλλην τῆς εἰς τὸν βίον ἐπιδημίας ἔχοντος (94) ἢ « τὴν περὶ τοῦ φωτὸς μαρτυρίαν, » τὸ Πνεύματος ἁγίου πλησθῆναι ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, λεγόμενον ὑπὸ Γαβριὴλ, εὐαγγελιζομένου τῷ C μὲν Ζαχαρίᾳ τὴν Ἰωάννου γένεσιν, τῇ δὲ Μαριὰμ τὴν τοῦ Σωτῆρος ἡμῶν ἐν ἀνθρώποις ἐπιδημίαν· καὶ τό· « Ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου. » Τῷ γὰρ τηροῦντι τὸ μηδὲν ἀδίκως, μηδὲ κατὰ συντυχίαν, ἢ ἀποκλήρωσιν ποιεῖν, ἀναγκαῖον παραδέξασθαι πρεσβυτέραν οὖσαν τὴν Ἰωάννου ψυχὴν τοῦ σώματος, καὶ πρότερον ὑφεστῶσαν πεπέμφθαι ἐπὶ διακονίαν τῆς περὶ τοῦ φωτὸς μαρτυρίας. Πρὸς τούτοις δὲ οὐ καταφρονητέον καὶ τοῦ, « Οὗτός ἐστιν Ἠλίας ὁ μέλλων (95) ἔρχεσθαι. » Ἐὰν δὲ κρατῇ ὁ καθόλου περὶ ψυχῆς λόγος, ὡς οὐ συνεσπαρμένης τῷ σώματι, ἀλλὰ πρὸ αὐτοῦ τυγχανούσης, καὶ διὰ ποικίλας αἰτίας ἐνδυομένης σαρκὶ καὶ αἵματι, τό· « ἀπεσταλμένος ὑπὸ Θεοῦ, » οὐκέτι D δόξει ἐξαίρετον εἶναι περὶ Ἰωάννου λεγόμενον. Ὁ γοῦν πάντων κάκιστος, ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, λέγεται παρὰ τῷ Παύλῳ πέμπεσθαι ὑπὸ τοῦ Θεοῦ· « Διὰ τοῦτο γὰρ, » φησὶ, « πέμπει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες τῇ ἀδικίᾳ. » Τὸ δὲ ζητηθὲν ὅρα εἰ οὕτως λῦσαι δυνησόμεθα, ὅτι,

throno excelso et elato [7], ut ad populum diceret: « Auditu audietis, et non intelligetis [8], » et quæ sequuntur; ita etiam Joannem (suppresso principio missionis, analogiam et rationem habentis ad missionem Isaiæ) mitti ad baptizandum et præparandum Domino populum instructum, et ad testificandum de luce [9]. His ita dictis ad primam rationem solutiones tales adducuntur, assensum attrahentes ad id quod de Joanne profundius excogitatum est; ex eodem enim loco subjungitur: « Hic venit ad testificandum, ut testaretur de luce [10]; » si enim venit, alicunde venit. Dicendum etiam est illi qui gravate admittit id quod in sequentibus a Joanne dicitur, postquam vidit Spiritum sanctum descendentem ceu columbam super Servatore [11]; inquit enim [12]: « Qui misit me ad baptizandum in aqua, ille mihi dixit: Super quem videris Spiritum descendentem et manentem super eum, hic est qui baptizat in Spiritu sancto et igni. » Quando enim ille qui misit hoc præcepit? At probabile est responsurum ad interrogationem hanc, eum qui ad Joannem loquebatur, tum hæc verba dixisse ei cum eum mitteret ut baptizare inciperet. Adhuc ad probandum quod alicunde ex alio loco missus sit Joannes, qui corpus assumit, causam non aliam adventus sui in vitam habens, quam « ut testaretur de luce [13], » majoris ponderis est quod repletus Spiritu sancto adhuc ex utero matris suæ dicitur a Gabriele, qui nuntiavit Zachariæ quidem ortum Joannis, Mariæ autem Servatoris nostri inter homines adventum [14]; et illud etiam: « Ecce enim ut facta est vox salutationis tuæ in auribus meis, exsultavit in gaudio infans in utero meo [15]. » Proinde qui cavet ne quidquam vel injuste, vel casu, vel privata electione faciat, antiquiorem esse Joannis animam quam corpus admittat necesse est, et antea subsistentem missam fuisse ad ministerium testandi de luce. Ad hæc haud ita contemnendum est etiam illud: « Hic est Elias qui venturus est [16]. » Quod si prævaluerit universalis de anima opinio, tanquam 83 quæ cum corpore pariter non seminetur, sed ante ipsum exsistat, ob variasque causas carnem et sanguinem induat, particula, « missus a Deo [17], » non videbitur amplius dicta, ceu res quædam eximia de Joanne. Itaque omnium pessimus, homo peccati, filius perditionis dicitur apud Paulum [18] mitti a Deo: « Propter hoc enim, » inquit, « mittit illis Deus actionem erroris, ut credant mendacio: ut judicentur quotquot veritati non credunt, sed sibi complacent in injustitia. » At vide num hanc quæstionem sic solvere possimus, nempe quod, quemadmodum simpliciter omnis homo, eo quod creatus sit a Deo, homo est Dei; sed nullus

[7] Isai. vi, 1. [8] ibid. 9. [9] Luc. i, 17. [10] Joan. i, 7. [11] ibid. 32. [12] ibid. 33. [13] ibid. 7. [14] Luc. i, 13, 15, 32. [15] ibid. 44. [16] Matth. xi, 14. [17] Joan. i, 6. [18] II Thess. ii, 10, 11.

(92) *Προσάγονται*. Deest in editione Huetiana, sed restituitur e codd. Barberino et Bodleiano.

(93) *Βαπτίζειν*. Sic codex Bodleianus; Regius et Barberinus, βαπτίσαι.

(94) *Ἔχοντος*. Legendum videtur ἔχοντα.

(95) *Οὗτός ἐστιν ὁ Ἠλίας ὁ μέλλων*. Sic legitur in codice Bodleiano; in Regio autem et Barberino, Οὗτός ἐστιν ὁ λόγος.

homo est Dei, nisi qui Deo fuerit addictus, quemadmodum Elias et qui in Scripturis inscribuntur homines Dei; ita dici posse communiter omnem hominem a Deo missum esse; proprie autem non alium a Deo mitti quam qui ad ministerium divinum et ad obeundam humani generis salutem in vitam advenerit. Quamobrem non invenimus quod quisquam mittatur a Deo, positum, nisi de sanctis: de Isaia quidem, ut antea proposuimus; de Jeremia vero: « Ad omnes, ad quos misero te, ibis [18*]; » de Ezechiel etiam: « Ecce ego mitto te ad gentes rebelles, et incredulas mihi [19]. » Cæterum haud ita ad propositum sumpta fuisse videbuntur exempla missionis, cum nos quæramus de missione quæ fit ad hanc vitam, et illa non aperte dicant aliquem exsistentem extra hanc vitam missum fuisse in hanc vitam. Attamen sic etiam nihil est absurdi orationem transferre ad id de quo quærimus, si dicamus quod ut solos sanctos, de quibus locuti sumus, mittere dicitur Deus, sic etiam de his intelligendum esse qui ad vitam mittuntur.

A ὥσπερ ἁπλούστερον πᾶς ἄνθρωπος τῷ ὑπὸ Θεοῦ ἐκτίσθαι ἄνθρωπός ἐστι τοῦ Θεοῦ, ἀλλ' οὐ χρηματίζει πᾶς ἄνθρωπος Θεοῦ, ἢ μόνος ὁ Θεῷ ἀνακείμενος, ὃν τρόπον Ἠλίας καὶ οἱ ἐν ταῖς Γραφαῖς ἀναγεγραμμένοι ἄνθρωποι Θεοῦ, οὕτως δύναται κατὰ μὲν τὸ κοινότερον πᾶς ἄνθρωπος ἀπεστάλθαι παρὰ Θεοῦ (96)· κυρίως δὲ λέγεσθαι ἀπεστάλθαι ὑπὸ Θεοῦ (97) οὐκ ἄλλος ἢ ὁ ἐπὶ διακονίᾳ θείᾳ καὶ λειτουργίᾳ σωτηρίας γένους ἀνθρώπων ἐπιδημῶν τῷ βίῳ. Οὐχ εὕρομεν γοῦν τὸ ἀποστέλλεσθαι ἀπὸ Θεοῦ ἐπ' ἄλλου του ἢ τῶν ἁγίων κείμενον· ἐπὶ μὲν τοῦ Ἠσαΐου, ὡς προπαρεθέμεθα· ἐπὶ δὲ τοῦ Ἱερεμίου· « Πρὸς πάντας οὓς ἐὰν ἐξαποστείλω σε, πορεύσῃ· » ἐπὶ δὲ τοῦ Ἰεζεκιήλ· « Ἰδοὺ ἐγὼ ἀποστέλλω σε πρὸς ἔθνη τὰ ἀφεστηκότα, καὶ ἀπιστήσαντά (98) μοι. » Δόξει δὲ οὐ B πρὸς τὸ προκείμενον παρειλῆφθαι τὰ παραδείγματα τῆς ἀποστολῆς τῆς εἰς τὸν βίον ζητουμένης, ἀποστολὴν λέγοντα οὐ γυμνῶς τὴν ἔξωθεν τοῦ βίου ἐπὶ τὸν βίον. Πλὴν καὶ οὕτως οὐκ ἀπίθανον μετάγειν τὸν λόγον ἐπὶ τὸ ζητηθὲν, φάσκοντα, ὅτι, ὥσπερ μόνους τοὺς ἁγίους, ἐφ' ὧν παρεθέμεθα, ἀποστέλλειν λέγεται ὁ Θεὸς, οὕτως καὶ ἐπὶ τῶν εἰς τὸν βίον ἀποστελλομένων ἐκδεκτέον.

25. Et quoniam omnino in Joannis sermone versamur, ipsius missionem investigantes, non importune opinionem nostram, quam de ipso habemus, proponemus. Quoniam enim legimus prophetiam de ipso [20]: « Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te, » adnotamus num forte unus sanctorum angelorum exsistens, præcursor ad ministerium demittatur Servatoris nostri. Et mirum profecto est nihil, Christi Primogeniti **84** omnis creaturæ, ob amorem erga homines incarnati, æmulatores imitatoresque aliquos exstitisse, quibus dulce fuerit ei benignitati quam in ipsos ostendisset, inservire, eadem corporis similitudine. Sed quemnam non moveret exsultans in gaudio adhuc exsistens in utero [matris suæ] perinde ac communem hominum naturam excellens? Quod si quis admittat precationem Joseph inscriptam in his libris qui apud Hebræos dicuntur apocryphi, mox hoc dogma etiam aperte dictum inde sumpturus est: perinde quasi qui a principio eximium aliquid præ hominibus habuerunt, longe meliores cæteris animabus, cum angeli essent, ad humanam descenderint naturam. Inquit ergo Jacob: « Ego qui ad vos loquor, Jacob sum, et Israel, angelus Dei sum ego, et spiritus primarius, et Abraham, et Isaac ante omne opus

Καὶ ἐπεὶ ἀπαξαπλῶς ἐν τῷ περὶ τοῦ Ἰωάννου ἐσμὲν λόγῳ, ζητοῦντες αὐτοῦ τὴν ἀποστολὴν, οὐκ ἀκαίρως ὑπόνοιαν ἡμετέραν, ἣν περὶ αὐτοῦ ἔχομεν, προσθήσομεν. Ἐπεὶ γὰρ ἀνέγνωμεν περὶ αὐτοῦ προφητείαν· « Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου, » ἐφίσταμεν μήποτε εἷς τῶν (99) C ἁγίων ἀγγέλων τυγχάνων ἐπὶ λειτουργίᾳ καταπέμπεται τοῦ Σωτῆρος ἡμῶν πρόδρομος. Καὶ οὐδὲν θαυμαστὸν, τοῦ Πρωτοτόκου πάσης κτίσεως ἐνσωματουμένου κατὰ φιλανθρωπίαν, ζηλωτάς τινας καὶ μιμητὰς γεγονέναι Χριστοῦ, ἀγαπήσαντας τὸ διὰ τοῦ ὁμοίου τοῦ σώματος ὑπηρετῆσαι τῇ εἰς αὐτοὺς χρηστότητι (1). Τίνα δ' οὐκ ἂν κινῆσαι σκιρτῶν ἐν ἀγαλλιάσει ἔτι ἐν τῇ κοιλίᾳ τυγχάνων, ὡς τὴν κοινὴν τῶν ἀνθρώπων ὑπερπαίων φύσιν; Εἰ δέ τις προσίεται καὶ τῶν παρ' Ἑβραίοις φερομένων ἀποκρύφων τὴν ἐπιγραφομένην Ἰωσὴφ προσευχὴν, ἄντικρυς τοῦτο τὸ δόγμα καὶ σαφῶς εἰρημένον ἐκεῖθεν λήψεται· ὡς ἄρα οἱ ἀρχῆθεν ἐξαίρετόν τι ἐσχηκότες παρὰ ἀνθρώπους, πολλῷ κρείττους τυγχάνοντες τῶν λοιπῶν ψυχῶν ἀπὸ τοῦ εἶναι ἄγγελοι ἐπὶ τὴν ἀνθρωπίνην καταβεβήκασι D φύσιν. Φησὶ γοῦν ὁ Ἰακώβ· « Ὁ γὰρ λαλῶν πρὸς ὑμᾶς, ἐγὼ Ἰακὼβ, καὶ Ἰσραὴλ, ἄγγελος Θεοῦ εἰμι ἐγὼ, καὶ πνεῦμα ἀρχικὸν, καὶ Ἀβραὰμ, καὶ Ἰσαὰκ προεκτίσθησαν πρὸ παντὸς ἔργου. Ἐγὼ δὲ Ἰακὼβ,

[18*] Jer. I, 7. [19] Ezech. II, 3. [20] Malach. III, 1.

(96) *Παρὰ Θεοῦ*. Sic codex Bodleianus; Regius et Barberinus, ἀπὸ Θεοῦ.

(97) *Ὑπὸ Θεοῦ*. Ita codex Bodleianus; Regius et Barberinus, ἀπὸ Θεοῦ.

(98) *Ἀπιστήσαντα*. Ita codex Bodleianus; Regius et Barberinus, ἀποστήσαντα.

(99) *Ἐφίσταμεν μήποτε εἷς τῶν*, etc. Jam ante Origenem et vetustiora Origene tempora multis persuasum fuisse scribit Cyrillus non hominem fuisse Joannem Baptistam, sed angelum. Huic autem Origenis loco consentaneum alterum vidimus tomo XII *in Matthæum*. Homilia quoque prima *in Ezechielem* angelos tradit Adamantius Christum imitantes ad opem hominibus ferendam de cœlo descendere. HUETIUS.

(1) *Εἰς αὐτοὺς χρηστότητι*. Sic codex Bodleianus; Regius et Barberinus, εἰς ἀνθρώπους αὐτοῦ χρηστότητι.

ὁ κληθεὶς (2) ὑπὸ ἀνθρώπων Ἰακὼβ, τὸ δὲ ὄνομά μου Ἰσραὴλ, ὁ κληθεὶς ὑπὸ Θεοῦ Ἰσραὴλ, ἀνὴρ ὁρῶν Θεὸν, ὅτι ἐγὼ πρωτόγονος παντὸς ζώου ζωουμένου ὑπὸ Θεοῦ.» Καὶ ἐπιφέρει· «Ἐγὼ δὲ ὅτε ἠρχόμην ἀπὸ Μεσοποταμίας τῆς Συρίας, ἐξῆλθεν Οὐριὴλ ὁ ἄγγελος τοῦ Θεοῦ, καὶ εἶπεν, ὅτι· Κατέβην ἐπὶ τὴν γῆν, καὶ κατεσκήνωσα ἐν ἀνθρώποις· καὶ ὅτι ἐκλήθη (3) ὀνόματι Ἰακὼβ, ἐζήλωσε, καὶ ἐμαχέσατό μοι, καὶ ἐπάλαιε πρὸς μὲ, λέγων προτερήσειν ἐπάνω τοῦ ὀνόματός μου τὸ ὄνομα αὐτοῦ, καὶ τοῦ πρὸ παντὸς ἀγγέλου. Καὶ εἶπα αὐτῷ τὸ ὄνομα αὐτοῦ, καὶ πόσος (4) ἐστὶν ἐν υἱοῖς Θεοῦ. Οὐχὶ σὺ Οὐριὴλ ὄγδοος ἐμοῦ, κἀγὼ Ἰσραὴλ ἀρχάγγελος δυνάμεως Κυρίου (5), καὶ ἀρχιχιλίαρχός εἰμι ἐν υἱοῖς Θεοῦ; Οὐχὶ ἐγὼ Ἰσραὴλ ὁ ἐν προσώπῳ Θεοῦ λειτουργὸς πρῶτος, καὶ ἐπεκαλεσάμην ἐν ὀνόματι ἀσβέστῳ τὸν Θεόν μου;» Εἰκὸς γὰρ τούτων ἀληθῶς ὑπὸ τοῦ Ἰακὼβ λεγομένων, καὶ διὰ τοῦτο ἀναγεγραμμένων, καὶ τό· «Ἐν κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελφὸν αὐτοῦ,» συνετῶς γεγονέναι. Ἐπίστησον δὲ εἰ τὸ διαβόητον περὶ Ἰακὼβ καὶ Ἡσαῦ ζήτημα λύσιν ἔχει· ἐπεὶ «μηδέπω γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ φαῦλον, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος ἐῤῥήθη, ὅτι· Ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι, καθάπερ γέγραπται· Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. Τί οὖν ἐροῦμεν; Μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο!» Μήπω δὲ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ φαῦλον, ἵν' ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ Θεοῦ καλοῦντος ἐῤῥήθη· οὐ κατατρεχόντων οὖν ἡμῶν (6) ἐπὶ τὰ πρὸ τοῦ βίου τούτου ἔργα, πῶς ἀληθὲς τὸ μὴ εἶναι ἄδικον παρὰ Θεῷ, τοῦ μείζονος δουλεύοντος τῷ ἐλάττονι καὶ μισουμένου πρὶν ποιῆσαι τὰ ἄξια τοῦ δουλεύειν καὶ τὰ ἄξια τοῦ μισεῖσθαι; Ἐπὶ πλεῖον δὲ παρεξέβημεν παραλαβόντες τὸν περὶ Ἰακὼβ λόγον, καὶ μαρτυράμενοι ἡμῖν οὐκ εὐκαταφρόνητον Γραφὴν, ἵνα πιστικώτερον ὁ περὶ Ἰωάννου γένηται λόγος, κατασκευάζων αὐτὸν, κατὰ τὴν τοῦ Ἡσαΐου φωνὴν (7), ἄγγελον ὄντα ἐν σώματι γεγονέναι ὑπὲρ τοῦ μαρτυρῆσαι τῷ φωτί. Καὶ ταῦτα μὲν περὶ Ἰωάννου τοῦ ἀνθρώπου.

26. Ἡγοῦμαι δὲ, ὅτι, ὥσπερ ἐν ἡμῖν φωνὴ καὶ λόγος διαφέρουσι, δυναμένης μέντοιγέ ποτε φωνῆς τῆς μηδὲν σημαινούσης (8) προφέρεσθαι χωρὶς λόγου, οἵου τε δὲ ὄντος καὶ λόγου χωρὶς τῷ νῷ ἀπαγγέλλεσθαι φωνῆς, (ὡς ἐπὰν ἐν ἑαυτοῖς διεξοδεύωμεν,) οὕτω τοῦ Σωτῆρος, κατά τινα ἐπίνοιαν, ὄντος λόγου, δια-

A creati fuerunt. Ego autem Jacob, vocatus ab hominibus Jacob, nomen vero meum Israel, qui vocor Israel a Deo, vir videns Deum, quoniam ego primogenitus omnis animantis a Deo animati. » Et subjungit : « Cum vero ego venissem a Mesopotamia Syriæ, exivit Uriel angelus Dei, et dicit se descendisse ad terram, et habitasse inter homines, et quod vocatus fuisset nomine Jacob, æmulatusque est, et pugnavit mecum, et luctatus est, mihi dicens, suum nomen primas habere supra nomen meum, et ante omnem angelum. Interrogavique eum de nomine suo, et quotus esset inter filios Dei. Nonne tu es Uriel octavus a me, et ego Israel archangelus potentiæ Domini, et princeps tribunus militum inter filios Dei? Nonne ego Israel in per- B sona Dei minister primus, et invocavi nomine inexstinguibili Deum meum? » Probabile enim est his a Jacob vere dictis, et ob hoc scriptis, etiam illud : « In utero supplantavit fratrem suum [21], » prudenter factum fuisse. Inspice vero num celeberrima quæstio de Jacob et Esau solutionem habeat, quandoquidem « nondum natis pueris, cum neque boni quidpiam fecissent neque mali, ut secundum electionem propositum Dei maneret, non ex operibus, sed ex vocante dictum est illi : Major serviet minori, sicut scriptum est : Jacob dilexi, Esau vero odio habui. Quid igitur dicemus? Num injustitia est apud Deum? Absit [22]! » [(9) **85** Si autem cum nondum nati fuissent, aut aliquid boni egissent, aut C mali, ut secundum electionem propositum Dei maneret, non ex operibus, sed ex vocante Deo dictum est;] non recurrentibus ergo nobis ad opera hanc vitam præcedentia, quomodo verum erit, injustitiam non esse apud Deum, si major minori serviat, odio habitus, antequam digna vel servitute, vel odio faciat? Sed latius digressi sumus sermonem Jacob assumentes, et adducentes nobis in testimonium Scripturam haud ita facile contemnendam, ut confirmatior de Joanne oratio ea esset, quæ astruit eum angelum exsistentem, juxta Isaiæ vocem, in corpore advenisse testificaturum de luce. Sed hac- D tenus de Joanne homine.

26. Arbitror vero ego, quemadmodum vox et sermo apud nos differunt, cum interdum proferri possit vox nihil significans absque sermone, itidemque sermo absque voce renuntiari possit menti (veluti cum intra nos ipsos discurrimus), ita Joannem etiam, veluti vocem exsistentem ad compara-

[21] Ose. xii, 3. [22] Rom. ix, 11 et seq.

(2) *Ὁ κληθείς*. Sic codex Bodleianus; Regius et Barberinus, οὐ κληθείς.

(3) *Ἐκλήθη*. Ita codex Bodleianus; Regius et Barberinus, ἐκλήθην.

(4) *Πόσος*. Sic codex Bodleianus; Regius et Barberinus, πρῶτος.

(5) *Ἀρχάγγελος δυνάμεως Κυρίου*. Ita Bodleianus et Barberinus; editio Huetiana, ἀρχάγγελος, δυνάμενος Κυρίου.

(6) *Οὐ κατατρεχόντων οὖν ἡμῶν*, etc. Eadem docet Origenes lib. III *Περὶ ἀρχῶν*, cap. 1, et capite ejusdem libri tertio. Hunc in Origene errorem damnat Epiphanius hæres. LXIV, cap. 9, et alii : de eoque agitur in *Origenianis*.

(7) *Κατὰ τὴν τοῦ Ἡσαΐου φωνήν*. Juxta Marci I, 2, quasi locus iste qui Malachiæ est : Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου, ad Isaiam a Marco referatur, non sequens ille, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. HUETIUS.

(8) *Σημαινούσης*. Sic codex Bodleianus; Regius et Barberinus, συμβαινούσης.

(9) Hæc a Ferrario prætermissa ex interpretatione Perionii supplevimus.

tionem Christi, qui sermo est, differre a Servatore, qui juxta quamdam considerationem sermo est. Ad hoc autem me invitat ipse Joannes, quisnam tandem esset ad interrogantes respondens : « Ego vox clamantis in deserto : Parate viam Domini, rectas facite semitas ejus [23]. » Et fortasse propter hoc incredulus Zacharias in ortu vocis quæ demonstrat sermonem Dei, amittit vocem, sumens eam, nascente voce, quæ est præcursor sermonis. Vox enim auribus percipiatur oportet, ut postea mens demonstratum a voce sermonem excipere valeat. Idcirco etiam paulo antiquior Christo est Joannes, quod ad ortum pertinet : vocem enim ante sermonem recipimus. Demonstrat etiam Christum Joannes, quia voce demonstratur sermo; atque etiam baptizatur Christus a Joanne, fatente se opus habere ut ab ipso baptizetur, quia sermo purificatur a voce inter homines, cum natura vocem omnem significantem purificet sermo. Prorsusque cum Joannes Christum ostendit, homo Deum ostendit, et Servatorem incorporeum, et vox sermonem.

86 27. Ut autem in rebus multis nominum evidentia est utilis, sic hoc quoque in loco utile erit videre quid Zacharias quidve Joannes significent. Etenim perinde ac si esset aliquis non contemnendus, quod ad nominis positionem attinet, cognati quidem Zachariam appellandum censent [24], rei novitate turbati, quia vellet eum Elisabeth Joannem appellare : cum vero : « Joannes erit illi nomen, » Zacharias scripsisset, a molesto silentio liberatur. Invenimus ergo in Interpretatione nominum *Joannes*, et invenimus particulam *Joa*, seorsum sumptam, sine *nes*, quod idem valere putamus atque *Joannes;* quoniam alia quoque Novum Instrumentum Hebræorum nomina Græce reddiderit, forma Græca pronuntians ipsa, veluti pro Jacob, Jacobum; pro Symeon, Simonem. Porro Zacharias *memoria* esse dicitur : Elisabeth vero *Dei mei jusjurandum*, vel *Dei mei septimum*. Ex memoria igitur de Deo, juxta jusjurandum Dei nostri, quod juravit ad patres [25], genitus est Joannes (hoc est *gratia a Deo*) præparans Domino populum instructum [26], cum Vetus Instrumentum, quod est sabbatismi extremitas, pervenisset ad finem. Quare gigni non

A φέρει καὶ τούτου ὁ Ἰωάννης, ὡς πρὸς τὴν ἀναλογίαν τοῦ Χριστοῦ τυγχάνοντος λόγου φωνὴ ὤν. Ἐπὶ τοῦτο δέ με προκαλεῖται αὐτὸς ὁ Ἰωάννης, ὅστις ποτὲ εἴη πρὸς τοὺς πυνθανομένους ἀποκρινόμενος· « Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Καὶ τάχα διὰ τοῦτο ἀπιστήσας ὁ Ζαχαρίας τῇ γενέσει τῆς δεικνυούσης τὸν λόγον τοῦ Θεοῦ φωνῆς, ἀπόλλυσι τὴν φωνὴν, λαμβάνων αὐτὴν ὅτε γεννᾶται ὁ πρόδρομος τοῦ λόγου φωνή. Ἐνωτίσασθαι γὰρ δεῖ φωνὴν, ἵνα μετὰ ταῦτα ὁ νοῦς τὸν δεικνύμενον ὑπὸ τῆς φωνῆς λόγον δέξασθαι δυνηθῇ. Διόπερ καὶ ὀλίγῳ πρεσβύτερος κατὰ τὸ γενέσθαι ὁ Ἰωάννης ἐστὶ τοῦ Χριστοῦ· φωνῆς γὰρ πρὸ λόγου ἀντιλαμβανόμεθα. Ἀλλὰ καὶ δείκνυσι τὸν Χριστὸν ὁ Ἰωάννης· φωνῇ γὰρ παρίσταται ὁ λόγος· B ἀλλὰ καὶ βαπτίζεται ὑπὸ Ἰωάννου ὁ Χριστὸς, ὁμολογοῦντος (10) χρείαν ἔχειν ὑπ' αὐτοῦ βαπτισθῆναι· ἀνθρώποις γὰρ ὑπὸ φωνῆς καθαίρεται λόγος, τῇ φύσει τοῦ λόγου καθαίροντος πᾶσαν τὴν σημαίνουσαν φωνήν. Καὶ ἁπαξαπλῶς ὅτε Ἰωάννης τὸν Χριστὸν δείκνυσιν, ἄνθρωπος Θεὸν δείκνυσι, καὶ Σωτῆρα τὸν ἀσώματον, καὶ φωνὴ τὸν λόγον.

27. Χρήσιμον δ' ἂν ἦν, ὥσπερ ἐπὶ πολλῶν ἡ τῶν ὀνομάτων ἐνέργεια, οὕτω καὶ, ἐπὶ τοῦ τόπου τούτου τὸ ἰδεῖν ὅ τι σημαίνει ὁ Ἰωάννης καὶ ὁ Ζαχαρίας. Καὶ γὰρ ὡς ὄντος τινὸς οὐκ εὐκαταφρονήτου, κατὰ τὴν τοῦ ὀνόματος θέσιν, οἱ μὲν συγγενεῖς Ζαχαρίαν αὐτὸν καλεῖσθαι βούλονται, ξενιζόμενοι ἐπὶ τῷ βούλεσθαι τὴν Ἐλισάβετ Ἰωάννην αὐτὸν ὀνομάζειν· ὁ C δὲ Ζαχαρίας γράψας τό· « Ἰωάννης ἔσται ὄνομα αὐτῷ, » ἀπολύεται τῆς ἐπιπόνου σιωπῆς. Εὕρομεν τοίνυν ἐν τῇ Ἑρμηνείᾳ τῶν ὀνομάτων (11), « Ἰωάννης, » τὸ, « Ἰωὰ, » χωρὶς τοῦ, « νης, » μεταλαμβανόμενον (12), ὅπερ ταὐτὸν οἰόμεθα εἶναι τῷ, « Ἰωάννης· » ἐπεὶ καὶ ἄλλα ἡ Καινὴ Διαθήκη Ἑβραίων ὀνόματα ἐξελλήνισε, χαρακτῆρι αὐτὰ εἰποῦσα Ἑλληνικῷ, ὥσπερ ἐπὶ Ἰακὼβ, Ἰάκωβον, καὶ ἐπὶ Συμεὼν, Σίμωνα (13). Ζαχαρίας δὲ « μνήμη » εἶναι λέγεται· ἡ δὲ Ἐλισάβετ « Θεοῦ μου ὅρκος, » ἢ « Θεοῦ μου ἑβδομον. » Ἀπὸ Θεοῦ δὲ χάρις ἐκ τῆς περὶ Θεοῦ μνήμης κατὰ τὸν τοῦ Θεοῦ ἡμῶν ὅρκον τὸν περὶ τοὺς πατέρας ἐγενήθη ὁ Ἰωάννης, ἑτοιμάζων Κυρίῳ λαὸν κατεσκευασμένον, ἐπὶ τέλει τῆς Παλαιᾶς γενομένης Διαθήκης, ἥ ἐστι (14) σαββατισμοῦ κορωνίς· δι' ὃ

D

[23] Joan. I, 23. [24] Luc. I, 59 et seq. [25] ibid. 73. [26] ibid. 17.

(10) Ὁμολογοῦντος. Legendum videtur ὁμολογῶν.

(11) *Εὕρομεν τοίνυν ἐν τῇ Ἑρμηνείᾳ τῶν ὀνομάτων*, etc. Librum hoc titulo scripserat Philo. Quod autem in Veteri Testamento ipse egerat, idem in Novo factitavit Origenes, suumque librum libro Philonis adjunxit, atque hujus operis hic videtur meminisse. Huetius.

(12) *Τὸ, « Ἰωὰ, » χωρὶς τοῦ, « νης, » μεταλαμβανόμενον*, etc. Non nunc primum Origenis in Hebraicis imperitiam deprehendimus. Joannes, quod est יוחנן, fit a חנן. Plerique ex יהוה præfixo formatum putant, ut alia pleraque per, *Jo*, incepta vocabula : in quo sane falluntur; sunt enim serviles, et nominis formatrices litteræ. Quod vero hic, *Joannes*, idem esse scribit Origenes ac *Joa*, id est יהוה, sine *nes*, addidisset saltem, sine חנן, tolerabilius esset, quamvis æque a vero alienum; id enim dixerunt alii, item docti : Hieronymus puta, *De nominib. Hebr.* et *in Matth.* Cum subjungit quoque, Ζαχαρίας μνήμη εἶναι λέγεται, addere debebat, Θεοῦ. Quæ tamen ab aliis accepta infra rectius exposuit : ἀπὸ Θεοῦ δὲ χάρις, inquit (id est Joannes) ἐκ τῆς περὶ Θεοῦ μνήμης (id est Zacharias) κατὰ τὸν τοῦ Θεοῦ ἡμῶν ὅρκον (id est Elisabeth), etc. Id.

(13) *Σίμωνα.* Codex Bodleianus Σιμῶνα; Regius et Barberinus, Σιμών.

(14) *Ἥ ἐστι.* Ita codex Bodleianus; Regius et Barberinus, ἢ ἔτι.

οὐ δύναται γεγενῆσθαι ἀπὸ τῆς ἑβδομάδος τοῦ Θεοῦ A ἡμῶν, τὴν μετὰ τὸ σάββατον ἀνάπαυσιν τοῦ Σωτῆρος ἡμῶν κατὰ τὴν ἀνάπαυσιν αὐτοῦ ἐμποιοῦντος τοῖς συμμόρφοις τῷ θανάτῳ αὐτοῦ γεγενημένοις, καὶ διὰ τοῦτο (15) καὶ τῆς ἀναστάσεως.

28. *Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ.* Τῶν ἑτεροδόξων (16) τινὲς πιστεύειν φάσκοντες εἰς τὸν Χριστὸν, καὶ διὰ τὸ ἀναπλάσσειν ἕτερον παρὰ τὸν Δημιουργὸν, ὡς ἀκόλουθον αὐτοῖς, οὐ προσιέμενοι τὴν ἐπιδημίαν αὐτοῦ ὑπὸ τῶν προφητῶν προκατηγγέλθαι, ἀνατρέπειν πειρῶνται τὰς διὰ τῶν προφητῶν περὶ Χριστοῦ μαρτυρίας, φάσκοντες μὴ δεῖσθαι μαρτύρων τὸν Υἱὸν τοῦ Θεοῦ, ἔχοντα τὸ τοῦ πιστεύεσθαι ἄξιον ἔν τε οἷς κατήγγειλε σωτηρίοις λόγοις, δυνάμεως πεπληρωμένοις, καὶ B ἐν τεραστίοις ἔργοις, αὐτόθεν καταπλήξασθαι πάνθ' ὁντινοῦν δυναμένοις· καί φασιν· Εἰ Μωϋσῆς πεπίστευται διὰ τὸν λόγον καὶ τὰς δυνάμεις, οὐ δεηθεὶς μαρτύρων πρὸ αὐτοῦ τινων αὐτὸν καταγγειλάντων, ἀλλὰ καὶ ἕκαστος τῶν προφητῶν παρεδέχθη ὑπὸ τοῦ λαοῦ, ὡς ἀπὸ Θεοῦ ἀποσταλείς· πῶς οὐχὶ μᾶλλον Μωϋσέως καὶ τῶν προφητῶν διαφέρων δύναται χωρὶς προφητῶν μαρτυρούντων τὰ περὶ αὐτοῦ ἀνῦσαι ὃ βούλεται, καὶ ὠφελῆσαι τὸ τῶν ἀνθρώπων γένος; Παρέλκειν οὖν οἴονται τὸ ὑπὸ προφητῶν αὐτὸν νομίζεσθαι προκατηγγέλθαι, τοῦτο πραγματευσαμένων, ὡς εἴποιεν ἂν ἐκεῖνοι, τῶν τὴν καινότητα τῆς θεότητος παραδέξασθαι τοὺς εἰς Χριστὸν πιστεύοντας οὐ βουλομένων, ἀλλὰ ἐπὶ τὸν αὐτὸν C καταντῆσαι Θεὸν, ὃν καὶ πρὸ Ἰησοῦ Μωϋσῆς καὶ οἱ προφῆται ἐδίδαξαν. Λεκτέον οὖν πρὸς αὐτοὺς, ὅτι, πολλῶν αἰτίων δυναμένων γενέσθαι προκαλουμένων εἰς τὸ πιστεύειν, ἐνίοτέ τινων ἀπὸ τῆσδε μὲν τῆς ἀποδείξεως οὐ πληττομένων, ἀπὸ ἑτέρας δὲ, ἔχειν τὸν Θεὸν πλείονας ἀφορμὰς ἀνθρώποις παρέχειν, ἵνα παραδεχθῇ, ὅτι Θεὸς ὁ ὑπὲρ πάντα τὰ γενητὰ ἐνηνθρώπησεν. Ἐναργῶς γοῦν ἔστιν ἰδεῖν τινας ἐκ τῶν προφητικῶν προῤῥήσεων εἰς θαυμασμὸν τοῦ Χριστοῦ (17) ἐρχομένους, καταπληττομένους τὴν τῶν τοσούτων πρὸ αὐτοῦ προφητῶν φωνὴν, συνιστᾶσαν τόπον γενέσεως αὐτοῦ, καὶ χώραν ἀνατροφῆς, καὶ ἰσχὺν διδασκαλίας, δυνάμεών τε θαυμασίων ποίησιν καὶ πάθος ἀνθρώπινον ὑπὸ ἀναστάσεως καταλυόμενον. Καὶ τοῦτο δὲ ἐπισκεπτέον, ὅτι αἱ μὲν D τεράστιοι δυνάμεις τοὺς κατὰ τὸν χρόνον τοῦ Χριστοῦ γενομένους προκαλεῖσθαι ἐπὶ τὸ πιστεύειν ἐδύναντο· οὐκ ἔσωζον δὲ τὸ ἐμφατικὸν μετὰ χρόνους πλείονας, ἤδη καὶ μύθους εἶναι ὑπονοηθείσας (18). Πλεῖον γὰρ τῶν τότε γενομένων δυνάμεων ἰσχύει (19) πρὸς πειθὼ ἡ νῦν συνεξεταζομένη ταῖς δυνάμεσι προφητεία, κἀκείνας ἀπιστεῖσθαι ὑπὸ τῶν ἐρευνώντων αὐτὰς κωλύουσα. Τάχα δὲ αἱ προφητικαὶ μαρτυρίαι οὐ μόνον κηρύσσουσι Χριστὸν ἐλευσόμενον,

potuit ab hebdomada Dei nostri requies, quæ est post sabbatum : nimirum Deo Servatore nostro eam ingenerante secundum requiem suam in nobis, qui facti sumus morti ipsius conformes, et idcirco etiam resurrectioni [27].

28. *Hic venit in testimonium, ut testificaretur de luce, ut omnes crederent per ipsum* [28]. Quidam ex his qui ab Ecclesiæ decretis dissentiunt, credere se dicentes in Christum, et eo quod fingant Deum alium diversum a mundi Fabricatore, ut est ipsis consequens, non admittentes adventum ipsius a prophetis prænuntiatum fuisse, subvertere conantur prophetarum testimonia de Christo, dicentes opus non esse testibus Filio Dei : ut qui fidem sibi conciliaret, tum ex salutaribus sermonibus, quos denuntiabat, potentia plenis, tum ex prodigiosis et admirandis operibus, quæ vel quemlibet ex se perterrere poterant; et dicunt : Si Moysi **87** habita fuit fides, sermonis virtutisque gratia, nullis præviis testibus qui ipsum annuntiarent egenti, atque etiam prophetarum unusquisque receptus a populo fuit, veluti a Deo missus, quomodo Moyse atque prophetis præstantior non poterit absque prophetis de seipso testificantibus facilius quod velit perficere et hominum generi adjumento esse? Superfluum ergo esse aiunt existimare, a prophetis eum prænuntiatum fuisse, qui de hoc anxii fuissent, si, ut illi dicerent, noluissent divinitatis novitatem admitti a credentibus in Christum, sed eos pervenire ad ipsum Deum, quem etiam ante Jesum Moyses et prophetæ docuissent. Quamobrem respondendum est illis quod multæ causæ esse cum possent quæ ad credendum invitarent, et interdum aliquos qui ab una miraculorum demonstratione non percellerentur, ab alia demonstratione permoveri, posse Deum complures causas hominibus præbere ut admittant Deum, qui est super omnia genita, humanam assumpsisse naturam. Unde etiam evidenter cernere est nonnullos ex propheticis vaticiniis in admirationem Christi venire, tot prophetarum, qui ante ipsum fuerunt, perculsos voce stabiliente quidquid ad locum pertinet in quo genitus fuit, et eam etiam regionem in qua enutritus fuit, et vim ipsius doctrinæ, et rerum admirabilium operationem, ac denique passionem humanam a resurrectione destructam. Quin hoc quoque considerandum est quod prodigiosæ et admirandæ potentiæ, eos quidem qui Domini ætate exstitissent, invitare poterant ad credendum, at non servassent post multa tempora evidentem demonstrationem, cum eæ quoque jam pro fabulis pene habeantur. Plus enim potentiis ac miraculis illius temporis potuit ad persuadendum prophetia, quæ nunc cum potentiis ipsis et miraculis expenditur et comparatur, confirmans pro-

[27] Rom. vi, 5. [28] Joan. i, 7.

(15) *Καὶ διὰ τοῦτο.* Ita codex Bodleianus; Regius et Barberinus, καὶ τοῦτο.

(16) *Τῶν ἑτεροδόξων τινές.* Valentiniani.

(17) *Χριστοῦ.* Codex Bodleianus, Κυρίου.

(18) *Ὑπονοηθείσας.* Legendum ὑπονοηθεῖσαι, nam id postulat grammaticæ ratio, quam tamen negligit aliquando Origenes.

(19) *Ἰσχύει.* Sic codex Bodleianus; Regius et Barberinus, ἴσχει.

phetiæ indagatores, ut fidem habeant illis potentiis prodigiosis et admirandis. Fortasse vero prophetica testimonia non tantum prædicant Christum venturum, hoc nos docentes, et nihil præterea, sed multam theologiam, et quomodo sese habeat Pater ad Filium, Filiusque ad Patrem, discere licet non minus ex his quæ prophetæ de ipso annuntiarunt quam ab apostolis magnificentiam Filii Dei narrantibus. Jam vero etiam qui ausus fuerit, tale quiddam potest præter hæc dicere, nempe aliquos **88** Christi μάρτυρας [hoc est testes], eo quod testificentur de illo, honore honestari, cui tamen nihil prorsus gratificentur propter ipsam testificationem de Filio Dei, ut omnes fassuri sunt de his qui proprie Christi nominantur martyres. Quid mirum igitur si quemadmodum multi Christi germani discipuli cohonestati fuere, eo quod essent Christi μάρτυρες, ita etiam prophetæ agnoscentes ipsum, id muneris a Deo acceperint ut eum præcinerent, docentes non solum quid illis qui post Christi adventum futuri erant sentiendum foret de Filio Dei, verum etiam quid illis qui superioribus sæculis erant? Quemadmodum enim « qui non agnovit nunc Filium, neque Patrem habet [29], » sic etiam de superioribus sæculis considerandum est. Quamobrem « Abraham exsultavit, ut videret diem Christi, et vidit, et gavisus est [30]. » Chorum ergo prophetarum maxima vult gratia privare, quisquis noluerit oportere eos de Christo testari. Quid enim aliud æque excellens habebit prophetia ex inspiratione Spiritus sancti, si ab ea detrahantur quæ ad Domini nostri dispensationem attinent? Ut enim eorum qui perite ad Deum universorum per mediatorem et summum sacerdotem et Paracletum accesserint, pietas bene ordinata est, declinatura alioqui, nisi per ostium quis ingressus fuerit ad Patrem, sic etiam cultus antiquorum patrum divinus, tum intelligentia, tum fide, tum denique Christi exspectatione sacer erat et apud Deum charus: quandoquidem observavimus etiam Deum se μάρτυρα fateri, obsecrans omnes ut idipsum de Christo etiam enuntient: nempe ut sint sui et Christi imitatores, dum testimonium de eo præbent quibus testatione est opus; inquit enim: « Estote mihi testes; et ego testis, dicit Dominus Deus, et servus quem elegi [31]. » Quisquis autem testificatur de veritate, tum verbis tum operibus, quomodocunque favens illi, is jure testis dicendus est; sed jam proprie apud fratres eorum affectu perculsos, qui ad mortem usque pro veritate et fortitudine decertarunt, consuetudo invaluit ut solos eos martyres appellarent, qui sangui-

[29] I Joan. II, 23. [30] Joan. VIII, 56. [31] Isa. XLIII, 10.

A οὐδὲ τοῦθ' ἡμᾶς διδάσκουσι, καὶ ἄλλο οὐδὲν, ἀλλὰ (20) πολλὴν θεολογίαν, σχέσιν τε Πατρὸς πρὸς Υἱὸν, καὶ Υἱοῦ πρὸς Πατέρα ἔστι μαθεῖν, οὐκ ἔλαττον ἀπὸ τῶν προφητῶν δι' ὧν ἀπαγγέλλουσι τὰ περὶ αὐτοῦ, ἢ ἀπὸ τῶν ἀποστόλων διηγουμένων τὴν μεγαλειότητα τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἔτι (21) δὲ τολμήσαντα καὶ χωρὶς τούτων τοιοῦτόν τι εἰπεῖν, ὅτι εἰσὶ Χριστοῦ μάρτυρες τῷ μαρτυρεῖν περὶ αὐτοῦ κοσμούμενοι, καὶ οὐ πάντως ἐκείνῳ τι διὰ τοῦ μαρτυρεῖν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ καταχαριζόμενοι, ὡς ὁμολογήσαιεν ἂν πάντες περὶ τῶν ἰδίως ὀνομαζομένων μαρτύρων Χριστοῦ. Τί οὖν θαυμαστὸν, εἰ, ὥσπερ ἐκοσμήθησαν τῷ μάρτυρες εἶναι Χριστοῦ πολλοὶ τῶν γνησίων Χριστοῦ μαθητῶν, οὕτως οἱ προφῆται τὸ προκαταγγεῖλαι Χριστὸν, νοήσαντες B αὐτὸν, δῶρον ὑπὸ Θεοῦ εἰλήφασι, διδάσκοντες οὐ μόνον τοὺς μετὰ τὴν Χριστοῦ ἐπιδημίαν ἃ δεῖ φρονεῖν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἀλλὰ καὶ τοὺς ἐν προτέραις ἐκείνων γενεαῖς; Ὥσπερ « ὁ μὴ ἐγνωκὼς τὸν Υἱὸν νῦν, οὐδὲ τὸν Πατέρα ἔχει, » οὕτω καὶ πρότερον νοητέον. Διόπερ « Ἀβραὰμ ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν « ἡμέραν » Χριστοῦ, « καὶ εἶδε, καὶ ἐχάρη. » Ἀποστερεῖν τοίνυν βούλεται τὸν χορὸν τῶν προφητῶν χάριν τὴν μεγίστην ὁ βουλόμενος αὐτοὺς μὴ δεῖν μαρτυρεῖν περὶ Χριστοῦ· τί γὰρ ἂν καὶ ἡ προφητεία ἡ ἐξ ἐπιπνοίας ἁγίου Πνεύματος εἶχε τηλικοῦτον, εἰ ὑπεξῄρητο αὐτῆς τὰ περὶ τῆς Κυρίου ἡμῶν οἰκονομίας; Ὡς γὰρ ἡ θεοσέβεια κεκόσμηται τῶν διὰ μεσίτου καὶ ἀρχιερέως καὶ Παρακλήτου καὶ ἐπιστη- C μονικῶς προσερχομένων τῷ τῶν ὅλων Θεῷ, σκάζουσα ἂν εἰ μὴ διὰ τῆς θύρας τις εἰσίῃ πρὸς τὸν Πατέρα· οὕτως καὶ ἡ τῶν πάλαι θεοσέβεια τῇ νοήσει καὶ πίστει καὶ προσδοκίᾳ Χριστοῦ ἱερὰ ἦν, καὶ παρὰ Θεῷ ἀποδεκτή· ἐπεὶ τετηρήκαμεν, ὅτι ὁ Θεὸς μάρτυς εἶναι ὁμολογεῖ, καὶ περὶ τοῦ Χριστοῦ τὸ αὐτὸ ἀποφαίνεσθαι πάντας ἐπὶ τὸ μιμητὰς αὐτοὺς (21*) καὶ τοῦ Χριστοῦ γενέσθαι παρακαλῶν, κατὰ τὸ μαρτυρεῖν αὐτοῦ οἷς χρὴ μαρτυρεῖν· φησὶ γάρ· « Γένεσθέ μοι μάρτυρες, κἀγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός· καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην. » Πᾶς δὲ ὁ μαρτυρῶν (22) τῇ ἀληθείᾳ, εἴτε λόγοις εἴτε ἔργοις, εἴτε ὅπως ποτὲ ταύτῃ παριστάμενος, μάρτυς εὐλόγως ἂν χρηματίζοι· ἀλλ' ἤδη κυρίως (23) τὸ τῆς ἀδελφότητος ἔθος, ἐκπλαγέντες διάθεσιν τῶν ἕως θανάτου ἀγωνισαμένων ὑπὲρ ἀλη- D θείας ἢ ἀνδρείας, κυρίως μόνους μάρτυρας ὠνόμασαν τοὺς τῇ ἐκχύσει τοῦ ἑαυτῶν αἵματος μαρτυρήσαντας τῷ τῆς θεοσεβείας μυστηρίῳ· τοῦ Σωτῆρος πάντα τὸν μαρτυροῦντα τοῖς περὶ αὐτοῦ καταγγελλομένοις, μάρτυρας ὀνομάζοντος· φησὶ γοῦν ἀναλαμβανόμενος τοῖς ἀποστόλοις· « Ἔσεσθέ μου μάρτυρες ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰου-

(20) *Καὶ ἄλλο οὐδὲν, ἀλλά*, etc. Cod. Regius non habet οὐδέν.

(21) *Ἔτι*. Legendum Ἔστι.

(21*) Forte leg. αὑτοῦ, et mox, post *μαρτυρεῖν*, αὐτούς. Edit.

(22) *Πᾶς δὲ ὁ μαρτυρῶν*, etc. Hac notatione vocabulum *martyr* a Tertulliano et Cypriano frequenter usurpatur. Donatistæ vero violentam mortem ac voluntariam martyrium appellabant; et postquam saginati vel sibi latus ense peregerant, vel laqueo gulam fregerant, vel se ex alto deorsum præcipitaverant, tum vero sibi coronam martyrii impositum iri arbitrabantur. Auctor est Theodoretus lib. IV *Hæret. Fab.*, cap. 6. Huetius.

(23) *Ἀλλ' ἤδη κυρίως*, etc. Idem habet infra Origenes *in Joann.* XIII, 21.

δαίᾳ, καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς. » Ἔστι δὲ ὥσπερ ὁ καθαρθεὶς λεπρὸς τὸ προστεταγμένον ὑπὸ Μωϋσέως προσάγων δῶρον, εἰς μαρτύριον τοῦτο ποιῶν τοῖς μὴ πιστεύσασιν εἰς τὸν Χριστὸν, οὕτως εἰς μαρτύριον τοῖς ἀπίστοις οἱ μάρτυρες μαρτυροῦσι, καὶ πάντες οἱ ἅγιοι, ὧν λάμπει τὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων· πολιτεύονται γὰρ παῤῥησιαζόμενοι ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, καὶ μαρτυροῦντες περὶ τοῦ ἀληθινοῦ φωτός.

nis sui effusione pietatis mysterio testimonium perhiberent. Servator enim etiam nominat omnes testimonium præbentes iis, quæ de se annuntiantur, *μάρτυρας*, cum in cœlum reciperetur dicendo apostolis [32] : « Eritis mihi testes tum in Jerusalem, tum in omni Judæa, et **89** Samaria, et usque ad ultimum terræ. » Ut autem leprosus ille [33] mundatus munus offert a Moyse præceptum, ad testimonium hoc faciens iis qui in Christum nondum crediderunt, sic ad testimonium afferendum infidelibus, tum martyres, tum sancti cæteri testificantur, quorum opera coram hominibus lucent [34]. Vitam enim degunt, in Christi cruce summam fiduciam habentes et testificantes de vera luce.

29. Καὶ Ἰωάννης τοίνυν ἦλθεν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ὃς μαρτυρῶν κέκραγε λέγων· « Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν· ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος· ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ Μονογενὴς Θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. » Πᾶς γοῦν οὗτος ὁ λόγος ἐκ προσώπου τοῦ Βαπτιστοῦ μαρτυροῦντος τῷ Χριστῷ εἴρηται, ὅπερ λανθάνει τινὰς οἰομένους ἀπὸ τοῦ· « Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, » ἕως τοῦ· « Ἐκεῖνος ἐξηγήσατο, » ἐκ τοῦ προσώπου Ἰωάννου τοῦ ἀποστόλου λέγεσθαι. Πρὸς τῇ προειρημένῃ δὲ τοῦ Βαπτιστοῦ μαρτυρίᾳ (ἀρχομένῃ ἀπὸ τοῦ· « Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονε, » καὶ ληγούσῃ εἰς τό· « Ἐκεῖνος ἐξηγήσατο, ») καὶ αὕτη ἡ μαρτυρία ἐστὶν Ἰωάννου μετ' ἐκείνην δευτέρα, ὅτε πρὸς τοὺς ἀποστείλαντας ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευΐτας, Ἰουδαίων αὐτοὺς ἀποστειλάντων, ὁμολογεῖ οὐκ ἀρνούμενος τὸ ἀληθὲς, ὡς ἄρα οὐκ αὐτὸς εἴη ὁ Χριστὸς, οὐδὲ Ἡλίας, οὐδὲ ὁ προφήτης, ἀλλὰ « φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης. » Μετὰ δὲ ταῦτα ἄλλη μαρτυρία τοῦ αὐτοῦ Βαπτιστοῦ περὶ Χριστοῦ ἐστι, τὴν προηγουμένην αὐτοῦ ὑπόστασιν (24) ἔτι διδάσκουσα, διήκουσαν ἐπὶ πάντα τὸν κόσμον, κατὰ τὰς ψυχὰς τὰς λογικὰς, ὅτε φησί· « Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε, ὀπίσω μου ἐρχόμενος, οὗ οὐκ εἰμὶ ἄξιος ἐγὼ ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. » Καὶ ἐπίσκεψαι εἰ διὰ τὸ ἐν μέσῳ τοῦ παντὸς εἶναι σώματος τὴν καρδίαν, ἐν δὲ τῇ καρδίᾳ τὸ ἡγεμονικὸν (25), καὶ τὸν ἐν ἑκάστῳ λόγον, δύναται νοεῖσθαι τό· « Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε. » Τετάρτη δὲ πρὸς τούτοις μαρτυρία Ἰωάννου περὶ Χριστοῦ ἤδη καὶ τὸ ἀνθρώπινον αὐτοῦ πάθος ὑπογράφουσα, ὅτε λέγει· « Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὗτός ἐστιν περὶ οὗ ἐγὼ εἶπον, ὅτι Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν· κἀγὼ οὐκ ᾔδειν

29. Et Joannes ergo venit, ut testificaretur de luce illa, qui testificans clamavit dicens [35] : « Qui post me venit, ante me factus est, quia me erat honoratior, quoniam ex plenitudine ejus nos omnes accepimus, et gratiam pro gratia : quoniam lex per Moysem data est; gratia autem et veritas per Jesum Christum facta est. Deum nemo vidit unquam : Unigenitus qui est in sinu Patris, ille enarravit. » Tota ergo hæc oratio ex Baptistæ persona testantis de Christo dicta est, id quod multos latet opinantes ab illis verbis, « ex plenitudine ejus nos omnes accepimus, » usque ad illa, « ille enarravit, » ex Joannis apostoli persona dicta fuissè. Præter ante dictum vero Baptistæ testimonium (quod incipit ab illis verbis : « Qui post me venit, ante me factus est, » et desinit in illa verba, « ille enarravit ») etiam hoc est testimonium Joannis post illud secundum, quando ad eos qui miserunt ex Hierosolymis sacerdotes et Levitas (Judæi nempe miserunt illos), fatetur, non negans verum quod ipse non esset ille Christus, neque Elias, neque propheta ille, sed « vox clamantis in deserto : Dirigite viam Domini, sicut dixit Isaias propheta [36]. » Post hæc vero aliud ipsius Baptistæ de Christo testimonium est, quod docet etiam ipsius præcipuam hypostasim pervadentem in omnem mundum propter animas rationis capaces, cum inquit [37] : « In medio vestri stat, quem vos nescitis, qui post me venit, cujus non sum ego dignus, ut solvam corrigiam calceamenti ejus. » At considera, num quia cor in medio totius sit corporis, inque corde animæ principatus, illud quod ait : « In medio vestri stat, quem vos nescitis, » intelligi possit ratio quæ in unoquoque est. Quartum vero Joannis de Christo est testimonium humanam ipsius etiam passionem jam describens, cum dicit : « Ecce Agnus ille Dei, qui tollit peccatum mundi. **90** Hic est de quo dicebam : Post me venit vir, qui ante me exstitit, quia honoratior me erat : et ego nesciebam eum : sed ut manifestus fieret Israeli, propterea veni ego, in aqua baptizans [38]. » Jam quintum testimonium inscriptum est in verbis illis :

[32] Act. I, 8. [33] Matth. VIII, 4. [34] Matth. V, 16. [35] Joan. I, 15-18. [36] ibid. 23. [37] ibid. 26, 27. [38] ibid. 29-31.

(24) *Τὴν προηγουμένην αὐτοῦ ὑπόστασιν*, etc. Hæc quo sensu accipienda sint, tradimus in *Origenianis*, lib. II. HUETIUS.

(25) *Ἐν δὲ τῇ καρδίᾳ τὸ ἡγεμονικόν*. Hæc e Stoica schola arripuit Origenes. Laertius in Zenone : Ἡγεμονικὸν δὲ εἶναί φασι τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται, καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται, ὅπερ εἶναι ἐν καρδίᾳ. « Principatum autem esse dicunt præcipuam animæ partem, in qua imaginationes et appetitus formantur, et unde ratio proficiscitur; cumque esse in corde. »

« Vidi Spiritum descendentem sicut columbam e cœlo, et mansit super eum. Et ego non noveram eum : sed qui misit me ad baptizandum in aqua, ille mihi dixit : Super quem videris Spiritum descendentem et manentem super eum, hic est qui baptizat in Spiritu sancto. Et ego vidi, et testificatus sum, hunc esse Filium Dei [39]. » Porro sexta jam vice testimonium perhibet Christo in duobus discipulis Joannes, cum « intuitus Jesum ambulantem, inquit : « Ecce Agnus ille Dei [40]. » Post quod testimonium cum audissent duo discipuli Joannem, secutique fuissent Jesum, « conversus Jesus, et conspicatus duos sequentes, respondet dicens : Quid quæritis [41]? » Et fortassis non frustra post sex testimonia cessat Joannes testificari, et Jesus profert in septimo : « Quid quæritis? » His insuper qui Joannis testimonio adjuti fuerint, vox est illa decens, quæ prædicat Christum magistrum, et fatetur Filii Dei domunculam cupere se intueri. Nam dicunt illi : « Rabbi, quod dicitur ex interpretatione, Magister, ubi manes [42]? » Et quoniam « Omnis qui quærit, invenit [43], » quærentibus Joannis discipulis Jesu mansionem, eam ostendit ipsis Jesus dicens : « Venite et videte [44] ; » fortassis per vocem, « venite, » invitans eos ad eam philosophiæ partem quæ in rerum actione versatur; per vocem vero « videte, » contemplationem præclare facta sequentem, omnino his futuram qui voluerint, designans, exsistentem in Jesu mansione. At qui quæsierant ubi maneret Jesus, quique secuti ac conspicati magistrum fuerant, deliberaverunt apud Jesum permanere totam illam diem, cumque Filio Dei morari. Verum enimvero cum decennarius numerus observatus sit ut sanctus, cum mysteria non parva fuisse facta in decennario numero inscribantur, intelligendum est non frustra in Evangelio decimam inscribi horam [45], cum discipuli Joannis apud Jesum divertunt, ex quorum numero erat Andreas frater Simonis Petri [46], qui dum maneret apud Jesum, adjutus, invento fratre suo Simone [47] (forte enim antea non invenerat) Messiam se invenisse inquit : « quod est, si interpreteris, Christus. » Quoniam enim « qui quærit invenit [48], » quæsierat autem ubi maneret Jesus; et secutus, cum perspexisset ejus mansionem, manet apud Dominum « decima hora [49], » et invenit Dei Filium, Sermonem scilicet, et **91** sapientiam, et regitur ab ipso ; hanc ob causam inquit : « Invenimus Messiam [50] : » quæ vox a quovis dici poterit qui invenerit Dei Sermonem et qui ab ipsius divinitate regitur. Fructum vero mox offert Christo fratrem Simonem [51] : quem ut munere Jesus singulari remuneraretur, in ipsum intuitus est, per

αὐτόν· ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων. » Καὶ πέμπτ[...] τυρία ἀναγέγραπται κατὰ τό· « Τεθέαμαι τὸ [...] καταβαῖνον ὡς περιστερὰν ἐξ οὐρανοῦ, καὶ [...] ἐπ' αὐτόν. Κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ [...] με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· [...] ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' [...] οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ. [...] ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν [...] τοῦ Θεοῦ. » Ἕκτον δὲ μαρτυρεῖ τῷ Χριστῷ ἐ[...] μαθητῶν ὁ Ἰωάννης, ὅτε, « ἐμβλέψας τῷ [...] περιπατοῦντι, λέγει· Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ. [...] ἣν μαρτυρίαν ἀκουσάντων τῶν δύο μαθητ[...] Ἰωάννου, καὶ ἀκολουθησάντων τῷ Ἰησοῦ, « στ[...] ὁ Ἰησοῦς, καὶ θεασάμενος τοὺς δύο ἀκολουθο[...] ἀποκρίνεται λέγων· Τί ζητεῖτε; » Καὶ τά[...] μάτην μετὰ ἓξ μαρτυρίας παύεται μὲν ὁ Ἰ[...] μαρτυρῶν· Ἰησοῦς δὲ κατὰ τὸ ἕβδομον πρ[...] τό· « Τί ζητεῖτε; » Πρέπουσα δὲ ὠφελημένο[...] τῆς Ἰωάννου μαρτυρίας ἡ φωνὴ ἀναγορεύου[...] Χριστὸν διδάσκαλον, καὶ ὁμολογοῦσα τὸ οἰκη[...] ποθεῖν θεάσασθαι τοῦ Υἱοῦ τοῦ Θεοῦ· φασ[...] αὐτῷ· « Ῥαββὶ, ὃ λέγεται μεθερμηνευόμεν[...] δάσκαλε, ποῦ μένεις; » Καὶ ἐπεὶ « Πᾶς ὁ [...] εὑρίσκει, » ζητήσασι τὴν Ἰησοῦ μονὴν τοῖς Ἰω[...] μαθηταῖς ὑποδείκνυσι λέγων αὐτοῖς· « Ἔρχεσθ[...] ὄψεσθε· » τάχα διὰ τοῦ μὲν, « ἔρχεσθε, » [...] πρακτικὸν αὐτοὺς παρακαλῶν· διὰ δὲ τοῦ, « ὄψ[...] τὴν ἀκολουθοῦσαν τῇ κατορθώσει τῶν πράξεω[...] ρίαν πάντως ἔσεσθαι τοῖς βουλομένοις ὑπογρ[...] γινομένην ἐν τῇ τοῦ Ἰησοῦ μονῇ. Προὔκειτο δ[...] ζητήσασι ποῦ μένει ὁ Ἰησοῦς, ἀκολουθήσασι [...] δασκάλῳ, καὶ θεασαμένοις, παραμεῖναι τῷ Ἰ[...] καὶ τὴν ἡμέραν ἐκείνην συνδιατρίψαι τῷ Υἱ[...] Θεοῦ. Ἐπεὶ δὲ ὁ δέκατος ἀριθμὸς τετήρητ[...] ἅγιος (26), οὐκ ὀλίγων μυστηρίων ἐν τῇ [...] ἀναγραφομένων, γεγονέναι νοητέον οὐ μάτην [...] τῷ Εὐαγγελίῳ τὴν δεκάτην ἀναγράφεσθαι ὥρα[...] τῶν Ἰωάννου μαθητῶν παρὰ τῷ Ἰησοῦ καταγ[...] ὧν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου ἦν, [...] ὠφεληθεὶς ἐν τῷ παραμεμενηκέναι τῷ Ἰησοῦ, [...] τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, (τάχα γὰρ πρ[...] οὐχ εὕρητο·) φησὶν εὑρηκέναι τὸν Μεσσίαν [...] ἐστι μεθερμηνευόμενον Χριστός. » Ἐπεὶ γὰρ [...] ζητῶν εὑρίσκει, » ἐζήτησε δὲ ποῦ μένει ὁ Ἰη[...] καὶ ἀκολουθήσας, θεωρήσας αὐτοῦ τὴν μονὴν, [...] μένει τῷ Κυρίῳ « ἐν τῇ δεκάτῃ ὥρᾳ, » καὶ εὑ[...] τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν Λόγον, καὶ τὴν σοφίαν [...] σιλεύεται δὲ ὑπ' αὐτοῦ· διὰ τοῦτό φησιν· « Εὑ[...] μεν τὸν Μεσσίαν. » Αὕτη δὲ ἡ φωνὴ ὑπὸ παντ[...] λέγοιτο τοῦτον τοῦ Θεοῦ Λόγον εὑρηκότος, καὶ [...] τῆς θειότητος αὐτοῦ βασιλευομένου. Καρπὸν [...]

[39] Joan. I, 32 34. [40] ibid. 35, 36. [41] ibid. 37, 38. [42] ibid, 38. [43] Matth. VII, 8. [44] Joan. [...] [45] ibid. [46] ibid. 40. [47] ibid. 41. [48] Matth. VII, 8. [49] Joan. I, 39. [50] ibid. I, 41. [51] ibid. 42.

(26) Origenes infra tom. X, n. 30 medio : Ταῦτα δέ μοι ἐν ἀρχῇ τοῦ δεκάτου τόμου λέγεται πρὸς σὲ, πολλαχοῦ ὁρῶντι τῆς Γραφῆς διαφερούσης προνομίας τετυχότα τὸν δέκα ἀριθμόν. Item in Catena Ghisleriana *in Jerem.*, ad cap. XXXII, vers. 17, denarium numerum Origenes τέλειον καὶ Θεοῦ οἰκεῖον esse dicit. Et in alia Regiæ Bibliothecæ [...]tena *in Prophetas*, ad Ezech. IV, 10 : Οὐκ [...] γὰρ τὸν οὕτως ἀκάθαρτον βρωθησόμενον ἄρτ[...] ἁγίῳ παραλαμβάνεσθαι ἀριθμῷ. ὁποῖος δὴ [...] δεκάδος, καὶ ἑβδομάδος, καὶ τριακάδος, καὶ ὀγδο[...] καί τινες τῶν ὁμοίων ἀριθμῶν.

εὐθέως προσάγει τὸν ἀδελφὸν τῷ Χριστῷ, ᾧ Σίμωνι ἐχαρίσατο ὁ Ἰησοῦς τὸ ἐμβλέψαι αὐτῷ, ὅπερ ἐστὶ διὰ τοῦ ἐμβλέψαι ἐπισκοπῆσαι καὶ φωτίσαι αὐτοῦ τὸ ἡγεμονικόν· καὶ δεδύνηται διὰ τὸ ἐμβεβλεφέναι αὐτῷ τὸν Ἰησοῦν ὁ Σίμων βεβαιωθῆναι, ὥστε τοῦ ἔργου τῆς βεβαιότητος καὶ τῆς στεῤῥότητος ἐπώνυμος γενέσθαι, καὶ κληθῆναι Πέτρος.

30. Ἀλλ' ἐρεῖ τις, τί δήποτε προκειμένου διηγήσασθαι τό· « Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, » πάντα ταῦτα διεξεληλύθαμεν; Λεκτέον δὲ, ὅτι ἔδει παραστῆσαι τὰς μαρτυρίας τοῦ Ἰωάννου τὰς περὶ τοῦ φωτὸς, καὶ τὴν τάξιν αὐτῶν ἐκθέσθαι, τήν τε ἀκολουθήσασαν οἷς ἐμαρτύρησεν ὠφέλειαν, γενομένην κατὰ τὴν Ἰωάννου μαρτυρίαν ἀπὸ τοῦ Ἰησοῦ, ἵνα τὸ ἀνύσιμον τῆς Ἰωάννου μαρτυρίας δηλωθῇ. Καὶ πρὸ τῶν ἐνταῦθα δὲ μαρτυριῶν ἡ ἐν τῇ ἀγαλλιάσει σκίρτησις τοῦ Βαπτιστοῦ ἐν τῇ κοιλίᾳ τῆς Ἐλισάβετ ἐπὶ τῷ ἀσπασμῷ τῆς Μαρίας μαρτυρία περὶ Χριστοῦ ἦν, μαρτυροῦντος τῇ θειότητι τῆς συλλήψεως καὶ γενέσεως αὐτοῦ. Καὶ τί γάρ; Ἢ πανταχοῦ μάρτυς καὶ πρόδρομος τοῦ Ἰησοῦ ἐστιν ὁ Ἰωάννης, προλαμβάνων τὴν γένεσιν αὐτοῦ, καὶ πρὸ ὀλίγου τοῦ θανάτου ἀποθνήσκων τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἵνα μὴ μόνον τοῖς ἐν γενέσει, ἀλλὰ καὶ τοῖς προσδοκῶσι τὴν διὰ Χριστοῦ ἀπὸ θανάτου ἐλευθερίαν, πρὸ τοῦ Χριστοῦ ἐπιδημῶν, πανταχοῦ ἑτοιμάσῃ Κυρίῳ λαὸν κατεσκευασμένον· φθάνει δὲ καὶ ἐπὶ τὴν δευτέραν Χριστοῦ παρουσίαν, καὶ θειοτέραν, ἡ Ἰωάννου μαρτυρία. « Εἰ γὰρ θέλετε, φησὶ, δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. » Οὔσης δὲ ἀρχῆς ἐν ᾗ ὁ Λόγος, (ἥντινα σοφίαν εἶναι ἀπὸ τῶν Παροιμιῶν ἀπεδείξαμεν·) ὄντος δὲ καὶ τοῦ Λόγου, γενομένης τε ἐν τούτῳ ζωῆς, τῆς τε ζωῆς τυγχανούσης φωτὸς ἀνθρώπων, ζητῶ τί δήποτε ὁ γενόμενος « ἄνθρωπος, ἀπεσταλμένος παρὰ Θεοῦ, ᾧ ὄνομα Ἰωάννης, ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός; » Διὰ τί οὖν οὐχ ἵνα μαρτυρήσῃ περὶ τῆς ζωῆς, ἢ ἵνα μαρτυρήσῃ περὶ τοῦ Λόγου, ἢ περὶ τῆς ἀρχῆς, ἢ ὁποίας δήποτε ἄλλης ἐπινοίας τοῦ Χριστοῦ; Ἐπίσκεψαι δὲ εἰ μὴ (26*) « ὁ λαὸς ὁ καθήμενος ἐν σκότῳ φῶς εἶδε μέγα, » καὶ ἐπεὶ « τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, » μὴ καταλαμβανόμενον ὑπ' αὐτῆς, οἱ ἐν σκότῳ τυγχάνοντες δέονται φωτὸς, τουτέστιν οἱ ἄνθρωποι. Εἰ γὰρ τὸ φῶς τῶν ἀνθρώπων ἐν τῇ σκοτίᾳ φαίνει, ἔνθα οὐδαμῶς ἐνέργεια σκοτίας τυγχάνει, ἑτέρων ἐπινοιῶν τοῦ Χριστοῦ κοινωνήσομεν, νῦν κυρίως καὶ κατὰ τὸ ἀκριβὲς οὐ μετέχοντες αὐτῶν. Πῶς γὰρ μετέχομεν ζωῆς, οἱ ἔτι τὸ σῶμα τοῦ θανάτου περικείμενοι; « Ὧν ἡ ζωὴ κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ; Ὅταν γὰρ ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ἡμεῖς σὺν αὐτῷ φανερωθησόμεθα ἐν δόξῃ. » Οὐχ οἷόν τε οὖν ἦν τὸν ἐλθόντα μαρτυρῆσαι περὶ τῆς ζωῆς τῆς ἔτι ἂν κρυπτομένης σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ἀλλ' οὐδὲ ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ Λόγου, Λόγον ἡμῶν νοούντων τὸν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, καὶ

A illum intuitum declarans se Simonis curam gerere, animæ illius parte præstantissima illustrata: potuitque Simon, eo quod Jesus in ipsum intuitus est, eousque stabiliri, ut ab opere stabili firmoque cognomen traheret et vocaretur Petrus.

30. Sed dicturus est aliquis, cur tandem proposita nobis interpretatione verborum eorum: « Hic venit ad testificandum, ut testificaretur de luce illa [52], » omnia hæc transcurrimus? At dicendum, necesse fuisse Joannis testimonia de luce illa demonstrare ordinemque eorum exponere: atque utilitatem quæ insecuta fuerit eos apud quos testatus fuisset, factam post Joannis testimonium a Jesu, ut B perfectio testimonii Joannis declararetur. Quin ante hæc testimonia Baptistæ exsultatio præ gaudio in utero Elisabeth propter Mariæ salutationem, testimonium fuit de Christo, testificante Baptista de divinitate conceptionis et ortus Christi. Quid plura? Vel ubique testis et præcursor Jesu est Joannes antevertens illius ortum, et paulo ante mortem Filii Dei moriens, ut non solum ad vivos, verum et ad exspectantes libertatem a morte per Christum futuram, ante Christum adveniens, ubique Domino pararet populum instructum [53]; pertingit autem usque ad secundum, eumque diviniorem, Christi adventum Joannis testimonium. « Si enim vultis, inquit [54], recipere, ipse est Elias, qui venturus est. Qui C habet aures audiendi, audiat. » Cæterum cum sit principium in quo est Sermo (quod sapientiam esse ex Proverbiorum libro ostendimus), cumque etiam sit Sermo, atque vita in hoc facta, ac deinde vita sit lux hominum, quæro cur tandem, cum « homo missus a Deo, cui nomen erat Joannes, venerit ad testificandum, ut testificaretur de luce [55], » non etiam venerit ut testificaretur de vita, vel ut testificaretur de Sermone, vel de principio, vel de quacunque alia consideratione Christi? Proinde considera an, quoniam « populus qui sedebat in tenebris, viderit lucem magnam [56], » et quoniam « lux in tenebris lucet » non deprehensa ab ipsis tenebris [57], illi qui sunt in tenebris, nempe homines, luce indigeant. Nam si lux hominum in tenebris lucet, **92** quando D nulla omnino tenebrarum operatio erit, tunc alias Christi considerationes participabimus, cum minime ipsas proprie nunc, et certo participemus. Nam quomodo vitæ participes sumus, qui adhuc corpore hoc mortali circumdamur? « Quorum vita abscondita est una cum Christo in Deo? Cum enim Christus apparuerit vita nostra, tunc et nos cum ipso apparebimus in gloria [58]. » Homo ergo nullus qui venisset, testificari poterat de vita etiamnum cum Christo abscondita in Deo. Sed neque venit ad testificandum, ut testificaretur de Sermone: Sermonem considerantibus nobis in principio apud

[52] Joan. I, 7. [53] Luc. I, 17. [54] Matth. XI, 14, 15. [55] Joan. I, 6. [56] Isa. IX, 2; Matth. IV, 16. [57] Joan. I, 5. [58] Colos. III, 3, 4.

(26*) Legit interpres εἰ μὴ, ἐπεὶ ὁ λαὸς, κ. τ. λ. Edit.

Deum [59], et Deum Sermonem : super terram enim Sermo factus est caro [60]. Et fuisset testimonium (quamvis quibusdam videretur esse de Sermone) proprie dicendum de Sermone qui factus est caro, non autem de Sermone Dei ; quare non venit ut testificaretur de Sermone. Quomodo fieri vero poterat testimonium de sapientia pure lucideque verum non dispicientibus, etiamsi existimarent se agnoscere, sed cernentibus per speculum et in ænigmate [61] ? Proinde probabile est futurum, ut ante secundum et diviniorem Christi adventum veniat Joannes aut Elias ad testificandum de vita, paulo antequam Christus manifestandus sit vita nostra, ac tum de Sermone testificaturi sint ostensurique testimonium de sapientia. Indagatione autem eget an in unaquaque consideratione de Christo testificatio Joannis sit veluti præcursor. Hæc quidem in illud : « Hic venit ad testificandum, ut testificaretur de luce [62]. » Deinceps vero considerandum est quid commentari debeamus in illud : « Ut omnes crederent per illum [63]. »

Θεὸν Λόγον· ἐπὶ γῆς γὰρ ὁ Λόγος σὰρξ ἐγένετο. Καὶ ἦν ἂν μαρτυρία, (εἰ καὶ ἐδόκει γίνεσθαι περὶ τοῦ Λόγου,) κυρίως ἂν λεχθησομένη ἡ περὶ Λόγου γενομένου σαρκὸς, οὐχὶ δὲ Λόγου Θεοῦ· διόπερ οὐκ ἦλθεν ἵνα μαρτυρήσῃ περὶ τοῦ Λόγου. Πῶς δὲ μαρτυρία ἐγίνετο (27) γίνεσθαι περὶ τῆς σοφίας τοῖς, κἂν δοκῶσιν ἐγνωκέναι, οὐ τὸ καθαρῶς ἀληθὲς κατανοοῦσιν, ἀλλὰ βλέπουσι δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι ; Εἰκὸς μέντοιγε πρὸ τῆς δευτέρας (28) καὶ θειοτέρας Χριστοῦ ἐπιδημίας ἐλεύσεσθαι μαρτυρήσοντα τὸν Ἰωάννην, ἢ Ἡλίαν περὶ ζωῆς, πρὸ ὀλίγου τὸν Χριστὸν φανερωθήσεσθαι τὴν ζωὴν ἡμῶν· καὶ τότε μαρτυρήσειν περὶ τοῦ Λόγου, παραστήσειν τε τὸ περὶ τῆς σοφίας μαρτύριον. Βασάνου δὲ δεῖται εἰ ἔνεστιν οἷον ἡ Ἰωάννου μαρτυρία πρόδρομος ἑκάστῃ τῶν τοῦ Χριστοῦ ἐπινοιῶν. Ταῦτα μὲν εἰς τό· « Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. » Ἑξῆς δὲ ἐπισκεπτέον τί δεῖ νοεῖν εἰς τό· « Ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. »

EX EODEM TOMO II, APUD PAMPHILUM MARTYREM IN *APOLOGIA PRO ORIGENE* (29).

Unigenitus ergo Deus Salvator noster solus a Patre generatus, natura et non adoptione Filius est; natus autem ex ipsa Patris mente, sicut voluntas ex mente. Non enim divisibilis est divina natura, id est ingeniti Patris, ut putemus vel divisione vel imminutione substantiæ ejus Filium esse progenitum. Sed sive mens, sive cor, aut sensus de Deo dicendus est, indiscussus permanens, germen proferens voluntatis, factus est Verbi Pater; quod Verbum in sinu Patris requiescens, annuntiat « Deum, quem nemo vidit unquam [64], » et revelat Patrem, quem nemo cognovit nisi ipse solus [65], his quos ad eum Pater cœlestis attraxerit [66].

E QUARTO TOMO IN EVANGELIUM SECUNDUM JOANNEM.

Tribus a principio foliis.

93 1. Qui dividit apud se vocem, et significata, et res, pro quibus notiones ponuntur, non impinget ad solœcismum vocis, cum perscrutatus res quibus significandis voces adhibentur, sanas et integras invenerit ; maxime vero cum profiteantur viri sancti sermonem suum « et præconium, non in persuasione sapientiæ verborum, sed in demonstratione spiritus et potestatis » esse [67].

ΕΚ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΟΜΟΥ ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ (30).

Μετὰ τρία φύλλα τῆς ἀρχῆς.

1. Ὁ διαιρῶν παρ' ἑαυτῷ φωνὴν, καὶ σημαινόμενα, καὶ πράγματα, καθ' ὧν κεῖται τὰ σημαινόμενα, οὐ προσκόψει τῷ τῶν φωνῶν σολοικισμῷ, ἐπὰν ἐρευνῶν εὑρίσκῃ (31) τὰ πράγματα, καθ' ὧν κεῖνται αἱ φωναὶ, ὑγιῆ· καὶ μάλιστα ἐπὰν ὁμολογῶσιν οἱ ἅγιοι ἄνδρες τὸν λόγον αὐτῶν « καὶ τὸ κήρυγμα, οὐκ ἐν πειθοῖ σοφίας τῶν λόγων (32), ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως. »

[59] Joan. i, 1. [60] ibid. 14. [61] I Cor. xiii, 12. [62] Joan. i, 7. [63] ibid. [64] ibid. 18. [65] Matth. xi, 27. [66] Joan. vi, 44. [67] I Cor. ii, 4.

(27) Ἐγίνετο. Lege ἐδύνατο.

(28) *Εἰκὸς μέντοιγε πρὸ τῆς δευτέρας*. Vide quæ supra ad *Comm. in Matth.* xvii super hoc argumento observata sunt.

(29) Hocce fragmentum, quod e secundo tomo deprompium fertur, nullibi tamen in eo tomo reperies ; unde vel detruncatum eum esse concludendum est, vel suspicandum fragmentum istud e tomo quinto esse depromptum, quemadmodum et illud quod ex eodem tomo infra afferimus. Et revera idem est utriusque fragmenti initium, eadem fere verba; sed cum prius Pamphilo probandum incumberet ex Deo Patre (juxta Origenem) Filium esse natum, et unius esse cum Patre substantiæ, alienum vero a substantiis creaturarum, postquam dixit : « Unigenitus Filius Salvator noster, qui solus ex Patre natus est, solus natura et non adoptione Filius est, » relicto quodam intervallo, ad posteriora, quæ ad rem probandam pertinent, statim progreditur his verbis : « Item in eodem libro. Unus ergo est, » etc. Paulo post vero, ut probet ex Origene Filium Dei per prolationem natum non esse, idem hocce initium resumit, cujus contextum, quem hic exhibemus, ubi ea de re agitur, ad finem usque transcribit. Deinde quamvis nulla auctoritas, nullæ variantes lectiones admoneant tomum ii pro tomo v positum esse in *Apologia* Pamphili, Rufinus ipse hujus interpres facile potuit decipi. Ex littera enim II unde quintus numerus apud Græcos exprimitur, facile fit numerus II, si linea superius transversa aut non advertatur aut deleatur.

(30) *Ἐκ τοῦ τετάρτου*, etc. Exstat hoc fragmentum cap. 4 *Philocaliæ*.

(31) *Εὑρίσκῃ*. Sic mss.; libb. editi, εὑρίσκει.

(32) *Τῶν λόγων*. Legendum videtur εἶναι τῶν λόγων.

Εἶτα, εἰπὼν τὸν τοῦ Εὐαγγελίου (33) *σολοικισμὸν, ἐπάγει.*

2. Ἅτε δὲ οὐκ ἀσυναίσθητοι οἱ ἀπόστολοι τυγχάνοντες τῶν ἐν οἷς προσκόπτουσι, καὶ περὶ ἃ οὐκ ἠσχόληνται, φασὶν ἰδιῶται εἶναι τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει· νομιστέον γὰρ αὐτὸ οὐχ ὑπὸ Παύλου μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν λοιπῶν ἀποστόλων λέγεσθαι ἄν· « Ἡμεῖς δέ· » καὶ τό· « Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν, » ἐξειλήφαμεν, ὡς « θησαυροῦ » μὲν λεγομένου τοῦ ἀλλαχόσε θησαυροῦ τῆς γνώσεως καὶ σοφίας τῆς ἀποκρύφου· « ὀστρακίνων δὲ σκευῶν, » τῆς εὐτελοῦς καὶ εὐκαταφρονήτου παρ' Ἕλλησι λέξεως τῶν Γραφῶν ἀληθῶς ὑπερβολῆς δυνάμεως τοῦ Θεοῦ ἐμφαινομένης· ὅτι ἴσχυσε τὰ τῆς ἀληθείας μυστήρια, καὶ ἡ δύναμις τῶν λεγομένων οὐκ ἐμποδιζομένη ὑπὸ τῆς εὐτελοῦς φράσεως, φθάσαι ἕως περάτων γῆς, καὶ ὑπαγαγεῖν τῷ Χριστοῦ λόγῳ οὐ μόνον τὰ μωρὰ τοῦ κόσμου, ἀλλ' ἔστιν ὅτε καὶ τὰ σοφὰ αὐτοῦ. Βλέπομεν γὰρ τὴν κλῆσιν, οὐχ ὅτι οὐδεὶς σοφὸς κατὰ σάρκα, ἀλλ' « ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα. » Ἀλλὰ καὶ ὀφειλέτης ἐστὶ Παῦλος καταγγέλλων τὸ Εὐαγγέλιον, οὐ μόνον βαρβάροις παραδιδόναι τὸν λόγον, ἀλλὰ καὶ Ἕλλησι· καὶ οὐ μόνον ἀνοήτοις τοῖς εὐχερέστερον συγκατατιθεμένοις, ἀλλὰ καὶ σοφοῖς· ἱκάνωτο γὰρ ὑπὸ Θεοῦ διάκονος εἶναι τῆς Καινῆς Διαθήκης, χρώμενος ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα ἡ τῶν πιστευόντων συγκατάθεσις μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ. Ἴσως γὰρ εἰ κάλλος καὶ περιβολὴν φράσεως, ὡς τὰ παρ' Ἕλλησι θαυμαζόμενα, εἶχεν ἡ Γραφή, ὑπενόησεν ἄν τις οὐ τὴν ἀλήθειαν κεκρατηκέναι τῶν ἀνθρώπων, ἀλλὰ τὴν ἐμφαινομένην ἀκολουθίαν καὶ τὸ τῆς φράσεως κάλλος ἐψυχαγωγηκέναι τοὺς ἀκροωμένους, καὶ ἠπατηκὸς αὐτοὺς προσειληφέναι.

A *Deinde, ubi memoravit Evangelii solœcismum, pergit.*

2. Sed apostoli, qui non ignorarent ad quæ impingerent, et in quibus studiis non essent versati, profitentur locutione se esse idiotas, non intelligentia: existimandum enim est id non a Paulo solum, sed a reliquis apostolis dici: « Nos autem [68], » etc. Item illud [69]: « Et thesaurum hunc habemus in testaceis vasis, ut sit exsuperatio potestatis Dei, et non a nobis, » accepimus, quasi « thesaurus » dicatur qui aliunde desumptus est, thesaurus cognitionis et sapientiæ reconditæ: « figlinis vasis, » humili et apud ethnicos despecta Scripturarum dictione vere declarata exsuperantia divinæ potestatis: potuerunt enim veritatis mysteria et virtus sermonum, B nihil obstante tenuitate dictionis, ad fines terræ pervenire, et Christi doctrinæ non fatua solum mundi, sed et sapientes interdum subigere [70]. Videmus enim vocationem, non quod nullus sapiens secundum carnem, sed « quod non multi secundum carnem sapientes [71]. » Sed et debitor ac obligatus est Paulus prædicans Evangelium, non solum barbaris ejus sermonem tradere, sed et Græcis; nec solum imperitis, qui protinus assentiuntur, sed et peritis [72]: factus enim a Deo erat idoneus minister Novi Testamenti [73], utens demonstratione spiritus et potentiæ, ut credentium assensio non sit ab humana sapientia, sed a potestate **94** Dei. Si enim elegantiam et dictionis apparatum, ut scripta illa C quæ Græcis admirationi sunt, divinæ litteræ habuissent, existimasset aliquis non homines vicisse veritatem, sed apparentem consecutionem et dictionis splendorem audientes prolectasse, et illecebris delinitos circumvenisse.

ΕΚ ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΟΜΟΥ ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

Εἰς τὸ προοίμιον.

1. Ἐπεὶ μὴ ἀρκούμενος (35) τὸ παρὸν ἀνειληφέναι πρὸς ἡμᾶς ἔργον τῶν τοῦ Θεοῦ ἐργοδιωκτῶν (36), καὶ ἀπόντας (37) τὰ πολλά σοι σχολάζειν καὶ τῷ πρὸς σὲ καθήκοντι ἀξιοῖς, ἐγὼ, ἐκκλίνων τὸν κάματον, καὶ περιιστάμενος τὸν παρὰ Θεοῦ τῶν ἐπὶ τὸ γράφειν εἰς τὰ θεῖα ἑαυτοὺς ἐπιδεδωκότων κίνδυνον, συναγορεύσαιμι ἂν ἐμαυτῷ ἀπὸ τῆς Γραφῆς παραιτούμενος τὰ πολλὰ ποιεῖν βιβλία. Φησὶ γὰρ ἐν τῷ Ἐκκλησιαστῇ Σολομῶν· « Υἱέ μου, φύλαξαι τοῦ (38) ποιῆσαι βιβλία πολλά· οὐκ ἔστι περασμὸς, καὶ μελέτη πολλὴ κόπωσις σαρκός. » Ἡμεῖς γὰρ, εἰ μὴ ἔχει νοῦν τινα κε-

E QUINTO TOMO IN JOANNIS EVANGELIUM (34).

In præfatione.

1. Quoniam non contentus id absentis mei causa tibi operis sumpsisse, ut mihi secundum Deum monitor esses et laboris exactor, postulas etiam ut, pro meo in te officio, multa elaborem; ego laborem fugiens et eo periculo circumsessus quod a Deo imD pendet iis qui ad scribendum in divinas litteras sese contulerunt, Scripturæ patrocinio tueri me possim multos libros scribere recusans. Sic enim in Ecclesiaste Salomon [74]: « Fili mi, cave ut multos libros conscribas; non est finis, et multa meditatio carnis defatigatio est. » Nos enim, nisi sensum abs-

[68] I Cor. II, 12. [69] II Cor. IV, 7. [70] I Cor. I, 27. XII, 12. [71] ibid. 26. [72] Rom. I, 14. [73] II Cor. III, 6. [74] Eccle. XII, 12.

(33) *Εὐαγγελίου*. Codex Thuanus, εὐαγγελιστοῦ.

(34) Exstat hoc fragmentum cap. 5 *Philocaliæ*.

(35) *Ἐπεὶ μὴ ἀρκούμενος*, etc. In Petaviano *Philocaliæ* codice, quem Holmiæ vidimus, eadem hæc ad oram adtexta erant, quæ in Reg. ms. deprehendit Tarinus, ea scilicet: τὸν Ἀμβρόσιον αἰνίττεται, πρὸς ὃν πάντα τὰ ἐξηγηματικὰ σχεδὸν αὐτοῦ πεποίηται γράμματα. HUETIUS.

(36) *Ἐργοδιωκτῶν*. Luculenta id Origenis epistola declarat.

(37) *Ἀπόντας*. Alexandria enim tunc temporis aberat Ambrosius, cum hæc scriberet Origenes: sic enim ipse tomo primo *in Joann.*, num. 4, affatur Ambrosium: Ποίαν ἐχρῆν εἶναι μετὰ τὸ κατὰ τὸ σῶμα κεχωρίσθαι ἡμᾶς ἀλλήλων διαφέρουσαν (ἀπαρχὴν) ἢ τὴν περὶ Εὐαγγελίου ἐξέτασιν; HUETIUS.

(38) *Υἱέ μου, φύλαξαι τοῦ*, etc. Aliter locus hic interpungitur in vulgatis τῶν Ο' editionibus. ID.

trusum et nobis adhuc obscurum proposita illa A Salomonis habet sententia, præceptum id penitus perfregimus, qui non cavimus ne multos libros conficeremus.

Deinde, postquam dixit [Origenes] se volumina quatuor in pauca Evangelii verba absolvisse, adjungit.

2. Quantum enim ex ipsa dictione conjicere licet, duo significantur his verbis: « Fili mi, cave ut multos libros conficias; » primum quidem, non esse habendos multos libros, alterum, non esse multos componendos: et nisi primum, plane secundum; si vero secundum non primum omnino: præterquam quod utrinque doceri videmur non esse complures libros conficiendos. Poteram autem ad id quod nobis sub aciem sermonis venit, adhærescens, ad te B Scripturæ dictum excusationis loco mittere, et confirmata re ex eo quod neque sancti multorum librorum compositioni studuerint, desinere deinceps subjungere commentarios juxta fœdus inter **95** nos initum ad te transmittendos; et tu fortasse illo dicto Scripturæ commotus id mihi in posterum concessisses: sed quoniam Scripturæ cum recta mente et conscientia excutiendæ sunt, nec temere gaudendum quasi eas intelligas ex eo quod nudam dictionem perceperis, rem non prolato, nec, quæ mihi videtur suffragari, defensionem affero, qua uti contra me possis, si præter pactum aliquid fecero. Ac primum quidem, quando dictis illis historia consentire videtur, cum nemo sanctorum plures commentarios ediderit, nec multis libris sensa sua C exposuerit, de hoc disputandum est. Qui vero reprehendet quod ad plura scribenda me accingam, Moysem, talem ac tantum virum, quinque solos libros reliquisse dicet.

χρυμμένον, καὶ ἔτι ἡμῖν ἀσαφῆ ἡ λέξις ἡ προκειμένη, ἄντικρυς παραβεβήκαμεν τὴν ἐντολὴν, μὴ φυλαξάμενοι ποιῆσαι βιβλία πολλά.

Εἶτα, εἰπὼν, ὡς εἰς ὀλίγα τοῦ Εὐαγγελίου ῥητὰ τέσσαρες αὐτῷ διηνύθησαν τόμοι, ἐπιφέρει.

2. Ὅσον γὰρ ἐπὶ τῇ λέξει δύο σημαίνεται ἐκ τοῦ· « Υἱέ μου, φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά· » ἓν μὲν, ὅτι οὐ δεῖ κεκτῆσθαι βιβλία πολλά· ἕτερον δὲ, ὅτι οὐ δεῖ συντάξαι βιβλία πολλά· καὶ εἰ μὴ τὸ πρῶτον, πάντως τὸ δεύτερον· εἰ δὲ τὸ δεύτερον, οὐ πάντως τὸ πρῶτον· πλὴν ἑκατέρωθεν δόξομεν (39) μανθάνειν μὴ δεῖν ποιεῖν βιβλία πλείονα. Ἠδυνάμην δὲ, πρὸς τὸ νῦν ἡμῖν ὑποπεπτωκὸς ἱστάμενος, ἐπιστεῖλαί σοι ὡς ἀπολογίαν τὸ ῥητόν· καὶ κατασκευάσας τὸ πρᾶγμα, ἐκ τοῦ μηδὲ τοὺς ἁγίους πολλῶν βιβλίων συντάξεσιν ἐσχολακέναι, παύσασθαι πρὸς τὸ ἑξῆς τοῦ κατὰ τὰς συνθήκας ἃς ἐποιησάμεθα πρὸς ἀλλήλους ὑπαγορεύειν τὰ διαπεμφθησόμενά σοι· καὶ τάχα σὺ, πληγεὶς ὑπὸ τῆς λέξεως, πρὸς τὸ ἑξῆς ἂν ἡμῖν ξυνεχώρησας· ἀλλ' ἐπεὶ τὴν Γραφὴν (40) εὐσυνειδότως δεῖ ἐξετάζειν, μὴ προπετῶς ἑαυτῷ καταχαριζόμενον τὸ νενοηκέναι, ἐκ τοῦ ψιλὴν τὴν λέξιν ἐξειληφέναι, οὐχ ὑπομένω, μὴ τὴν φαινομένην μοι ὑπὲρ ἐμαυτοῦ ἀπολογίαν, ᾗ χρήσαιο ἂν κατ' ἐμοῦ, εἰ παρὰ τὰς συνθήκας ποιήσαιμι παρατιθείς. Καὶ πρῶτόν γε, ἐπεὶ δοκεῖ τῇ λέξει συναγορεύειν ἡ ἱστορία, οὐδενὸς τῶν ἁγίων ἐκδεδωκότος συντάξεις πλείονας, καὶ ἐν πολλαῖς βίβλοις τὸν νοῦν αὐτοῦ ἐκτιθεμένου, περὶ τούτου λεκτέον. Ὁ δὲ ἐγκαλῶν μοι εἰς σύνταξιν πλειόνων ἐρχομένῳ, τὸν τηλικοῦτον Μωϋσέα φήσει (41) πέντε μόνας βίβλους καταλελοιπέναι.

EX EODEM TOMO QUINTO COMMENTARIORUM IN JOANNEM (42).

Interprete Henrico Valesio.

3. Is vero quem Deus idoneum reddidit, qui Novi Testamenti minister esset, non litteræ et verbis tenus, sed spiritus (ipsius, Paulus scilicet, qui ab Hierosolymis et finitimis locis usque ad Illyricum Evangelium adimplevit [75], non omnibus Ecclesiis D quas docuerat scripsit, sed et iis quibus scripsit paucas admodum lineas exaravit. Petrus autem, cui tanquam fundamento superstructa est Ecclesia Christi, adversus quam nec ipsæ inferorum portæ prævaliturae sunt [76], unam duntaxat omnium consensu receptam reliquit epistolam. Concedamus

3. Ὁ δὲ ἱκανωθεὶς διάκονος γενέσθαι τῆς Καινῆς Διαθήκης, οὐ γράμματος ἀλλὰ πνεύματος, Παῦλος, ὁ πεπληρωκὼς τὸ Εὐαγγέλιον ἀπὸ Ἱερουσαλὴμ, καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ, οὐδὲ πάσαις ἔγραψεν αἷς ἐδίδαξεν Ἐκκλησίαις· ἀλλὰ καὶ αἷς ἔγραψεν, ὀλίγους στίχους ἐπέστειλε. Πέτρος δὲ ἐφ' ᾧ οἰκοδομεῖται ἡ Χριστοῦ Ἐκκλησία, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσι, μίαν ἐπιστολὴν ὁμολογουμένην καταλέλοιπεν. Ἔστω δὲ καὶ δευτέραν (43)· ἀμφιβάλλεται γάρ. Τί δεῖ περὶ τοῦ ἀναπεσόντος λέγειν ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, Ἰωάννου; Ὃς Εὐαγγέλιον ἓν καταλέλοι-

[75] Rom. XV, 19. [76] Matth. XVI, 18.

(39) Δόξομεν. Codex Thuan. δείξομεν.

(40) Τὴν Γραφήν. Thuan. codex, τῶν Γραφῶν.

(41) Τὸν τηλικοῦτον Μωϋσέα φήσει. Hoc etiam argumento, præter alia, probare possumus alterutrum e Commentariis in Job Origeni vulgo tributis supposititium esse, cum posterius a Perionio interpretatum Moysem librum Jobi scripsisse, prius vero hebraice convertisse doceat. HUETIUS.

(42) Exhibet hocce fragmentum Eusebius *Hist. eccles.* lib. VI, c. 25.

(43) Ἔστω δὲ καὶ δευτέραν, etc. Eam admittit Origenes homil. 7 *in Josue*: « Petrus etiam duabus Epistolarum suarum personat tubis. » Eusebius lib. III *Hist.*, cap. 3: Τὴν δὲ φερομένην αὐτοῦ (Πέτρου) δευτέραν οὐκ ἐνδιάθηκον μὲν εἶναι παρειλήφαμεν· ὅμως δὲ πολλοῖς χρήσιμος φανεῖσα, μετὰ τῶν ἄλλων ἐσπουδάσθη Γραφῶν. « Quæ vero secunda appellatur, eam quidem inter sacros Novi Testamenti libros positam non esse a majoribus accepimus. Sed

πεν, ὁμολογῶν δύνασθαι τοσαῦτα ποιήσειν, ἃ οὐδὲ ὁ κόσμος χωρῆσαι ἐδύνατο. Ἔγραψε δὲ καὶ τὴν Ἀποκάλυψιν, κελευσθεὶς σιωπῆσαι, καὶ μὴ γράψαι τὰς τῶν ἑπτὰ βροντῶν φωνάς. Καταλέλοιπε δὲ καὶ ἐπιστολὴν πάνυ ὀλίγων στίχων· ἔστω δὲ καὶ δευτέραν, καὶ τρίτην· ἐπεὶ οὐ πάντες φασὶ γνησίους εἶναι (44) ταύτας. Πλὴν οὐκ εἰσὶ στίχων ἀμφότεραι ἑκατόν.

A vero et secundam ejus esse : de hac enim ambigitur. Jam vero quid dicendum est de eo qui in sinu Christi recubuit [77], Joanne ? Qui quidem unum reliquit Evangelium, tametsi fateatur tot se libros scribere potuisse quot nec orbis ipse terrarum posset continere [78]. Scripsit præterea Revelationem, jussus silere, nec septem tonitruum voces perscribere [79]. Scripsit etiam epistolam admodum brevem. Sed concedamus, si placet, et secundam et tertiam ab illo scriptas esse; neque enim has genuinas illius esse omnes consentiunt. Ambæ tamen vix centum versus continent.

Εἶτα, ἀπαριθμησάμενος προφήτας καὶ ἀποστόλους, ὀλίγα ἑκάστου, ἢ οὐδὲ ὀλίγα γράψαντος, ἐπάγει.

96 *Deinde, prophetis et apostolis enumeratis, quorum singuli pauca, sed neque pauca conscripserunt, addit [Origenes.]*

Interprete Joanne Tarino.

4. Μετὰ ταῦτα ἰλιγγιῶν μοι ἐπέρχεται σκοτοδινιῶντι, μὴ ἄρα πειθαρχῶν σοι οὐκ ἐπειθάρχησα Θεῷ, οὐδὲ τοὺς ἁγίους ἐμιμησάμην· εἰ μὴ σφάλλομαι τοίνυν ἐμαυτῷ συναγορεύων διὰ τὸ πάνυ σε φιλεῖν, καὶ ἐν μηδενὶ ἐθέλειν λυπεῖν, τοιαύτας εὑρίσκω εἰς ταῦτα ἀπολογίας. Πρὸ πάντων παρεθέμεθα τὸ ἐκ τοῦ Ἐκκλησιαστοῦ λέγοντος· « Υἱέ μου, φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά. » Τούτῳ ἀντιπαραβάλλω ἐκ τῶν Παροιμιῶν τοῦ αὐτοῦ Σολομῶντος ῥητὸν, ὅ φησιν· « Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν· φειδόμενος δὲ χειλέων νοήμων ἔσῃ. » Καὶ ζητῶ εἰ τὸ ὁποιαποτοῦν λέγειν πολλὰ πολυλογεῖν ἐστι, κἂν ἅγιά τις καὶ σωτήρια λέγῃ πολλά (46). Εἰ γὰρ τοῦθ' οὕτως ἔχει, καὶ πολυλογεῖ ὁ πολλὰ διεξιὼν ὠφέλιμα, αὐτὸς « ὁ Σολομὼν » οὐκ ἐκπέφευγε τὴν ἁμαρτίαν, λαλήσας « τρεῖς χιλιάδας παραβολῶν, καὶ ᾠδὰς πεντακισχιλίας, καὶ περὶ τῶν ξύλων ἀπὸ τῆς κέδρου τῆς ἐν τῷ Λιβάνῳ, καὶ ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης διὰ τοίχου· ἔτι δὲ καὶ περὶ τῶν κτηνῶν, καὶ περὶ τῶν πετεινῶν, καὶ περὶ τῶν ἑρπετῶν, καὶ περὶ τῶν ἰχθύων. » Πῶς γὰρ δύναται διδασκαλίαν ἀνύειν τις χωρὶς τῆς ἁπλούστερον νοουμένης πολυλογίας, καὶ αὐτῆς τῆς Σοφίας φασκούσης τοῖς ἀπολλυμένοις· « Ἐξέτεινον λόγους (47), καὶ οὐ προσείχετε ; » Ὁ δὲ Παῦλος φαίνεται διατελῶν ἕωθεν μέχρι μεσονυκτίου ἐν τῷ διδάσκειν, ὅτε καὶ Εὔτυχος, καταφερόμενος ὕπνῳ, καταπεσὼν ἐτάραξε τοὺς ἀκούοντας, ὡς τεθνηκώς. Εἰ τοίνυν ἀληθὲς τό· « Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν, » ἀληθὲς δὲ καὶ τὸ μὴ ἡμαρτηκέναι πολλὰ περὶ τῶν προειρη-

B 4. (45) Hæreo deinde ac caligantibus oculis vertigine æstuo, ne tibi obtemperans non obedierim Deo, neque sanctos sim imitatus : nisi jam propter vehementiam amoris in te mei, quodque nolim molestiæ quidquam a me tibi afferri, erro ipse in hoc meæ causæ patrocinio, et hasce excusationes comminiscor. Ante omnia proposuimus id ex Ecclesiaste docente : « Fili mi, cave ut multos libros componas [80]. » Huic compono ex Proverbiis ejusdem Salomonis dictum hoc : « E multo sermone non effugies peccatum ; si parcas autem labiis, sapiens eris [81]. » Et quæro an quomodocunque multa dicere, loquacitas sit, quamvis sancta quis et salutaria dicat multa : si enim ita se res habet, et loquax est qui multa edisserit utilia, certe nec ipse « Salomon » peccatum effugit, qui « ter mille parabolas C effudit; canticorum quinque millia, et de arboribus, a cedro Libani ad hyssopum, quæ exit e pariete ; præterea et de quadrupedibus, de volucribus, de reptilibus, et de piscibus [82]. » Quomodo enim perfecte docere quis potest sine illa nude intellecta loquacitate, cum et ipsa Sapientia dicat perditis [83]: « Extendebam sermones, et non attendebatis? » Paulum autem ab ortu solis ad mediam noctem assidue docuisse planum est, cum et Eutychus urgente somno deorsum prolapsus audientes conturbavit, utpote mortuus [84]. Si enim verum est : « E multo sermone non effugies peccatum [85], » et verum est non peccasse Salomonem qui multa de supra- D dictis disseruit, neque Paulum, qui sermonem ad

[77] Joan. XXI, 20. [78] ibid. 25. [79] Apoc. X, 4. [80] Eccle. XII, 12. [81] Prov. X, 19. [82] III Reg. IV, 32, 33. [83] Prov. I, 24. [84] Act. XX, 7, 9. [85] Prov. X 19.

tamen cum utilis esse videretur quamplurimis, una cum reliquis sacræ Scripturæ libris studiose lectitata est; » et cap. 25 : Τῶν δὲ ἀντιλεγομένων, γνωρίμων δ' οὖν τοῖς πολλοῖς, ἡ λεγομένη Ἰακώβου φέρεται, καὶ ἡ Ἰούδα, ἥ τε Πέτρου δευτέρα ἐπιστολὴ, καὶ ἡ ὀνομαζομένη δευτέρα καὶ τρίτη Ἰωάννου « Ex iis vero quæ in dubium revocantur, a multis tamen commemorari videmus, est Epistola quæ dicitur Jacobi, et quæ Judæ, et secunda Petri, Joannis item altera et tertia. » HUETIUS.

(44) *Ἐπεὶ οὐ πάντες φασὶ γνησίους εἶναι.* Origenes homil. 7 *in Jos.* : « Addit nihilominus adhuc et Joannes tuba canere per Epistolas suas, » et Eusebius loco proxime laudato. ID.

(45) Ex cap. 5 *Philocaliæ.*

(46) *Κἂν ἅγιά τις καὶ σωτήρια λέγῃ πολλά.* Hæc desunt in codice Regio, sed restituuntur e codice Thuan.

(47) *Ἐξέτεινον λόγους.* Id secuti sunt Syrus et Arabs. Reliqui interpretes legerunt, χεῖρά μου, quod ad idem recidit, nam qui verba facturi erant, manu sibi audientiam faciebant. Sic Paulus Act. XIII, 16 : Κατασείσας τῇ χειρὶ εἶπεν· et Pers. satyr. 4:

Fert animus calidæ fecisse silentia turbæ
Majestate manus.....

Et Cæsar apud Luc. :

..... Tumultum
Composuit vultu dextraque silentia jussit.

Huic observationi hoc adde, significationem illam erectis primoribus digitis tribus, pollice, indice et medio, conclusis medio et auriculari fieri solit

mediam noctem produxit, quærendum est quæ sit loquacitas; inde transgressis videndum est quinam sint multi libri. Jam omnis Dei Sermo qui in principio erat apud Deum [86], non est multiloquium, non sermones; sermo enim est unus ex multis sententiis compositus, **97** quarum quælibet pars est totius sermonis. Qui vero extra hunc pollicentur se continere digressionem et expositionem quamlibet, etsi quasi de veritate sermones sint, novum ac insolens dico, nullus ipsorum sermo est, sed singuli sermones; nullibi enim unitas est, nullibi concentus et unum : sed quod distracti sint sibique pugnent, unitas illis periit, et facti sunt numeri, et fortasse numeri infiniti. Itaque congruenter his dicimus, qui a divino cultu alienum quidlibet dicit, loquacem esse; qui vero dicit quæ vera sunt, etsi omnia dixerit nihilque reliqui fecerit, unum semper dicit : neque in loquacitatis vitium incidunt sancti, qui scopum habent unius sermonis semper propositum. Si igitur multiloquium præceptis dijudicatur, non vero numero dictionum, vide an ita possimus, unum esse librum omnes sacros dicere, et multos libros, qui extra hos sunt. Sed quoniam testimonio mihi opus est a divina Scriptura, perpende num id mirifice exponere queam, ubi constituero de Christo secundum nos, non in uno scriptum esse libro, si communi sensu sacros libros intelligamus; scriptum est enim in quinque libris Moysis, dictum est in singulis prophetis, in Psalmis, et omnino, ut ipse Servator ait, in cunctis Scripturis, ad quas remittens nos, dicit [87] : « Scrutamini Scripturas, quia vos putatis in ipsis vitam æternam habere. Et illæ sunt quæ testimonium perhibent de me. » Si nos igitur remittit ad Scripturas tanquam de se testimonium perhibentes, non ad hanc nos mittit, ad illam non item, sed ad omnes quæ de ipso pronuntiant, quas in Psalmis caput libri appellat, dicens [88] : « In capite libri scriptum est de me. » Qui enim hoc nude velit accipere : « In capite libri scriptum est de me, » de uno aliquo eorum qui id quod ad ipsum pertinet continent, declaret qua ratione hunc librum alteri anteponit. Sed ne quis existimet nos dictum illud ad librum Psalmorum referre, respondendum est illi, dici oportuisse : « In hoc libro scriptum est de me. » Nunc autem vocat omnia unum caput, quod in unum caput colligatur qui de ipso ad nos sermo pervenit. Quid? vidisse [89] Joannem librum scriptum intus et foris, et obsignatum, quem nemo poterat legere, neque solvere signacula ejus, nisi leo de tribu Juda, radix David, « qui habet clavim

A μένων τὸν Σολομῶντα ἀπαγγείλαντα, μηδὲ τὸν Παῦλον παρατείναντα μέχρι μεσονυκτίου· ζητητέον τίς ἡ πολυλογία, κἀκεῖθεν μεταβατέον ἐπὶ τὸ ἰδεῖν τίνα τὰ πολλὰ βιβλία. Ὁ πᾶς δὴ τοῦ Θεοῦ Λόγος (48), ὁ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, οὐ πολυλογία ἐστὶν, οὐ λόγοι· λόγος γὰρ εἷς συνεστὼς ἐκ πλειόνων θεωρημάτων, ὧν ἕκαστον θεώρημα μέρος ἐστὶ τοῦ ὅλου λόγου. Οἱ δὲ ἔξω τούτου ἐπαγγελλόμενοι περιέχειν διέξοδον καὶ ἀπαγγελίαν ὁποίαν δήποτε, εἰ καὶ ὡς περὶ ἀληθείας εἰσὶ λόγοι, καὶ παραδοξότερόν γε ἐρῶ, οὐδεὶς αὐτῶν λόγος, ἀλλ' ἕκαστοι λόγοι. Οὐδαμοῦ γὰρ ἡ μονὰς, καὶ οὐδαμοῦ τὸ σύμφωνον, καὶ ἕν· ἀλλὰ παρὰ τὸ διεσπᾶσθαι καὶ μάχεσθαι τὸ ἓν ἀπ' ἐκείνων ἀπώλετο, καὶ γεγόνασιν ἀριθμοὶ, καὶ τάχα ἀριθμοὶ ἄπειροι. Ὥστε κατὰ τοῦτ' ἂν ἡμᾶς εἰπεῖν, ὅτι ὁ φθεγγόμενος ὁ δήποτε τῆς θεοσεβείας ἀλλότριον πολυλογεῖ· ὁ δὲ λέγων τὰ τῆς ἀληθείας, κἂν εἴπῃ τὰ πάντα
B ὡς μηδὲν παραλιπεῖν, ἕνα ἀεὶ λέγει λόγον· καὶ οὐ πολυλογοῦσιν οἱ ἅγιοι τοῦ σκοποῦ τοῦ κατὰ τὸν ἕνα ἐχόμενοι λόγον. Εἰ τοίνυν ἡ πολυλογία ἐκ τῶν δογμάτων κρίνεται, καὶ οὐχ ἐκ τῆς τῶν πολλῶν λέξεων ἀπαγγελίας, ὅρα εἰ οὕτω δυνάμεθα ἓν βιβλίον τὰ πάντα ἅγια εἰπεῖν, πολλὰ δὲ τὰ ἔξω τούτων. Ἀλλ' ἐπεὶ μαρτυρίου μοι δεῖ τοῦ ἀπὸ τῆς θείας Γραφῆς, ἐπίσχεψαι εἰ πληκτικώτατα δύναμαι τοῦτο παραστῆσαι, κατασκευάσας, ὅτι περὶ Χριστοῦ καθ' ἡμᾶς οὐχ ἐν ἑνὶ γέγραπται βιβλίῳ κοινότερον ἡμῶν τὰ βιβλία νοούντων. Γέγραπται γὰρ καὶ ἐν τῇ Πεντατεύχῳ· εἴρηται δὲ καὶ ἐν ἑκάστῳ τῶν προφητῶν, καὶ ἐν τοῖς Ψαλμοῖς, καὶ ἁπαξαπλῶς, ὥς φησιν αὐτὸς ὁ Σωτὴρ,
C ἐν πάσαις ταῖς Γραφαῖς, ἐφ' ἃς ἀναπέμπων ἡμᾶς φησιν· « Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν. Καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. » Εἰ τοίνυν ἀναπέμπει ἡμᾶς ἐπὶ τὰς Γραφὰς ὡς μαρτυρούσας περὶ αὐτοῦ, οὐχ ἐπὶ τήνδε μὲν πέμπει, ἐπὶ τήνδε δὲ οὔ· ἀλλ' ἐπὶ πάσας τὰς ἀπαγγελλούσας περὶ αὐτοῦ ἅστινας ἐν τοῖς Ψαλμοῖς κεφαλίδα ὀνομάζει βιβλίου λέγων· « Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ. » Ὁ γὰρ ἁπλῶς θέλων ἐκλαβεῖν τό· « Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, » ἐπὶ οἱου δήποτε ἑνὸς τῶν περιεχόντων τὰ περὶ αὐτοῦ (49), ἀπαγγελλέτω τίνι λόγῳ τήνδε τὴν βίβλον ἑτέρας προκρίνει. Ἵνα γὰρ μὴ ὑπολαμβάνῃ τις ἐπ' αὐτὴν τὴν τῶν Ψαλμῶν βίβλον ἀναφέρειν ἡμᾶς τὸν λόγον, λεκτέον πρὸς αὐ-
D τὸν, ὅτι ἐχρῆν εἰρῆσθαι· « Ἐν ταύτῃ τῇ βίβλῳ γέγραπται περὶ ἐμοῦ. » Νῦν δέ φησι πάντα μίαν κεφαλίδα, τῷ ἀνακεφαλαιοῦσθαι· τὸν περὶ αὐτοῦ εἰς ἡμᾶς ἐληλυθότα λόγον εἰς ἕν. Τί δέ; καὶ τὸ βιβλίον ἑωρᾶσθαι γεγραμμένον ὑπὸ τοῦ Ἰωάννου ἔμπροσθεν

[86] Joan. I, 1. [87] ibid. V, 39. [88] Psal. XXXIX, 8. [89] Apoc. V, 1, 4.

Hoc gestu cum populum alloquerentur episcopi, eodem ipsi benedicebant e salutatorio, qui mos ad hæc tempora deductus est. HUETIUS.

(48) *Ὁ πᾶς δὴ τοῦ Θεοῦ Λόγος*, etc. Eadem habebat Petavianus ille codex Holmiensis, quæ repræsentavit Tarinus, ea nimirum : Λόγον ἐνταῦθα τοῦ Θεοῦ οὐ τὸν οὐσιώδη νοήσεις, (ἀμερὴς γὰρ ἐκεῖνος, ἣ Θεός·) ἀλλὰ τὸν περὶ αὐτοῦ Λόγον ἐκ ποικίλων θεωρημάτων συγκείμενον, ὃ καὶ αὐτὸς τῷ πρώτῳ ὁμωνύμως (Petav. *ὁμώνυμος*) ἐν ἀρχῇ πρὸς τὸν Θεὸν λέγεται. Eadem quoque ad oram suæ interpretationis Genebrardus exhibuit Latine ita conversa : « Verbum hic Dei essentiale ne intelligas (expers enim partium est, tanquam Deus), sed Verbum quod de ipso exsistit e variis contemplationibus compositum, quod etiam cum priore illo nomine communicans, in principio apud Deum fuisse dicitur. » ID.

(49) *Τὰ περὶ αὐτοῦ*. Hæc desunt in vulgato *Philocaliæ* textu, sed restituuntur e mss.

καὶ ὄπισθεν, καὶ κατεσφραγισμένον, ὅπερ οὐδεὶς ἠδύνατο ἀναγνῶναι, καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ, εἰ μὴ ὁ λέων ὁ ἐκ τῆς φυλῆς τοῦ Ἰούδα, ἡ ῥίζα Δαυΐδ, « ὁ ἔχων τὴν κλεῖν τοῦ Δαυΐδ, καὶ ἀνοίγων, καὶ οὐδεὶς κλείσει, καὶ κλείων, καὶ οὐδεὶς ἀνοίξει; » Ἡ γὰρ πᾶσα Γραφή ἐστιν ἡ δηλουμένη διὰ τῆς βίβλου, ἔμπροσθεν μὲν γεγραμμένη διὰ τὴν πρόχειρον αὐτῆς ἐκδοχὴν, ὄπισθεν δὲ διὰ τὴν ἀνακεχωρηκυῖαν καὶ πνευματικήν. Παρατηρητέον πρὸς τούτοις, εἰ δύναται ἀποδεικτικὸν τοῦ τὰ ἅγια μίαν τυγχάνειν βίβλον, τὰ δὲ ἐναντίως ἔχοντα πολλὰς, τὸ ἐπὶ μὲν τῶν ζώντων, μίαν εἶναι τὴν βίβλον, ἀφ' ἧς ἀπαλείφονται οἱ ἀνάξιοι αὐτῆς γεγενημένοι (50), ὡς γέγραπται· « Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων· » ἐπὶ δὲ τῶν κρίσει ὑποκειμένων βίβλους φέρεσθαι· φησὶ γὰρ ὁ Δανιήλ· « Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. » Τῷ δὲ ἑνικῷ τῆς θείας βίβλου καὶ Μωϋσῆς μαρτυρεῖ λέγων· « Εἰ μὲν ἀφῇς τῷ λαῷ τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου, ἧς ἔγραψας. » Ἐγὼ καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ οὕτως ἐκλαμβάνω. Οὐ γὰρ ἴδιον τῆς τούτου προφητείας τὸ εἶναι τοὺς λόγους τοῦ βιβλίου ἐσφραγισμένους, μήτε ὑπὸ τοῦ μὴ ἐπισταμένου γράμματα ἀναγινωσκομένους, διὰ τὸ μὴ εἰδέναι αὐτὸν γράμματα, μήτε ὑπὸ τοῦ ἐπισταμένου, διὰ τὸ ἐσφραγίσθαι τὴν βίβλον. Ἀλλὰ τοῦτο ἐπὶ πάσης Γραφῆς ἀληθεύεται δεομένης τοῦ κλείσαντος λόγου ἀνοίξοντος· οὗτος γὰρ « κλείσει καὶ οὐδεὶς ἀνοίξει· » καὶ ἐπὰν ἀνοίξῃ (51), οὐκέτι οὐδεὶς ἀπορίαν δύναται τῇ ἀπ' αὐτοῦ σαφηνείᾳ προσενεγκεῖν. Διὰ τοῦτο λέγεται, ὅτι « ἀνοίξει, καὶ οὐδεὶς κλείσει. » Τὸ παραπλήσιον δὲ καὶ ἐπὶ τῆς εἰρημένης βίβλου παρὰ τῷ Ἰεζεκιὴλ ἐκλαμβάνω, ἐν ᾗ « ἐγέγραπτο θρῆνος, καὶ μέλος, καὶ οὐαί. » Πᾶσα γὰρ βίβλος περιέχει τὸ τῶν ἀπολλυμένων οὐαὶ, καὶ τὸ περὶ τῶν σωζομένων μέλος, καὶ τὸν περὶ τῶν μεταξὺ θρῆνον. Ἀλλὰ καὶ ὁ ἐσθίων Ἰωάννης μίαν κεφαλίδα, ἐν ᾗ γέγραπται τὰ ἔμπροσθεν καὶ τὰ ὄπισθεν, τὴν πᾶσαν νενόηκε Γραφὴν, ὡς βίβλον μίαν ἡδίστην, κατὰ τὰς ἀρχὰς νοουμένην, ὅτε τις αὐτὴν μασᾶται, πικρὰν δὲ τῇ ἑκάστου τῶν ἐγνωκότων συναισθήσει τῇ περὶ ἑαυτοῦ ἀναφαινομένην. Ἔτι προσθήσω εἰς τὴν τούτου ἀπόδειξιν ῥητὸν ἀποστολικὸν μὴ νενοημένον ὑπὸ τῶν τοῦ Μαρκίωνος, καὶ διὰ τοῦτο ἀθετούντων τὰ Εὐαγγέλια (52)· τὸ γὰρ τὸν Ἀπόστολον λέγειν· « Κατὰ τὸ Εὐαγγέλιόν μου ἐν Χριστῷ Ἰησοῦ, » καὶ μὴ φάσκειν Εὐαγγέλια, ἐκεῖνοι ἐφιστάντες φασὶν, οὐκ ἂν πλειόνων ὄντων Εὐαγγελίων, τὸν Ἀπόστολον ἑνικῶς τὸ Εὐαγγέλιον εἰρηκέναι· οὐ συνιέντες, ὅτι ὡς εἷς ἐστιν ὃν εὐαγγελίζονται πλείονες, οὕτως ἕν ἐστι τῇ δυνάμει τὸ ὑπὸ τῶν πολλῶν Εὐαγγέλιον ἀναγεγραμμένον· καὶ τὸ ἀληθῶς διὰ τεσσάρων ἕν ἐστιν Εὐαγγέλιον. Εἰ τοίνυν ταῦτα πεῖσαι ἡμᾶς (53) δύναται τί ποτέ ἐστι τὸ ἓν βιβλίον, καὶ τί τὰ πολλὰ, νῦν μᾶλλον φροντίζω οὐ διὰ τὸ πλῆθος τῶν γραφο-

A David, qui aperit, et nemo claudet; qui claudit, et nemo aperiet [90]? » Universa enim Scriptura **98** est, quæ libro illo significatur: anterius quidem scripta, propter facilem illius expositionem; posterius vero, propter remotiorem, et qui a Spiritu est, sensum. Observandum est præterea, si sanctos codices unum esse librum, qui vero his adversantur, multos, demonstrari potest, eo quod viventium unus sit liber, ex quo delentur qui indigni ipso facti sunt, ut scriptum est [91]: « Deleantur de libro viventium; » de his vero qui judicio subjiciuntur, non liber, sed libri dicuntur; ait enim Daniel [92]: « Judicium consedit, et libri aperti sunt. » Unitati etiam divini libri testimonium ascribit Moyses dicens [93]: « Si quidem dimittis populo peccatum, B dimitte; si non dimiseris, dele me ex libro tuo, quem scripsisti. » Et illud apud Isaiam sic interpretor [94]. Non enim proprium est hujus prophetiæ ut sint sermones libri obsignati, et non legantur ab eo qui nescit litteras, quia is nescit litteras, neque ab eo qui scit, quia obsignatus est liber. Sed id verum est in universa Scriptura, quæ indiget verbo Dei, quod clausit ut aperiat; hoc enim « claudet, et nemo aperiet [95]; » et cum aperuerit, nemo deinde potest dubitationem ad ipsius expositionem afferre. Ob eam rem dicitur: « aperiet, et nemo claudet [96]. » Simile quid de libro qui est apud Ezechielem, accipio, in quo « scripta erat lamentatio, et modulatio, et væ [97]. » Omnis enim liber continet C væ iis qui pereunt, et canticum de iis qui servantur, et de iis qui intermedii sunt, lamentationem. Sed Joannes, qui caput unum devoravit, cujus anteriora, et posteriora perscripta erant [98], Scripturam omnem intelligit, ut librum unum suavissimum, quamprimum percipitur, cum quis eum veluti mandit, acerbum vero uniuscujusque eorum qui perceperunt sensui ac conscientiæ, quæ ipsum prodit. Addam præterea ad ejus rei firmamentum, dictum Apostoli nusquam intellectum ab iis qui Marcionem assectantur, qui proinde Evangelia aspernantur et improbant; quod enim ait Apostolus [99]: « Secundum Evangelium meum in Christo Jesu, » nec dicit Evangelia, illi huic dicto imminentes asserunt, eo quod non plura sint Evangelia, D Apostolum numero unitatis Evangelium dixisse; ob idque non intelligentes quemadmodum unus est, quem plures prædicant, sic unum esse virtute, quod a multis scriptum est Evangelium. Et revera quod per quatuor scriptum est, unum est Evangelium. Quare si hæc fidem facere apud nos possunt, quid sit unus liber, et quid multi, nunc magis sum sollicitus, non quidem propter multitudinem scriptorum, **99** sed propter vim intellectorum, ne forsan

[90] Apoc. III, 7. [91] Psal. LXVIII, 29. [92] Cap. VII, vers. 10. [93] Exod. XXXII, 32. [94] Isa. XXIX, 11, 12. [95] ibid. XXII, 22. [96] ibid. [97] Ezech. II, 9. [98] Apoc. X, 9, 10. [99] Rom. II, 16.

(50) *Γεγενημένοι*. Ita codex Thuanus; Regius, γενόμενοι.

(51) *Ἀνοίξῃ*. Ita mss. Tarinus vero in textu, ἀνοίξει.

(52) *Ἀθετούντων τὰ Εὐαγγέλια*. Non omnia, sed Matthæi, Marci et Joannis. Lucæ autem Evangelium admittebant quidem, sed ita ut a dictatore suo Marcione interpolatum fuerat. Epiphanius hæres. XLII, cap. 9, 10. HUETIUS.

(53) *Ἡμᾶς*. Ita mss. Tarinus in textu, ὑμᾶς.

eo prolabar ut mandatum transiliam, si quid præter veritatem tanquam veritatem exponam, vel in uno meorum commentariorum. Tum enim fuero multorum librorum scriptor; cumque nunc specie ac prætextu cognitionis alienarum opinionum assecla in sanctam Dei Ecclesiam insurgant, et multorum librorum compositiones divulgent, quibus evangelicarum et apostolicarum constitutionum expositionem pollicentur; si jam sileamus, nec illis salutaria et vera documenta apponamus, avidas et jejunas animas cibi inopia expugnabunt, ad vetitas et omnino impuras abominandasque escas festinantes. Quare necesse mihi videtur esse, eum qui sine fraude ac prævaricatione potest pro ecclesiastico sermone oratorem se interponere, et eos confutare qui falsam sibi cognitionem assumunt, stare adversus hæretica commenta, et excelsitatem evangelici præconii illis opponere, in quo est plenissima consensio communis doctrinæ, Veteris, quod vocant, cum Novo Testamento. Tuque ipse adeo eorum penuria qui meliora assererent, cum rationi pugnantem et absurdam fidem, quæ tua erat in Jesum pietas, minime ferre posses, iis te olim sermonibus tradideras, quibus postea, usus ea, ut decebat, quæ data tibi est, prudentia, damnatis discessisti. Hæc autem dico ad eorum qui et dicere et scribere possunt, quatenus mihi apparet, defensionem. Sed et meam ipsius causam dico, qui non eo instructu et habitu, quo esse oportet eum, qui a Deo sit idoneus factus Novi Testamenti administer, non litteræ, sed spiritus [90], audacius me ad dicendum projiciam.

μένων, ἀλλὰ διὰ τὴν δύναμιν τῶν νοουμένων, μήποτε περιπέσω τῷ παραβαίνειν τὴν ἐντολὴν, ἐάν τι παρὰ τὴν ἀλήθειαν ὡς ἀλήθειαν ἐκθῶμαι, κἂν ἐν ἑνὶ τῶν γραφομένων. Ἐκεῖ γὰρ ἔσομαι γράψας βιβλία πολλά· καὶ νῦν δὲ προφάσει γνώσεως ἐπανισταμένων τῶν ἑτεροδόξων τῇ ἁγίᾳ τοῦ Θεοῦ (54) Ἐκκλησίᾳ, καὶ πολυβίβλους συντάξεις φερόντων, ἐπαγγελλομένας διήγησιν τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν διατάξεων, ἐὰν σιωπήσωμεν μὴ παρατιθέντες αὐτοῖς τὰ ὑγιῆ καὶ ἀληθῆ δόγματα, ἐπικρατήσουσι τῶν λίχνων ψυχῶν ἀπορίᾳ τροφῆς σωτηρίου, ἐπὶ τὰ ἀπηγορευμένα σπευδουσῶν, καὶ ἀληθῶς ἀκάθαρτα καὶ βδελυκτὰ βρώματα (55). Διόπερ ἀναγκαῖόν μοι δοκεῖ εἶναι τὸν δυνάμενον πρεσβεύειν ὑπὲρ τοῦ ἐκκλησιαστικοῦ λόγου ἀπαραχαράκτως, καὶ ἐλέγχειν τοὺς τὴν ψευδώνυμον γνῶσιν μεταχειριζομένους, ἵστασθαι κατὰ τῶν αἱρετικῶν ἀναπλασμάτων ἀντιπαραβάλλοντα τὸ ὕψος τοῦ εὐαγγελικοῦ κηρύγματος, πεπληρωμένον (56) συμφωνίας δογμάτων κοινῶν τῇ καλουμένῃ Παλαιᾷ πρὸς τὴν ὀνομαζομένην Καινὴν Διαθήκην. Αὐτὸς γοῦν ἀπορίᾳ (57) τῶν πρεσβευόντων τὰ κρείττονα, μὴ φέρων τὴν ἄλογον καὶ ἰδιωτικὴν πίστιν διὰ τὴν πρὸς τὸν Ἰησοῦν ἀγάπην, ἐπεδεδώκεις ποτὲ σαυτὸν λόγοις, ὧν ὕστερον, τῇ δεδομένῃ σοι συνέσει καταχρησάμενος εἰς δέον, καταγνοὺς ἀπέστης. Ταῦτα δέ φημι κατὰ τὸ φαινόμενόν μοι ἀπολογούμενος περὶ τῶν δυναμένων λέγειν καὶ γράφειν. Περὶ δὲ ἐμαυτοῦ ἀπολογούμενος, μὴ ἄρα οὐ τοιαύτης ὢν ἕξεως ὁποίαν ἐχρῆν τὸν παρὰ Θεοῦ ἱκανούμενον διάκονον τῆς Καινῆς Διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος, τολμηρότερον ἐμαυτὸν τῷ ὑπαγορεύειν ἐπιδίδωμι.

EX EODEM TOMO V, APUD PAMPHILUM MARTYREM IN *APOLOGIA PRO ORIGENE*.

Unigenitus Filius Salvator noster, qui solus ex Patre natus est, solus natura et non adoptione Filius est.

« Item in eodem libro. »

Unus ergo est verus Deus, « qui solus habet immortalitatem, lucem habitat inaccessibilem [91]. » Unus et verus Deus, ne scilicet multis veri Dei nomen convenire credamus. Ita ergo et hi qui accipiunt « spiritum adoptionis filiorum, in quo clamamus: Abba Pater [92], » filii quidem Dei sunt, sed non sicut unigenitus Filius. Unigenitus enim natura Filius, et semper et inseparabiliter Filius est; cæteri vero pro eo quod susceperunt in se Filium Dei, potestatem acceperunt filii Dei fieri. « Qui » licet « non ex sanguinibus, neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo nati » sint [93], non tamen ea nativitate sunt nati qua natus est unigenitus Filius. Propter quod quantam differentiam verus Deus habet ad eos, quibus dicitur: « Ego dixi, Dii estis [94]: » tantam differentiam habet verus Filius ad eos qui audiunt: « Filii Excelsi omnes [95]. »

[90] II Cor. III, 6. [91] I Tim. VI, 16. [92] Rom. VIII, 15. [93] Joan. I, 12. [94] Psal. LXXXI, 6. [95] ibid.

(54) *Θεοῦ*. Ita mss. Tarinus, Χριστοῦ.
(55) *Βρώματα*. Forte legendum, δόγματα.
(56) *Πεπληρωμένον*. Sic mss. Tarinus πεπληρωμένου.

(57) *Αὐτὸς γοῦν ἀπορίᾳ*, etc. Ambrosium alloquitur, qui cum Valentiniana hæresi esset infectus, virus illud Origenis cura evomuit, et saniorem doctrinam amplexus est. HUETIUS.

ΩΡΙΓΕΝΟΥΣ

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ.

ΤΟΜΟΣ ϛ'.

—

ORIGENIS

COMMENTARIORUM IN EVANGELIUM SECUNDUM JOANNEM

TOMUS VI.

INTERPRETE AMBROSIO FERRARIO.

100 ΠΡΟΟΙΜΙΟΝ. A

1. Πᾶσα μὲν οἰκία, ὡς ἔνι μάλιστα στεῤῥότατα κατασκευασθησομένη, ἐν εὐδίᾳ καὶ νηνεμίᾳ οἰκοδομεῖται, ἵνα μὴ ἐμποδίζηται τὴν δέουσαν πῆξιν ἀναλαβεῖν· ὅπως δύνηται καὶ τοιαύτη γενέσθαι, ὥστε ὑπομεῖναι πλημμύρας ὁρμὴν, καὶ πρόσρηξιν ποταμοῦ, καὶ ὅσα φιλεῖ, χειμῶνος συμβαίνοντος, ἐλέγχειν μὲν τὰ σαθρὰ τῶν οἰκοδομημάτων, δεικνύναι δὲ τὰ τὴν οἰκείαν ἀρετὴν ἀπειληφότα τῶν κατασκευασμάτων. Ἐξαιρέτως δὲ ἡ τῶν τῆς ἀληθείας θεωρημάτων δεκτικὴ, λογικὴ ὡς ἐν ἐπαγγελίᾳ ἢ γράμμασιν οἰκοδομὴ, τότε μάλιστα οἰκοδομεῖται, καλῶς συνοικοδομοῦντος τῷ προθεμένῳ τὸ ἄριστον τοῦτο ἔργον ἐπιτελεῖν τοῦ Θεοῦ, ἐπὰν γαληνιάζῃ τῇ ὑπερεχούσῃ πάντα νοῦν εἰρήνῃ χρωμένη ἡ ψυχὴ, πάσης ταραχῆς ἀλλοτριουμένη, καὶ οὐδαμῶς κυματουμένη. Ταῦτα B δή μοι δοκοῦσιν ἀκριβῶς κατανενοηκότες οἱ τοῦ προφητικοῦ πνεύματος ὑπηρέται, καὶ οἱ τοῦ εὐαγγελικοῦ κηρύγματος διάκονοι ἀξίους ἑαυτοὺς παρειληφέναι τοῦ λαβεῖν τὴν ἐν κρυπτῷ εἰρήνην ἀπὸ τοῦ αἰεὶ τοῖς ἀξίοις διδόντος αὐτὴν, τοῦ εἰρηκότος· « Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν εἰρήνην, κἀγὼ δίδωμι ὑμῖν. » Ἐπισκόπησον δὴ μήποτε τοιοῦτόν τι αἰνίττεται περὶ τὸν Δαυῒδ καὶ Σολομῶντα ἡ περὶ τοῦ ναοῦ ἱστορία. Δαυῒδ μὲν γὰρ, πολέμους Κυρίου πολεμῶν, καὶ πρὸς πλείονας ἱστάμενος ἐχθροὺς ἑαυτοῦ καὶ τοῦ Ἰσραὴλ, θέλων οἰκοδομῆσαι ναὸν τῷ Θεῷ, ὑπὸ Θεοῦ διὰ τοῦ Νάθαν κωλύεται, λέγοντος πρὸς αὐτόν· « Οὐκ οἰκοδομήσεις μοι οἶκον, ὅτι ἀνὴρ αἱμάτων σύ. » Σολομὼν δὲ ὄναρ τὸν Θεὸν ἰδὼν, καὶ ὄναρ τὴν σοφίαν C λαβὼν, (ἐτηρεῖτο γὰρ τὸ ὕπαρ τῷ λέγοντι· « Ἰδοὺ πλεῖον Σολομῶντος ὧδε· ») ἐν βαθυτάτῃ γενόμενος εἰρήνῃ, ὡς ἀναπαύεσθαι τότε ἕκαστον ὑποκάτω τῆς ἀμπέλου αὐτοῦ, καὶ ὑποκάτω τῆς συκῆς αὐτοῦ, καὶ

100 PRÆFATIO.

1. Omnis quidem domus, quæ, quantum fieri potest, firmissime construenda est, sereno tempore et tranquillo ædificatur; ne impediatur decentem recipere stabilitatem; ut talis esse possit quæ sustineat impetum exundationis, et allisionem fluvii, et quæcunque solent, si contingat tempestas, quænam ædificia putrida ac debilia, atque quæ firma et stabilia propriam virtutem receperint, declarare. Præcipue vero ædificium rationis compos, constans veluti in promissione, et litteris, contemplationum veritatis capax, potissimum tum probe ædificatur (58), [Deo, una cum eo, qui optimum præstantissimumque hoc opus perficere constituit, ædificante:] cum anima pace illa quæ omnem intelligentiam superat utens, summa tranquillitate potitur, ab omni tumultu liberata et nullis undarum procellis agitata. Hæc igitur accurate cum perspexissent, et prophetici spiritus interpretes et evangelicæ prædicationis ministri, mihi videntur seipsos dignos exhibuisse qui acciperent pacem interiorem ab eo qui eam dignis semper exhibet, quique dixit [96]: « Pacem relinquo vobis, pacem meam do vobis: non quomodo mundus dat pacem, ego do vobis pacem. » Proinde inspice num quando tale quid innuat historia Davidis et Salomonis de templo. David siquidem hostes Domini debellans, et contra plures instans sui ipsius et Israelis inimicos, volens ædificare templum Deo, a Deo per Nathan prohibetur dicente: « Non ædificabis mihi domum, quia vir sanguinum es tu [97]: » Salomon autem, qui Deum per somnium conspexit [98], quique etiam sapientiam per somnium cepit [99] (servabatur enim revera dicenti: « Ecce plus quam Salomon hoc in loco [1] ») in altissima pace exsistens, ita ut unusquisque sub sua vite, et sub sua ficu re-

[96] Joan. xiv, 27. [97] I Paral. xxii, 8, 9; xxviii, 3. [98] II Paral. i, 7. [99] ibid. 10, 12. [1] Matth. xii, 42; Luc. xi, 31.

(58) Hæc a Ferrario prætermissa, ex interpretatione Perionii supplevimus.

quiesceret [a], cognomen ejus pacis habens quæ **101** suo tempore contigerat [b] (nam Salomon interpretatur *pacificus*), propter pacem, vacat ad ædificandum Deo celeberrimum templum. Quin Esdræ tempore [c], cum vinum et inimicum regem ac denique mulieres vincit veritas, reædificatur templum Deo. Hæc a nobis sunt tibi dicta, o sacer Ambrosi, pro defensione nostra: quoniam turrim evangelicam [d] ex sancto hortatu tuo volentes litteris ædificare, supputavimus quidem sedentes sumptum an habeamus ad ea quibus opus est ad perficiendum; ne illudamur reprehensi ab intuentibus, tanquam qui fundamentum quidem jecerimus, perficere vero opus nequiverimus. Cæterum, supputatione facta, cum deprehendissemus, perficiendæ fabricæ, ea quæ paraveramus, non sufficere, id totum Deo commisimus ditanti in omni sermone et cognitione, credentes quod nos ipsos leges servare spirituales conantes ditabit, et quod progredientes in structura, adjuti his quæ ipse suppeditaverit, ad ædificii etiam coronam perveniemus: quæ eum qui ascenderit ad domum sermonis, cadere prohibet, cum ab his tantum domibus quæ corona carent, cadant ii qui caduut, propter imperfectionem ædificiorum, quæ cædes et casus causantur his qui in eodem sunt loco. Jam ad quintum usque tomum, quamvis adversari nobis videretur Alexandriæ procella, quæ concessa fuere, locuti sumus, Jesu increpante ventos et undas maris. Ex hoc casu progressi, extracti sumus ex Ægypto, Deo nos liberante, qui eduxit populum suum ex ea; deinde inimico adversus nos acerbissime pugnante per suas novas litteras, revera Evangelio inimicas, omnesque Ægypti ventos adversus nos concitante, stare me magis adhortabatur ratio ad certamen, et servare præstantissimam mei partem, quam importune conjungere restantem Scripturam, antequam rationis discursus tranquillitatem reciperet, ne forte cogitationes pravæ invalescerent in animam etiam meam procellam inducere. Quin absentes quoque, qui mihi de more adsunt, veloces scriptores, me prohibebant, quæ excogitas-

A τῆς κατὰ τοὺς χρόνους αὐτοῦ εἰρήνης ἐπώνυμος τυγχάνων· (Σολομὼν γὰρ ἑρμηνεύεται *εἰρηνικός*·) διὰ τὴν εἰρήνην σχολάζει τὸν διαβόητον οἰκοδομῆσαι ναὸν τῷ Θεῷ. Καὶ κατὰ τοὺς Ἔσδρα χρόνους (59), ὅτε νικᾷ ἡ ἀλήθεια τὸν οἶνον, καὶ τὸν ἐχθρὸν βασιλέα, καὶ τὰς γυναῖκας, ἀνοικοδομεῖται ὁ ναὸς τῷ Θεῷ. Ταῦτα δ' ἡμῖν ἀπολογουμένοις πρὸς σὲ, ἱερὲ Ἀμβρόσιε, εἴρηται ἐπεὶ, τὸν εὐαγγελικὸν πύργον κατὰ τὴν ἁγίαν σου προτροπὴν ἐν γράμμασιν οἰκοδομῆσαι θελήσαντες, ἐψηφίσαμεν μὲν καθεσθέντες (60) τὴν δαπάνην, εἰ ἔχομεν τὰ πρὸς ἀπαρτισμὸν, ἵνα μὴ ἐμποδιζώμεθα (61) ὑπὸ τῶν θεωρούντων, καταβαλλόμενοι, ἐκτελέσαι δὲ τὸ ἔργον μὴ δεδυνημένοι. Ψηφίσαντες δὲ ἕτοιμα μὲν τὰ εἰς ἀπαρτισμὸν τῆς οἰκοδομῆς ἡμῖν παρόντα, οὐ κατειλήφαμεν, τῷ Θεῷ δὲ πε-
B πιστεύκαμεν τῷ πλουτίζοντι ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, ὅτι ἀγωνιζομένους ἡμᾶς αὐτοὺς τηρεῖν τοὺς πνευματικοὺς νόμους πλουτίζει, καὶ ἐκ τῶν ἐπιχορηγουμένων ὑπ' αὐτοῦ προκόπτοντες ἐν τῷ οἰκοδομεῖν, φθάσομεν καὶ ἐπὶ τὴν στεφάνην τοῦ οἰκοδομήματος, κωλύουσαν πίπτειν τὸν ἀνεληλυθότα ἐπὶ τὸ δῶμα τοῦ λόγου, ἀπὸ μόνων τῶν ἐστερημένων τῆς στεφάνης πιπτόντων τῶν πιπτόντων διὰ τὸ ἀτελὲς τῶν οἰκοδομημάτων, φόνων αἰτίων τοῖς ἐν αὐτῷ τυγχάνουσι, καὶ πτωμάτων γινομένων. Καὶ μέχρι γε τοῦ πέμπτου τόμου (62), εἰ καὶ ὁ κατὰ τὴν Ἀλεξάνδρειαν χειμὼν (63) ἀντιπράττειν ἐδόκει, τὰ διδόμενα ὑπηγορεύσαμεν, ἐπιτιμῶντος τοῖς ἀνέμοις καὶ τοῖς κύμασι τῆς θαλάσσης τοῦ Ἰησοῦ. Καὶ ἐκ τοῦδε ἐπιπε-
C σόντος (64) προεληλυθότες, ἐξελκύσθημεν ἀπὸ τῆς Αἰγύπτου, ῥυσαμένου ἡμᾶς τοῦ Θεοῦ τοῦ ἐξαγαγόντος τὸν λαὸν αὐτοῦ ἀπ' αὐτῆς· ἔπειτα τοῦ ἐχθροῦ (65) πικρότατα ἡμῶν καταστρατευσαμένου διὰ τῶν καινῶν αὐτοῦ γραμμάτων, τῶν ἀληθῶς ἐχθρῶν τῷ Εὐαγγελίῳ, καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ ἀνέμους τῆς πονηρίας καθ' ἡμῶν ἐγείραντος, στῆναι μᾶλλόν με πρὸς τὸν ἀγῶνα παρεκάλει ὁ λόγος, καὶ τηρῆσαι τὸ ἡγεμονικὸν, μήποτε μοχθηροὶ λογισμοὶ ἐξισχύσωσι τὸν χειμῶνα καὶ τῇ ψυχῇ μου ἐπεισαγαγεῖν, ἤπερ ἀκαίρως πρὶν γαλήνην τὴν διάνοιαν λαβεῖν συνάπτειν τὰ ἑξῆς τῆς Γραφῆς. Καὶ οἱ συνήθεις δὲ ταχυγρά-

[a] Mich. IV, 4; I Mach. XIV, 12. [b] I Paral. XXII, 9. [c] III Esd. IV, 37, 41, 47 et seqq. [d] Luc. XIV, 28 et seqq.

(59) *Κατὰ τοὺς Ἔσδρα χρόνους*. Ita legitur in codice Bodleiano, nec non Barberino. Corruptus est locus in codice Regio.

(60) *Καθεσθέντες*. Sic habent codd. Regius et Barberinus, Bodleianus autem καταθέντες, pro quo in margine habet καθίσαντες, et ita legendum ex Luc. XIV, 28.

(61) *Ἐμποδιζώμεθα*. Lege ἐμπαιζώμεθα. Vide Luc. XIV, 29.

(62) *Καὶ μέχρι γε τοῦ πέμπτου τόμου*, etc. Meminit loci hujus Eusebius lib. VI *Hist.*, cap. 24, unde discas quinque priores Origenis *in Joannem* tomos Alexandro imperante fuisse lucubratos. Quod autem sex tomos *in Joannem* Alexandriæ tunc scriptos fuisse prodit Nicephorus lib. V, cap. 15, sic intelligito, quinque priores tomos absolutos fuisse, sextum inchoatum, quem denuo exordiri necesse habuit, quod priorem scriptionem Alexandria discedens secum non asportasset. Id ipse de se scribit Origenes paulo inferius. HUETIUS.

D (63) *Εἰ καὶ ὁ κατὰ τὴν Ἀλεξάνδρειαν χειμὼν*, etc. Nimirum postquam Cæsarea et ex Achaia redux, presbyterii gradum jam assecutus, Demetrium multis de causis infensum expertus est, uti diximus in *Origenianis*. Fallitur sane Ferrarius, qui Maximini in Christianos διωγμὸν hic significari pertendit; deceptus nimirum loco Eusebii altero, qui est lib. VI, cap. 28, ubi tomo XXII Origenis *in Joannem* Maximini persecutionem commemorari tradit Eusebius: ex quibus palam exstat operis illius partem Alexandri temporibus, reliquam Maximini successorumve fuisse lucubratam. ID.

(64) *Ἐκ τοῦδε ἐπιπεσόντος*, etc. Cum enim gravissima in eum iracundia exarsisset Demetrius Alexandrinus episcopus, Alexandria migravit, Cæsareæ sedem posuit. ID.

(65) *Ἔπειτα τοῦ ἐχθροῦ*, etc. Demetrium intellige, qui episcoporum Ægypti synodum adversus Origenem collegit, eumque litteris passim disseminatis traducere conatus est. ID.

φοι μὴ παρόντες τοῦ ἔχεσθαι τῶν ὑπαγορεύσεων ἐκώλυον. Νῦν δ' ὅτε τὰ καθ' ἡμῶν πεπυρωμένα πολλά, σβεννύντος Θεοῦ, βέλη ἤμβλυνται, καὶ ἐνεθισθεῖσα ἡμῶν ἡ ψυχὴ τοῖς συμβεβηκόσι διὰ τὸν οὐράνιον λόγον, φέρειν ῥᾷον βιάζεται τὰς γεγενημένας ἐπιβουλάς, ὡσπερεὶ ποσῆς εὐδίας λαβόμενοι, οὐκέτι ὑπερτιθέμενοι ὑπαγορεύειν τὰ ἀκόλουθα βουλόμεθα, Θεὸν διδάσκαλον ὑπηχοῦντα ἐν τῷ ἀδύτῳ τῆς ψυχῆς ἡμῶν παρεῖναι εὐχόμενοι, ἵνα τέλος λάβῃ ἡ τῆς κατὰ Ἰωάννην διηγήσεως τοῦ Εὐαγγελίου οἰκοδομή. Γένοιτο δ' ὁ Θεὸς ἐπήκοος ἡμῶν τῇ εὐχῇ, εἰς τὸ συνάψαι δυνηθῆναι τὸ σῶμα τοῦ ὅλου λόγου, μηκέτι μεσολαβούσης περιστάσεως, διακοπὴν τοῦ εἱρμοῦ τῆς γραφῆς ὁποίαν δήποτε ἐνεργήσασθαι δυναμένης. Ἴσθι δέ, ὅτι ἀπὸ πολλῆς προθυμίας δευτέραν ταύτην ἀρχὴν ποιοῦμαι ἕκτου τόμου, διὰ τὸ τὰ προϋπαγορευθέντα (66) ἡμῖν ἐν τῇ Ἀλεξανδρείᾳ οὐκ οἶδ' ὅπως μὴ ἐκκεκομίσθαι· βέλτιον γὰρ ἡγησάμην, ὑπὲρ τοῦ μὴ ἀπράκτως μοι τοῦδε τοῦ ἔργου παρελθεῖν, καὶ τοῦτον τὸν χρόνον ἤδη τῶν λοιπῶν ἄρξασθαι, καὶ μή, μετ' ἀδήλῳ τῷ εὑρεθήσεσθαι τὰ προϋπαγορευθέντα ἡμῖν ἀναμένων, κέρδος οὐκ ὀλίγον ἀπολέσαι τὸ τῶν μεταξὺ ἡμερῶν. Καὶ ταῦτα μὲν αὐτάρκως (67) πεπροοιμιάσθω· ἤδη δὲ καὶ τῆς λέξεως ἐχώμεθα.

A sem, **102** mandare litteris. Nunc vero quando adversum nos ignitæ sagittæ multæ vanæ fuerunt factæ, Deo illas exstinguente, et assueta anima nostra his quæ cœlestis sermonis causa contingunt, ferre cogitur facilius factas insidias, veluti aliquantum serenitatis nacti, non amplius differentes dictare volumus quæ restant, Deum magistrum in animæ nostræ adyto penetrali insonantem adesse precantes, ut finem accipiat structura enarrationis Evangelii secundum Joannem. Atque utinam audiat Deus preces nostras, ut corpus totius operis conjungere possimus, nec ulla posthac necessitas intercipiat atque interrumpat Scripturæ seriem. Cæterum scias ex multa nos promptitudine initium sexti tomi denuo facere, eo quod quæ antea interpre-B tati fueramus Alexandriæ, nescio quo pacto nobiscum allata non fuerunt. Melius enim ratus sum, ne interim etiam hoc opus cum ignavia intermitteretur, quæ restabant prosequi, quam dum incertus sum inveniendi quæ interpretati fueramus, exspectare: hoc interim tempore, quod lucri non parva est accessio, pereunte. Et hæc prooemii loco satis sunto; nunc jam contextum sequamur.

Explicit Præfatio.

2. « Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου. » Δευτέρα αὕτη ἀναγεγραμμένη Ἰωάννου τοῦ Βαπτιστοῦ περὶ Χριστοῦ μαρτυρία, τῆς προτέρας ἀρξαμένης ἀπὸ τοῦ, « Οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, » καὶ ληγούσης εἰς τό· « Ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ ὢν (68) εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο. » Οὐχ ὑγιῶς δὲ ὁ Ἡρακλέων ὑπολαμβάνει, « Οὐδεὶς τὸν Θεὸν ἑώρακεν πώποτε, » καὶ τὰ ἑξῆς φάσκων εἰρῆσθαι οὐκ ἀπὸ τοῦ μαθητοῦ (69), ἀλλ' ἀπὸ τοῦ Βαπτιστοῦ (70). Εἰ γὰρ καὶ κατ' αὐτὸν τό, « Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος, ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο, » ὑπὸ τοῦ Βαπτιστοῦ εἴρηται· πῶς οὐκ ἀκόλουθον τὸν ἐκ τοῦ πληρώματος τοῦ Χριστοῦ εἰληφότα, καὶ χάριν δευτέραν ἐπὶ προτέρας χάριτος, ὁμολογοῦντά τε διὰ Μωσέως μὲν δεδόσθαι τὸν νόμον, τὴν δὲ χάριν καὶ τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ γεγονέναι, ἐκ τῶν ἀπὸ τοῦ πληρώματος εἰς αὐτὸν ἐληλυθότων, νενοηκέναι πῶς « Θεὸν οὐδεὶς ἑώρακεν πώποτε, » καὶ τὸ « τὸν Μονογενῆ εἰς τὸν κόλπον ὄντα τοῦ Πατρὸς » τὴν ἐξήγησιν αὐτῷ καὶ πᾶσι τοῖς ἐκ τοῦ πληρώματος εἰληφόσι παραδεδωκέναι; Οὐ γὰρ νῦν πρῶτον ἐξηγήσατο ὁ ὢν (71) εἰς τὸν κόλπον τοῦ Πατρός, ὡς οὐδενὸς (72) ἐπιτηδείου πρότερον γεγενημένου λαβεῖν ἃ τοῖς (73)

2. « Et hoc est testimonium Joannis [6]. » Secundum hoc est Joannis Baptistæ de Christo scriptum testimonium, primo testimonio incipiente ab illis C verbis: « Hic erat, quem dixi; qui post me venit [7], » et desinente in ea, « Unigenitus Filius Dei, qui est in sinu Patris, ille enarravit [8]. » At vero non recte Heracleon suspicatur verba illa: « Nullus Deum vidit unquam [9], » et quæ sequuntur, dicta fuisse non a Baptista, sed a discipulo. Nam si etiam opinione sua, quod « ex plenitudine ejus nos omnes accepimus, et gratiam pro gratia, quoniam lex per Mosen data est; gratia, et veritas per Jesum Christum facta est [10], » a Baptista est dictum, quomodo non consequens est, eum qui ex plenitudine Christi acceperit, et gratiam secundam pro gratia prima, quique fassus fuerit datam fuisse per Mosem legem, gratiam vero et veritatem per Jesum Christum factam fuisse, ex his quæ ex plenitudine in ipsum D devenissent, tum intellexisse quomodo « Deum nullus vidit unquam [11], » tum etiam quod « Unigenitus ad sinum Patris exsistens [12], » hæc ipsi et omnibus qui ex plenitudine ejus hausissent, **103** enarraverit? Non enim nunc primum enarravit, qui est in sinu Patris, perinde quasi nullus antea idoneus exstiterit accipere quæ apostolis enarravit, quandoquidem antequam Abraham fieret

[6] Joan. I, 19. [7] ibid. 15. [8] ibid. 18. [9] Ibid. [10] ibid. XVI, 17. [11] ibid. 18. [12] ibid.

(66) *Διὰ τὸ τὰ προϋπαγορευθέντα*, etc. Hinc apparet reliquam hanc *Commentariorum in Joannem* partem tum scriptam fuisse, cum Alexandria Origenes discessisset. Sed hæc in *Origenianis* disputata sunt. HUETIUS.

(67) *Αὐτάρκως*. Sic codex Bodleianus; Regius αὐταρκές.

(68) *Υἱὸς τοῦ Θεοῦ, ὁ ὤν*, etc. Sic codex Bodleianus; editio Huetii, υἱὸς Θεὸς ὁ ὤν, εἰς τόν, etc.

(69) *Μαθητοῦ*. Lege Βαπτιστοῦ.

(70) *Βαπτιστοῦ*. Lege μαθητοῦ.

(71) *Ὁ ὤν*. Deest in editione Huetiana, sed suppletur e cod. Bodleiano.

(72) *Ὡς οὐδενός*. Ita recte habet in margine codex Barberinus; male autem editio Huetiana, ὡς οὐδέν.

(73) *Ἃ τοῖς*. Ita codex Bodleianus: editio Huetii, ὑπὸ τοῖς.

exsistens, docet nos Abraham exsultasse, ut videret diem ipsius gavisumque fuisse [13]. Quin quod ait: « Ex plenitudine ipsius nos omnes accepimus, et gratiam pro gratia [14], » ut in superioribus diximus, arguit prophetas etiam ex Christi plenitudine donum cepisse, gratiamque secundam pro prima eos sumpsisse: pervenerunt enim et illi a Spiritu manuducti, postquam introducti fuissent, atque exerciti in figuris, ad veritatis visionem. Quocirca non omnes « prophetæ, sed multi desiderarunt videre, quæ » apostoli viderunt [15]. Nam si prophetarum erat differentia, perfecti et præstantes non desiderarunt videre quæ viderunt apostoli; viderunt enim ipsa. Qui vero non æque atque hi assecuti sunt, ut ad altitudinem sermonis ascenderint, appetiverunt ea quæ apostoli per Christum cognoverunt. Nam illud *videre* non corporaliter dictum fuisse interpretati sumus, quemadmodum etiam illud *audire* spiritualiter prolatum intelleximus: quippe cum is solus aures possideat qui eas præparaverit ad audiendum sermones Jesu: quæ res haud ita frequenter obtingit. Jam vero sanctos cæteris credentibus habentes plus quidpiam, divinitatis mysteria ante corporalem Jesu adventum intellexisse, Dei Sermone eos edocente etiam antequam caro fieret (nam semper operatur, imitator Patris cum sit, de quo dicit: « Pater meus usque modo operatur [16] »), considerare licet ex his etiam dictionibus, ubi Sadducæis non credentibus sermoni de resurrectione inquit [17]: « Non legistis quod Deus in rubo dixit: Ego sum Deus Abraham, Deus Isaac et Deus Jacob? Deus vero non est mortuorum, sed viventium. » Si igitur Deum non pudet virorum horum vocari Deum, hique viri inter viventes a Deo numerantur, filiique Abraham sunt omnes credentes [18] (quandoquidem in fideli Abraham, qui positus est pater gentium a Deo, benedicuntur omnes gentes [19]) ambigimus admittere viventes viventium agnovisse disciplinas, idque a Christo edoctos ante Luciferum genito [20], antequam caro fieret? Cæterum ob eam causam vivebant, **104** quoniam participabant dicentem: « Ego sum vita [21], » et percipiebant apparitionem non modo angelorum, sed etiam Dei per Christum, tanquam tantarum promissionum hæredes: et fortasse videntes imaginem invisibilis Dei [22] (quandoquidem qui vidit Filium, vidit et Patrem [23]) cum intellexissent Deum, Deique sermones pro ipsius dignitate audissent, Deum vidisse ipsumque audisse scribuntur. Arbitror vero ego eos qui perfecte et sincere filii Abraham exstiterint, filios esse actionum ipsius Abrahæ, quæ intelliguntur esse spirituales, atque etiam filios esse scientiæ manifestatæ ipsi Abrahæ, quoniam quæ ipse cognovit et fecit, ingenita fuerint illis qui filii sunt patriarchæ, quemadmodum docet habentes aures, dicens:

A ἀποστόλοις διηγήσατο· εἴ γε πρὶν Ἀβραὰμ γενέσθαι ὢν διδάσκει ἡμᾶς τὸν Ἀβραὰμ ἠγαλλιᾶσθαι, ἵνα ἴδῃ τὴν ἡμέραν αὐτοῦ, καὶ ἐν χαρᾷ γεγονέναι. Καὶ τὸ « Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, » καὶ τὸ, « χάριν ἀντὶ χάριτος, » ὡς ἐν τοῖς πρὸ τούτων εἰρήκαμεν, δηλοῖ καὶ τοὺς προφήτας ἀπὸ τοῦ πληρώματος Χριστοῦ τὴν δωρεὰν κεχωρηκέναι, καὶ τὴν δευτέραν χάριν ἀντὶ τῆς προτέρας αὐτοὺς εἰληφέναι· ἐφθάκεισαν γὰρ κἀκεῖνοι ὑπὸ τοῦ Πνεύματος χειραγωγούμενοι, μετὰ τὴν ἐν τοῖς τύποις εἰσαγωγὴν, ἐπὶ τὴν τῆς ἀληθείας θέαν. Διόπερ οὐ πάντες « οἱ προφῆται, ἀλλὰ πολλοὶ ἐπεθύμησαν ἰδεῖν ἃ » οἱ ἀπόστολοι ἔβλεπον. Εἰ γὰρ ἦν προφητῶν διαφορὰ, οἱ τετελειωμένοι καὶ διαφέροντες οὐκ ἐπεθύμησαν ἰδεῖν ἃ εἶδον οἱ ἀπόστολοι· τεθεωρήκασι γὰρ αὐτά. Οἱ **B** δὲ μὴ φθάσαντες ὁμοίως τούτοις εἰς τὸ ὕψος ἀναβῆναι τοῦ λόγου, ἐν ὀρέξει γεγόνασι τῶν τοῖς ἀποστόλοις διὰ Χριστοῦ ἐγνωσμένων. Τὸ γὰρ *ἰδεῖν* ἡμεῖς οὐ σωματικῶς εἰρῆσθαι ἐξειλήφαμεν, καὶ τὸ *ἀκοῦσαι* πνευματικῶς ἀπαγγελλόμενον νενοήκαμεν, μόνου τοῦ ὦτα κτησαμένου ἀκούειν παρεσκευασμένου τῶν λόγων τοῦ Ἰησοῦ· ὅπερ οὐ πάνυ ἀθρόως γίνεται. Ἔτι δὲ περὶ τοῦ τοὺς πρὸ τῆς σωματικῆς ἐπιδημίας τοῦ Ἰησοῦ ἁγίους, πλέον τι τῶν πολλῶν τῶν πιστευόντων ἐσχηκότας, τὰ τῆς θειότητος μυστήρια κατανενοηκέναι, τοῦ Λόγου τοῦ Θεοῦ διδάσκοντος αὐτοὺς, καὶ πρὶν γένηται σάρξ (ἀεὶ γὰρ εἰργάζετο μιμητὴς τοῦ Πατρὸς ὢν, περὶ οὗ λέγει· « Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται »), ἔστιν ἀπολογίσασθαι **C** καὶ ἀπὸ τούτων τῶν λέξεων· φησί που πρὸς τοὺς Σαδδουκαίους ἀπιστοῦντας τῷ περὶ ἀναστάσεως λόγῳ· « Οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ἐπὶ τῆς βάτου ὑπὸ τοῦ Θεοῦ· Ἐγὼ Θεὸς Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακώβ; Θεὸς δὲ οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων. » Εἰ τοίνυν ὁ Θεὸς οὐκ ἐπαισχύνεται Θεὸς τῶν ἀνδρῶν τούτων καλεῖσθαι, καὶ ἐν ζῶσιν ὑπὸ Χριστοῦ καταριθμοῦνται, υἱοί τε τοῦ Ἀβραὰμ πάντες εἰσὶν οἱ πιστεύοντες (ἐπεὶ ἐνευλογοῦνται τῷ πιστῷ Ἀβραὰμ πάντα τὰ ἔθνη, πατρὶ τῶν ἐθνῶν ὑπὸ τοῦ Θεοῦ τεθειμένῳ), διστάζομεν παραδέξασθαι ἐγνωκέναι τοὺς ζῶντας τὰ τῶν ζώντων μαθήματα, μαθητευθέντας Χριστῷ τῷ πρὸ ἑωσφόρου γεγεννημένῳ πρὶν γένηται σάρξ; Διὰ τοῦτο δὲ ἔζων, ἐπεὶ μετεῖχον τοῦ εἰπόντος, « Ἐγώ εἰμι ἡ ζωὴ, » καὶ **D** ἐχώρουν ὡς τηλικούτων κληρονόμοι ἐπαγγελιῶν, ἐπιφάνειαν οὐ μόνον ἀγγέλων, ἀλλὰ καὶ Θεοῦ ἐν Χριστῷ· καὶ τάχα ὁρῶντες τὴν εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου (ἐπεὶ ὁ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε τὸν Πατέρα), ἀναγεγραμμένοι εἰσὶ Θεὸν νενοηκότες καὶ Θεοῦ λόγων θεοπρεπῶς ἀκηκοότες, ἑωρακέναι Θεὸν, καὶ ἀκηκοέναι αὐτοῦ. Ἐγὼ δ' οἶμαι, ὅτι οἱ τελείως καὶ γνησίως υἱοὶ τοῦ Ἀβραὰμ, τῶν πνευματικῶν νοουμένων πράξεων αὐτοῦ εἰσιν υἱοὶ, καὶ τῆς φανερωθείσης αὐτῷ γνώσεως, τῶν ἐκείνῳ γνωσθέντων καὶ πραχθέντων ἐγγινομένων τοῖς χρηματίζουσιν υἱοῖς τοῦ πατριάρχου, καθὰ διδάσκει τοὺς ἔχοντας

[13] Joan. VIII, 56. [14] Joan. I, 16. [15] Matth. XIII, 17. [16] Joan. V, 17. [17] Marc. XII, 26. [18] Rom. IV, 11. [19] Gen. XVII, 4; XXII, 18; XXVI, 4, 5; Rom. IV, 17. [20] Psal. CIX, 3. [21] Joan. XIV, 6. [22] Colos. I, 15. [23] Joan. XIV, 9.

ὦτα, λέγων· « Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε. » Καὶ εἰ « σοφὸς νοήσει τὰ ἀπὸ ἰδίου στόματος, ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην, » ἀναγκαῖον ἤτοι προπετῶς ἀποφήνασθαί τινα περὶ προφητῶν, ὡς οὐ σοφῶν (εἰ μὴ νενοήκασι τὰ ἀπὸ τοῦ ἰδίου *στόματος), ἢ τὸ εὔφημον καὶ ἀληθὲς παραδεξαμένους, ὅτι ἦσαν οἱ προφῆται σοφοὶ, ὁμολογεῖν νενοηκέναι αὐτοὺς ἀπὸ ἰδίου στόματος, καὶ ἐπὶ τοῖς χείλεσι πεφορηκέναι τὴν ἐπιγνωμοσύνην· καὶ δῆλον, ὅτι Μωσῆς ἑώρα τῷ νοῒ τὴν ἀλήθειαν τοῦ νόμου, καὶ τὰς κατὰ ἀναγωγὴν ἀλληγορίας τῶν ἀναγεγραμμένων παρ' αὐτῷ ἱστοριῶν. Ἰησοῦς δὲ τὴν ἀληθῆ κληροδοσίαν γενομένην μετὰ τὴν καθαίρεσιν τῶν εἴκοσι καὶ ἐννέα βασιλέων συνίει, μᾶλλον ἡμῶν δυνάμενος συνορᾷν τίνων ἀληθῶν σκιαὶ ἐτύγχανον τὰ δι' αὐτοῦ ἐπιτελούμενα. Δῆλον δ' ὅτι καὶ Ἡσαΐας τὸ μυστήριον ἑώρα τοῦ ἐπὶ τοῦ θρόνου καθεζομένου, καὶ τῶν δύο σεραφὶμ, καὶ τῶν πτερύγων αὐτοῦ, τοῦ τε θυσιαστηρίου καὶ τῆς λαβίδος, καὶ τῆς ἐπικαλύψεως τοῦ προσώπου, καὶ τῶν ποδῶν, γινομένης ὑπὸ τῶν σεραφίμ. Ἰεζεκιὴλ δὲ τὰ χερουβὶμ, καὶ τὴν πορείαν αὐτῶν, καὶ τὸ ἐπ' αὐτῶν στερέωμα, καὶ τῶν ἐπικαθεζομένων τῷ θρόνῳ, ὧν τί ἂν εἴη ἐνδοξότερον καὶ ὑψηλότερον; Καὶ ἵνα μὴ καθὲν λέγων ἐπὶ πολὺ μηκύνω τὸν λόγον, βουλόμενος κατασκευάζειν οὐκ ἔλαττον τῶν τοῖς ἀποστόλοις ἀπὸ Χριστοῦ ἀποκαλυφθέντων ἐγνωκέναι τοὺς τετελειωμένους ἐν ταῖς προτέραις γενεαῖς, ἀποκαλύπτοντος αὐτοῖς τοῦ καὶ τοὺς ἀποστόλους διδάξαντος τὰ ἀπόῤῥητα τῆς θεοσεβείας μυστήρια, ἔτι (74) ὀλίγα προσθεὶς κρίνειν τοῖς ἐντυγχάνουσι καταλείψω καὶ ὃ βούλονται περὶ τούτων σκοπεῖν. Φησὶ γὰρ ἐν τῇ πρὸς τοὺς Ῥωμαίους Ἐπιστολῇ ὁ Παῦλος· « Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ Εὐαγγέλιόν μου, κατὰ ἀποκάλυψιν μυστηρίου, χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν διά τε γραφῶν προφητικῶν, καὶ τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. » Εἰ γαρ διὰ γραφῶν προφητικῶν τὸ πάλαι σεσιωπημένον μυστήριον πεφανέρωται τοῖς ἀποστόλοις, καὶ οἱ προφῆται ἐνόουν τὰ ἀπὸ ἰδίου στόματος, ἅτε ὄντες σοφοὶ, τὰ πεφανερωμένα τοῖς ἀποστόλοις οἱ προφῆται ᾔδεσαν. Ἐπεὶ δὲ πολλοῖς οὐκ ἀπεκαλύπτετο (75), διὰ τοῦτό φησιν ὁ Παῦλος· « Ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ, καὶ προφήταις ἐν Πνεύματι, εἶναι τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα. » Ὅρα δὲ εἰ καὶ οὕτως οἷον ἀνθυπενεχθησομένην (76) ἀνθυποφορὰν ὑπὸ τῶν μὴ παραδεχομένων τὸν λόγον, τὴν λέξιν ταύτην οὕτως ἐκλαβεῖν τὸ *ἀποκαλυπτόμενον*, μήποτε διχῶς ἐστιν ἰδεῖν *ἀποκαλυπτόμενον*· καθ' ἕνα μὲν τρόπον ὅτε νοεῖται, καθ' ἕτερον δὲ ἐὰν ᾖ τοῦτο προφητευόμενον, ὥστε καὶ πληρωθῆναι αὐτό· τότε γὰρ ἀπο-

A « Si filii Abraham essetis, opera Abrahæ faceretis [24]. » Quod si « sapiens intelliget quæ ex proprio ore protulerit, in labiis vero portabit animi candorem [25] : » vel necessario quædam de prophetis, tanquam non sapientibus (ut qui non intellexerint proprio ore prolata), inconsiderate enuntianda erunt, vel quod celebre est et verum admittentes (nempe prophetas sapientes esse), fatendum erit, quæ proprio ore protulerint, eos intellexisse, inque labiis gestasse animi candorem; et perspicuum est Mosen mentis acie legis veritatem historiarumque apud se scriptarum allegorias juxta anagogen vidisse. Imo Jesus veram distributionem factam post destructionem novem et viginti regum [26] intelligit, cum magis quam nos conspicere posset
B quas veritates adumbrarent res a se gestæ. Quin perspicuum etiam est Isaiam, mysterium sedentis in throno, et duorum seraphim, et alarum, ipsiusque altaris, et forcipis, et operimenti faciei, et pedum, quod faciebant seraphim, vidisse [27]. Rursus Ezechiel cherubim, et ipsorum iter, et firmamentum super ipsos, et sedentem in throno vidit [28], quibus quid gloriosius subliminsque? Et ne singulatim prosequens, in longum protendam sermonem, volens ostendere viros perfectos in superioribus ætatibus non minus cognovisse quam qui a Christo revelationem habuerunt, quippe cum his ille idem, qui apostolos docuit, cultus Dei mysteria abscondita retexerit, adhuc paucis additis ju-
C dicandum legentibus relinquam et considerandum de hisce rebus quidquid volunt. Nam inquit in Romanorum Paulus Epistola [29] : « Ei autem, qui potest nos firmare secundum Evangelium meum, juxta revelationem mysterii, quod temporibus sempiternis est tacitum, manifestatum autem **105** nunc per scripturas propheticas, et per apparitionem Domini nostri Jesu Christi. » Si enim apostolis manifestatum est mysterium per scripturas propheticas, olim tacitum, et prophetæ intelligebant quæ proprio ore proferebant, quia sapientes essent, profecto quæ apostolis manifestata fuere, etiam prophetæ intellexerunt. Quoniam vero multis et vulgaribus revelatum non fuerat, ob eam causam inquit Paulus [30] : « Aliis ætatibus non in-
D notuit filiis hominum, quemadmodum nunc revelatum est sanctis apostolis ejus, et prophetis per Spiritum, ut sint gentes cohæredes, et ejusdem corporis. » Vide vero an etiam ob objectionem, quam objicere possent hi qui non admittunt rationem nostram, sic interpretari possimus vocabulum *revelatum*, nempe ut duobus modis dicatur : uno quidem modo, quando id quod revelatur intelligitur, altero vero, quando fuerit aliquid propheta-

[24] Joan. VIII, 39. [25] Prov. XVI, 23. [26] Jos. XII, et seq. [27] Isai. VI, 1, 2, 6. [28] Ezech. I, 4 et seq. [29] Cap. XVI, vers. 25, 26. [30] Ephes. III, 5, 6.

(74) *Ἔτι*. Ita codex Bodleianus; Regius et Barberinus, ὅτι, male.

(75) *Οὐκ ἀπεκαλύπτετο*. Sic codd. Bodleianus et Barberinus; Regius, οὐ κατεκαλύπτετο.

(76) *Εἰ καὶ οὕτως οἷον ἀνθυπενεχθησομένην*, etc. Locus videtur hiulcus. Legendum fortasse : Εἰ οὕτως δι' ἀνθυπενεχθησομένην, etc.

tum, quod futurum sit et complendum : tum enim revelatur, quando res impleta perficitur. Quod igitur « gentes » [per Christum] sint «. cohæredes, et ejusdem corporis, et comparticipes promissionis in Christo, » quantum quidem attinet ad cognitionem, ut gentes futuræ sint cohæredes, et ejusdem corporis, et comparticipes, et quando cohæredes erant futuræ, et quare, et quales essent, et quomodo extraneæ a testamentis alienæque a promissione, futuræ in posterum erant ejusdem corporis et comparticipes, norant prophetæ, cum ipsis hoc revelatum fuisset. Intelligentibus vero tantum, et non videntibus perfecta fuisse ea, quæ prophetata fuerant, non sic revelata sunt futura, ut iis qui sub aspectum horum eventum cernebant, quod factum est in apostolis : nam, ut [ad unum modum] arbitror eos non magis res intellexisse quam Patres et prophetæ, sic altero modo verificatur de eis illud, quod « aliis ætatibus revelatum non fuit, quemadmodum nunc apostolis et prophetis, gentes esse cohæredes, et ejusdem corporis, et comparticipes promissionis in Christo : » quia præterquam quod intelligunt mysteria, etiam actionem per rem perfectam intuentur. Quod autem ait [31] : « Multi prophetæ, et justi cupierunt videre quæ vos videtis, et non viderunt; et audire quæ auditis, et non audierunt, » similem potest habere interpretationem : perinde quasi cupierint et illi videre mysterium olim prædictum dispositum Incarnationis, et descensus Filii Dei ad œconomiam passionis suæ compluribus salutaris; tanquam si, exempli gratia, tale quiddam aliud sumeremus : Esto aliquis apostolus qui intelligat
106 « verba ineffabilia, quæ non licet homini loqui [32], » sitque is non visurus secundum gloriosum Christi adventum divulgatum apud fideles, et tamen cupiat videre ipsum; rursus sit alter qui non solum non perceperit atque intellexerit eadem quæ apostolus, sed impendio minus ipso etiam spem divinam possederit, atque hic deprehendat secundum Servatoris nostri adventum (quem cupiat quidem apostolus juxta exemplum, nec tamen videat), certe nec falso pronuntiabimus hos duos vidisse quæ cupierit apostolus ille vel apostoli videre : nec omnino hanc ob causam necessario dicemus eos prudentiores beatioresque apostolis. Ad hunc igitur modum neque apostolos sapientiores Patribus, vel Mose, vel prophetis dicturi sumus, hisque præcipue qui diutius ob virtutem supernis apparitionibus, vel repræsentationibus divinis, et revelationibus grandium mysteriorum digni fuere habiti.

3. Sed diutius commorati sumus in his inquirentes, quoniam multi propter opinationem glorificandi Christi adventum, dicentes sapientiores apostolos quam prophetas et Patres fuisse, alii quidem

A καλύπτεται, ὅτε ἐπιτελεῖται πληρούμενον. Τὸ τοίνυν « τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα εἶναι τῆς ἐπαγγελίας ἐν Χριστῷ, » ὅσον μὲν ἐπὶ τῇ γνώσει, τοῦ ἔσεσθαι τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα, καὶ πότε ἔσεσθαι, καὶ διὰ τί, καὶ τίνα ὄντα, καὶ πῶς ξένα τῶν Διαθηκῶν τυγχάνοντα, καὶ ἀλλότρια τῆς ἐπαγγελίας, σύσσωμα καὶ συμμέτοχα ὕστερον ἐσόμενα ᾔδεσαν οἱ προφῆται, ἀποκαλυφθέντος αὐτοῖς τούτου. Ἀλλ' οὐχ οὕτως τοῖς νοοῦσιν, οὐχ ὁρῶσι δὲ ἐπιτελούμενα τὰ προφητευόμενα ἀποκεκάλυπται τὰ ἐσόμενα, ὡς τοῖς ὑπ' ὄψιν θεωροῦσι τὴν ἔκβασιν αὐτῶν, ὅπερ γέγονεν ἐπὶ τῶν ἀποστόλων· οὕτω γὰρ, ὡς οἶμαι, ἐνόουν τὰ πράγματα οὐ μᾶλλον τῶν πατέρων καὶ προφητῶν· ἀληθεύεται δὲ περὶ αὐτῶν τό· « Ὃ ἑτέραις γενεαῖς
B οὐκ ἀπεκαλύφθη, ὡς νῦν τοῖς ἀποστόλοις καὶ προφήταις, εἶναι τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα τῆς ἐπαγγελίας ἐν Χριστῷ· » τῷ πρὸς τῷ νοεῖν αὐτοὺς τὰ μυστήρια, καὶ τὴν ἐνέργειαν διὰ τοῦ πράγματος ἐπιτελουμένου κατανοεῖν. Δύναται δὲ καὶ τὸ, « Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν, » τὴν ὁμοίαν ἔχειν διήγησιν· οἱονεὶ ἐπιθυμησάντων κἀκείνων ἰδεῖν οἰκονομούμενον τὸ μυστήριον τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐνσωματώσεως καὶ καταβάσεως ἐπὶ τὴν οἰκονομίαν τοῦ σωτηρίου τοῖς πολλοῖς πάθους αὐτοῦ· ὡς ἐπὶ παραδείγματος καὶ ἄλλο τι τοιοῦτον ἐλαμβάνομεν· ἔστω τινὰ τῶν ἀποστόλων συνιέντα « τὰ ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἄνθρωπον λαλῆσαι, » μὴ ὀψόμε-
C νον τὴν παρὰ τοῖς πεπιστευκόσι κατηγγελμένην δευτέραν σωματικὴν Ἰησοῦ ἔνδοξον ἐπιδημίαν, ἐπιθυμεῖν αὐτὴν ὁρᾷν· ἕτερον δέ τινα (77) οὐ μόνον τὰ αὐτὰ τῷ ἀποστόλῳ ἠκριβωκότα (78) καὶ νενοηκότα, ἀλλὰ καὶ πολλῷ αὐτοῦ ἔλαττον ἀντεχόμενον τῆς θείας ἐλπίδος, καταλαμβάνειν τὴν δευτέραν τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίαν (ἣν ἐπιτεθυμηκέτω μὲν, κατὰ τὸ παράδειγμα, ὁ Ἀπόστολος, μὴ τεθεωρηκέτω δέ)· οὐ ψεῦδος δὴ ἐροῦμεν, ὅτι εἶδε δύο ἃ ἐπεθύμησεν (79) ὁ ἀπόστολος ἰδεῖν ἢ καὶ ἀπόστολοι, τεθέανται, καὶ οὐ πάντως παρὰ τοῦτο συνετωτέρους αὐτοὺς ἢ μακαριωτέρους ἀνάγκη λέγειν τῶν ἀποστόλων. Οὕτως οὐδὲ τοὺς ἀποστόλους σοφωτέρους τῶν πατέρων, ἢ Μωσέως, καὶ τῶν προφητῶν, καὶ μάλιστα τῶν ἐπιπλεῖον δι' ἀρετὴν ἀξιωθέντων ἐπιφανειῶν, καὶ
D ἐμφανειῶν θείων, καὶ ἀποκαλύψεων μυστηρίων μεγάλων.

3. Ἐπιπλέον δὲ διετρίψαμεν ἐξετάζοντες περὶ τούτων, ἐπὶ (80) τῇ φαντασίᾳ τοῦ δοξάζειν τὴν Χριστοῦ ἐπιδημίαν πολλοὶ, σοφωτέρους τοὺς ἀποστόλους τῶν πατέρων καὶ τῶν προφητῶν λέγοντες, οἱ

[31] Matth. XIII, 17. [32] II Cor. XII, 4.

(77) Ἕτερον δέ τινα, etc. Ferrarius. « Rursus sumto alii duo; » videtur aliter legisse.

(78) Ἠκριβωκότα. Legendum videtur οὐκ ἠκριβωκότα.

(79) Ἃ ἐπεθύμησεν. Sic recte habet codex Bodleianus. In editione Huetiana deest ἅ.

(80) Ἐπί. Lege ἐπεί.

μὲν καὶ ἕτερον ἀναπεπλάκασι Θεὸν μείζονα, οἱ δὲ μὴ τοῦτο τολμήσαντες, ὅσον ἐπὶ τῷ αὐτῶν λόγῳ, διὰ τὸ ἀβασάνιστον τῶν δογμάτων χρεωκοποῦσι τὴν δεδομένην τοῖς πατράσι καὶ τοῖς προφήταις ἀπὸ Θεοῦ διὰ Χριστοῦ δωρεάν, δι' οὗ τὰ πάντα ἐγένετο· εἰ δὲ τὰ πάντα, δηλονότι καὶ τὰ ἐκείνοις ἀποκαλυφθέντα καλὰ καὶ πεπραγμένα σύμβολα μυστηρίων θεοσεβείας ἁγίων. Ἐπειδὴ (81) πάντη φράσσεσθαι δεῖ τοὺς γενναίους Χριστοῦ στρατιώτας ὑπὲρ ἀληθείας, οὐδαμοῦ κατὰ τὸ δυνατὸν παρείσδυσιν ἐῶντας ἐγγενέσθαι τῇ ἀπὸ τοῦ ψεύδους πιθανότητι· φέρε καὶ ταῦτα σκοπήσωμεν. Τάχα γὰρ φήσουσι τὴν προτέραν Ἰωάννου περὶ Χριστοῦ μαρτυρίαν εἶναι· « Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν· » τὸ δὲ, « Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ B χάριτος, » καὶ τὰ ἑξῆς, εἰρῆσθαι ἐκ προσώπου τοῦ μαθητοῦ. Ἀναγκαῖον δὲ καὶ οὕτως διελέγξαι ὡς βεβιασμένην καὶ ἀνακόλουθον τὴν ἐκδοχήν· πάνυ γὰρ βίαιον τὸ οἴεσθαι αἰφνίδιον οἱονεὶ ἀκαίρως διακόπτεσθαι τὸν τοῦ Βαπτιστοῦ λόγον ὑπὸ τοῦ λόγου τοῦ μαθητοῦ, καὶ παντὶ τῷ καὶ ἐπὶ ποσὸν ἀκούειν συμφράσεως λεγομένων ἐπισταμένῳ σαφὲς τὸ τοῦ εἱρμοῦ τῆς λέξεως· « Οὗτος ἦν ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. » Διδάσκει δὲ ὁ Βαπτιστὴς πῶς ἔμπροσθεν αὐτοῦ γέγονεν Ἰησοῦς, τῷ πρῶτος αὐτοῦ, ἐπεὶ « πρωτότοκος πάσης κτίσεως, » εἶναι, διὰ τοῦ, « Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν· » διὰ τοῦτο γάρ φησιν· « Ἔμπροσθέν μου C γέγονεν, ὅτι πρῶτός μου ἦν· » διὰ τοῦτο δὲ νοῶ αὐτὸν πρῶτόν μου ὄντα καὶ τιμιώτερον παρὰ τῷ Πατρὶ, ἐπεὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἐγώ τε καὶ οἱ πρὸ ἐμοῦ προφῆται εἰλήφαμεν χάριν τὴν θειοτέραν καὶ προφητικὴν, ἀντὶ χάριτος τῆς κατὰ τὴν προαίρεσιν ἡμῶν ἀποδεχθεῖσαν παρ' αὐτῷ· διὰ τοῦτο δὲ καὶ « ἔμπροσθεν γέγονεν, ὅτι πρῶτός μου ἦν· » ἐπεὶ καὶ νενοήκαμεν, ἐκ τοῦ πληρώματος αὐτοῦ εἰληφότες, τὸν μὲν νόμον διὰ Μωσέως δεδόσθαι, οὐχ ὑπὸ Μωσέως· τὴν δὲ χάριν καὶ τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ οὐ δεδόσθαι μόνον, ἀλλὰ καὶ γεγονέναι, τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ τόν τε νόμον διὰ Μωσέως δεδωκότος, τὴν χάριν καὶ τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ πεποιηκότος· χάριν δὲ καὶ ἀλήθειαν πεποιηκότος διὰ Ἰησοῦ Χριστοῦ τὴν ἐπ' ἀνθρώπους φθάσασαν. Εὐ- D γνωμονέστερον γὰρ ἀκούσαντες τῆς λέξεως τῆς φασκούσης, « Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο, » οὐ ταραχθησόμεθα, ὡς ὑπὸ ἐναντιώματος ταύτῃ τῇ φωνῇ ὄντος τοῦ « Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. » Εἰ γὰρ Ἰησοῦς ἐστιν ὁ φάσκων, « Ἐγώ εἰμι ἡ ἀλήθεια, » πῶς ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ γίνεται; αὐτὸς γάρ τις δι' ἑαυτοῦ οὐ γίνεται. Ἀλλὰ νοητέον, ὅτι ἡ αὐτοαλήθεια ἡ οὐσιώδης, καὶ, ἵν' οὕτως εἴπω, πρωτότυπος τῆς ἐν ταῖς λογικαῖς ψυχαῖς ἀληθείας, ἀφ' ἧς ἀληθείας οἱονεὶ εἰκόνες ἐκεῖ-

A Deum majorem finxerunt, alii vero hoc non ausi, quantum ex ipsorum verbis percipimus, propter dogmata quæ explicatu difficilia sunt, prophetas ac Patres dono defraudant quod illis a Deo donatum fuerat per Christum, per quem omnia facta sunt [33]; nam si omnia, perspicuum etiam est, quæ illis revelata fuerunt præclara et peracta, signa sanctorum mysteriorum cultus Dei per ipsum facta fuisse. Jam quoniam undequaque muniri necesse est generosos Christi milites pro veritate, nusquam pro virili fieri permittentes ingressum falsæ persuasioni, age et hæc consideremus. Nam fortasse primum Joannis de Christo testimonium esse dicent: « Qui post me venit, ante me factus est, quia prior me erat [34]; » et illud: « Ex plenitudine ejus nos B omnes accepimus, et gratiam pro gratia [35], » et quæ sequuntur, dictum fuisse ex persona discipuli. Unde necesse est intelligentiam hanc refellere, ceu coactam et non consequentem. Admodum enim violentum est existimare repente adeo et importune Baptistæ orationem interruptam fuisse ab oratione discipuli. Et sane vel cuilibet qui tantillum judicare sciat contextum orationis eorum quæ dicuntur, lectionis series aperta est:
107 « Hic erat, quem dixi: Qui post me venit, ante me factus est, quia prior me erat [36]. » Docet autem Baptista quomodo ante se factus sit Jesus, dictus ipso Baptista prior, quia sit « primogenitus omnis creaturæ [37], » per illa verba: « Quoniam ex C plenitudine ejus nos omnes accepimus [38]. » Ob hanc enim causam inquit, « Ante me factus est, quoniam prior me erat [39], » et ob hanc causam intelligo eum priorem me exsistere et apud Patrem honorabiliorem esse, quoniam ex ejus plenitudine tum ego, tum prophetæ, qui me antecesserunt, sumpserimus, nempe gratiam diviniorem, et majorem, et propheticam, pro ea gratia quæ secundum electionem nostram recepta est; ob hanc autem causam « ante me » etiam « factus est, quoniam prior me erat, » quia ex plenitudine ejus cum hausissemus, intelleximus etiam legem per Mosem, non a Mose, datam fuisse [40]: gratiam vero et veritatem per Jesum Christum non solum datam, sed etiam factam fuisse. Nempe Deo et Patre ipsius, D tum legem per Mosem dante, tum veritatem et gratiam per Jesum Christum faciente: gratiam autem et veritatem per Jesum Christum faciente, quæ homines prævenit. Candidius enim et simplicius interpretantes ea verba, « Gratia et veritas per Jesum Christum facta est [41], » non discruciabimur, perinde quasi contrarium his sit illud: « Ego sum via, veritas, et vita [42]; » nam si Jesus est qui dicit, « Ego sum veritas » qui fieri potest ut veritas per Jesum fiat, cum aliquis per seipsum non fiat? Sed intelligendum est quod αὐτοαλήθεια ea quæ est

[33] Joan. I, 3. [34] ibid. 15. [35] ibid. 16. [36] Joan. I, 15. [37] Colos. I, 15. [38] Joan. I, 16. [39] ibid. 15. [40] ibid. 17. [41] ibid. [42] Joan. XIV, 6.

(81) Ἐπειδή. Lego ἐπεὶ δέ. Mox codex Bodleianus recte habet φράσσεσθαι, Regius et Barberinus, φράζεσθαι, male.

per se veritas, ipsa illa quæ est substantialis, et, ut ita dicam, primum exemplar illius veritatis quæ in animabus inest rationis capacibus, a qua veritate veluti imagines illius impressæ fuere spectantibus veritatem, non per Jesum Christum facta est, neque omnino per aliquem, sed a Deo. Quemadmodum enim neque Sermo ille qui in principio erat apud Deum [43], non est per aliquem; neque sapientia illa, quam creavit initio viarum suarum Deus [44], non est per aliquem : sic neque veritas illa est per aliquem. Verum quæ apud homines est veritas, per Jesum Christum facta est; verbi gratia, veritas quæ in Paulo inest cæterisque apostolis, per Jesum Christum facta est. Nec mirum est, si veritas cum sit una, multas quasi veritates ab illa dicamus diffluere. Vidit enim David ille propheta multas veritates, dicens [45] : « Veritates exquiret Dominus. » Non enim unam exquirit veritatem veritatis ipsius Pater, sed multas, per quas servantur qui eas habent. Simile vero quiddam huic orationi de veritate et veritatibus dictum invenimus de justitia et justitiis. Ipsa enim justitia **108** quæ ex se est et substantialis, Christus est, « qui factus est nobis sapientia a Deo, justitiaque, et sanctificatio, et redemptio [46] [perfecta]. » Ab illa autem justitia ea justitia formatur quæ in unoquoque inest, ita ut in his qui servantur, multæ fiant justitiæ; hanc ob causam etiam scriptum est [47] : « Justus Dominus, et justitias dilexit : » sic enim in veris exemplaribus et cæteris traditionibus juxta Septuaginta et ipso Hebraico invenimus. Inspice vero num isto modo alia quoque, quæ Christus esse dicitur singulariter, pro proportione multiplicata, plurium numero efferri possint; verbi gratia, Christus est vita nostra, quemadmodum Servator ipse inquit [48] : « Ego sum via, veritas et vita; » et Apostolus [49] : « Quandocunque Christus manifestatus fuerit vita nostra, tunc et vos cum illo manifestabimini in gloria. » Rursus in Psalmis scriptum [50] : « Melior misericordia tua super vitas. » Nam quia Christus in unoquoque inest vita, ideo multiplicantur vitæ; fortassis isto modo et illud inquirendum : « Num experimentum quæritis ejus, qui in me loquitur Christus [51] ? » Ferme enim in unoquoque sancto Christus invenitur, et fiunt per unum Christum multi Christi, illius imitatores, et transformati ad illius similitudinem, qui est imago Dei; unde per prophetam inquit Deus : « Ne tetigeritis christos meos [52]. » Quod igitur in enarrando visi sumus præteriisse; nempe, « Gratia et veritas per Jesum Christum facta est [53], » obiter nunc explicuimus, insuper ostendentes Joannis Baptistæ hanc esse vocem, adhuc etiam per hæc verba testimonium reddentis Filio Dei.

A νης ἐντετύπωνται τοῖς φρονοῦσι τὴν ἀλήθειαν, οὐχὶ διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο, οὐδ' ὅλως διά τινος, ἀλλ' ὑπὸ Θεοῦ ἐγένετο· ὡς καὶ ὁ Λόγος οὐ διά τινος, ὁ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, καὶ ἡ σοφία ἣν ἔκτισεν ἀρχὴν ὁδῶν αὐτοῦ ὁ Θεὸς, οὐ διά τινος· οὕτως οὐδὲ ἡ ἀλήθεια διά τινος. Ἡ δὲ παρ' ἀνθρώποις ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· οἷον ἡ ἐν Παύλῳ ἀλήθεια καὶ τοῖς ἀποστόλοις διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Καὶ οὐ θαυμαστὸν, μιᾶς οὔσης ἀληθείας, οἱονεὶ πολλὰς ἀπ' ἐκείνης λέγειν ἐῤῥυηκέναι. Οἶδε γοῦν ὁ προφήτης Δαυῒδ πολλὰς ἀληθείας λέγων· « Ἀληθείας ἐκζητεῖ Κύριος. » Οὐ γὰρ τὴν μίαν ἐκζητεῖ ἀλήθειαν ὁ πατὴρ αὐτῆς, ἀλλὰ τὰς πολλὰς, δι' ἃς σώζονται οἱ ἔχοντες αὐτάς. Τὸ δ' ὅμοιον τῷ περὶ τῆς ἀληθείας καὶ τῶν ἀληθειῶν λόγῳ, εὑρίσκομεν εἰρημένον περὶ δι-
B καιοσύνης καὶ δικαιοσυνῶν. Τὸ γὰρ αὐτοδικαιοσύνη (82) ἡ οὐσιώδης Χριστός ἐστιν, « ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις. » Ἀπ' ἐκείνης δὲ τῆς δικαιοσύνης ἡ ἐν ἑκάστῳ δικαιοσύνη τυποῦται, ὡς γίνεσθαι ἐν τοῖς σωζομένοις πολλὰς δικαιοσύνας· διὸ καὶ γέγραπται· « Ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν· » οὕτω γὰρ ἐν τοῖς ἀκριβέσιν ἀντιγράφοις εὕρομεν, καὶ ταῖς λοιπαῖς παρὰ τοὺς Ἑβδομήκοντα ἐκδόσεσι, καὶ τῷ Ἑβραϊκῷ. Ἐπίστησον δὲ εἰ δύναται ὁμοίως καὶ τὰ ἄλλα, ὅσα Χριστὸς εἶναι λέγεται ἑνικῶς, πληθυόμενα ἀνάλογον ὀνομάζεσθαι πληθυντικῶς, οἷον Χριστός ἐστιν ἡ ζωὴ ἡμῶν, ὡς αὐτὸς ὁ Σωτὴρ φησιν· « Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· » καὶ ὁ Ἀπό-
C στολος· « Ὅταν Χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. » Ἐν Ψαλμοῖς δὲ πάλιν ἀναγέγραπται· « Κρεῖττον τὸ ἔλεός σου ὑπὲρ ζωάς· » διὰ γὰρ τὸν ἐν ἑκάστῳ Χριστὸν ὄντα ζωὴν πληθύνονται αἱ ζωαί. Τάχα δὲ οὕτω ζητητέον καὶ τό· « Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; » Οἱονεὶ γὰρ καθ' ἕκαστον ἅγιον Χριστὸς εὑρίσκεται, καὶ γίνονται διὰ τὸν ἕνα Χριστὸν πολλοὶ Χριστοὶ, οἱ ἐκείνου μιμηταὶ, καὶ κατ' αὐτὸν εἰκόνα ὄντα Θεοῦ μεμορφωμένοι· ὅθεν ὁ Θεὸς διὰ τοῦ προφήτου φησί· « Μὴ ἅψησθε τῶν Χριστῶν μου. » Ὃ τοίνυν ἐδόξαμεν παρεληλυθέναι διηγούμενοι τό, « Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο, » τοῦτο νῦν κατὰ τὸ ἐμπεσὸν ἀνεπτύξαμεν· ἅμα δὲ παρεστήσαμεν, ὅτι τοῦ Βαπτιστοῦ Ἰωάννου
D ἐστὶν ἡ φωνή· ἔτι δὲ καὶ διὰ τούτων μαρτυροῦντος τῷ Υἱῷ τοῦ Θεοῦ.

4. Jam ergo videamus secundum Joannis testimonium [54]. Ex Hierosolymis Judæi, ceu affines Baptistæ, qui ex genere sacerdotali erat, sacerdotes mittunt, et Levitas interrogaturos, quis tandem esset Joannes. At ille dicens, « Non sum ego Chri-

4. Ἤδη οὖν ἴδωμεν τὴν δευτέραν Ἰωάννου μαρτυρίαν. Ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι, ὡς συγγενεῖς ὄντες τοῦ Βαπτιστοῦ, ἀπὸ γένους ἱερατικοῦ τυγχάνοντος, ἱερεῖς πέμπουσι καὶ Λευΐτας πευσομένους, ὅστις ποτὲ εἴη ὁ Ἰωάννης. Ὁ δὲ λέγων τὸ, « Ἐγὼ οὐκ εἰμὶ

[43] Joan. I, 2. [44] Prov. VIII, 22. [45] Psal. XXX, 25. [46] I Cor. I, 30. [47] Psal. X, 8. [48] Joan. XIV, 6. [49] Coloss. III, 4. [50] Psal. LXII, 4. [51] II Cor. XIII, 3. [52] I Paral. XVI, 22; Psal. CIV, 15. [53] Joan. I, 17. [54] ibid. 19.

(82) Τὸ γὰρ αὐτοδικαιοσύνη. Legendum videtur, Ἡ γὰρ αὐτοδικαιοσύνη.

ὁ Χριστὸς, » δι' αὐτοῦ τούτου ὁμολογίαν ἀληθείας πεποίηται, καὶ οὐχ, ὡς ἄν τις ὑπολάβοι, διὰ τὸ, « Οὐκ εἰμὶ ὁ Χριστὸς, » ἠρνήσατο· οὐ γάρ ἐστιν ἄρνησις τὸ εἰς δόξαν Χριστοῦ λέγειν μὴ αὐτὸν εἶναι Χριστόν. Ἅπαξ δὲ οἱ πεμφθέντες ἀπὸ Ἱεροσολύμων ἱερεῖς καὶ Λευῖται, ἀκούσαντες τὸ μὴ εἶναι αὐτὸν τὸν προσδοκώμενον Χριστὸν, πυνθάνονται περὶ τοῦ δευτέρου ἐλπιζομένου παρ' αὐτοῖς τιμίου ὀνόματος Ἠλίου, εἰ αὐτὸς εἴη ἐκεῖνος. Λέγει δὲ μὴ τυγχάνειν Ἠλίας, πάλιν ὁμολογῶν διὰ τοῦ, « Οὐκ εἰμί, » τὸ ἀληθές. Ἐπεὶ δὲ, πολλῶν προφητῶν γινομένων ἐν Ἰσραὴλ, εἷς τις ὁ ὑπὸ Μωσέως προφητευθεὶς ἐξαιρέτως προσεδοκᾶτο κατὰ τὸ φάσκον ῥητόν· « Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε· καὶ ἔσται πᾶσα ἡ ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ, » τρίτον ἐρωτῶσιν οὐχὶ εἰ προφήτης εἴη, ἀλλ' εἰ ὁ προφήτης. Καὶ τοῦτο τὸ ὄνομα ἐκείνων οὐκ ἐπὶ Χριστοῦ ταττόντων, ἀλλ' οἰομένων ἕτερον παρὰ τὸν Χριστὸν αὐτὸν εἶναι, αὐτὸς γινώσκων τὸν οὗ πρόδρομός ἐστιν (ὅτι καὶ ὁ Χριστὸς καὶ ὁ προφήτης ἐστὶν ὁ προφητευθείς), φησίν· Οὔ· τάχα τὸ, « Ναί, » ἀποκρινάμενος, εἰ χωρὶς τοῦ ἄρθρου ἠρωτήκεισαν· οὐ γὰρ ἠγνόει προφήτης ὤν. Καὶ ἐν ταύταις ὅλαις ταῖς ἀποκρίσεσιν ἡ δευτέρα οὐδέπω τετέλεσται μαρτυρία Ἰωάννου, ἕως τοῖς αἰτοῦσιν ἀπόκρισιν ἀπαγγελθησομένην τοῖς πέμψασιν, ἑαυτὸν ἀπὸ προφητικῆς κατήγγειλε φωνῆς, τῆς τοῦ Ἡσαΐου, οὕτως ἐχούσης· « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου. »

5. Ἄξιον δὲ ζητῆσαι πότερον τετέλεσται ἡ δευτέρα μαρτυρία, καὶ τρίτη γίνεται πρὸς ἀπεσταλμένους ἐκ τῶν Φαρισαίων, καὶ βουλομένους τι μαθεῖν, τί δήποτε βαπτίζει, μήτε Χριστὸς, μήτε Ἠλίας, μήτε ὁ προφήτης τυγχάνων, ἐν τῷ· « Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε, ὁ ὀπίσω μου ἐρχόμενος, οὗ οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος· » ἢ μέρος τῆς δευτέρας ἐστὶ καὶ τὸ ἀπαγγελλόμενον πρὸς τοὺς Φαρισαίους. Ἐγὼ δ', ὅσον ἐκ τῆς λέξεως στοχάσασθαι, εἴποιμ' ἂν τρίτην εἶναι μαρτυρίαν τὸν πρὸς τοὺς ἀποσταλέντας ἀπὸ τῶν Φαρισαίων λόγον. Παρατηρητέον μέντοιγε, ὅτι ἡ πρώτη μαρτυρία τὸ ἔνθεον τοῦ Σωτῆρος παρίστησιν· ἡ δὲ δευτέρα τὴν ὑπόνοιαν τῶν δισταζόντων, μήποτε Ἰωάννης εἴη Χριστὸς, καθαιρεῖ· ἡ δὲ τρίτη τὸν ἀοράτως τοῖς ἀνθρώποις παρόντα κηρύττει ὅσον οὐδέπω ἐλευσόμενον. Πρὶν δὲ τῶν ἑξῆς μαρτυριῶν, καθ' ἃς δεικνύμενος μαρτυρεῖται, ἑκάστην λέξιν ἴδωμεν τῆς δευτέρας, καὶ τρίτης μαρτυρίας, τοῦτο πρῶτον ἐπιτηρήσαντες, ὅτι δύο ἀποστολαὶ γίνονται πρὸς τὸν Βαπτιστὴν, μία μὲν « ἀπὸ Ἱεροσολύμων » ὑπὸ Ἰουδαίων πεμπόντων « ἱερεῖς καὶ Λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ; » ἑτέρα δὲ Φαρισαίων ἀποστελλόντων, καὶ πρὸς τὴν γεγενημένην

A stus [55], » veritatis confessionem edidit, nec, ut aliquis suspicari posset, per hæc verba, « Non sum ego Christus, » negavit; neque enim negatio est, ad Christi gloriam dicere se non esse Christum. Cæterum cum audissent qui missi fuerant ex Hierosolymorum urbe sacerdotes et Levitæ, ipsum non esse Christum exspectatum, de secundo qui sperabatur [nempe Elia], cujus nomen magni apud ipsos fiebat, percunctantur num ipse ille esset. Quo dicente se non esse Eliam, rursus dicendo, « Non sum [56], » fatetur verum. Quoniam vero prophetæ multi cum essent in Israel, unus quispiam præcipue exspectabatur prophetatus a Mose, juxta verbum illud dicens [57]: « Prophetam vobis suscitabit Dominus Deus noster ex fratribus vestris, sicut me:
B **109** ipsum audite; et omnis anima, quæ non audierit prophetam illum, ex populo suo exterminabitur; » tertio interrogant non si propheta esset, sed an propheta ille. Et hoc non ponentibus illis nomen de Christo, sed alterum esse ipsum præter Christum existimantibus, ipse cognoscens illum, cujus præcursor est (nempe quod Christus est, quod propheta est ille prophetatus), respondet, « Non [58], » responsurus fortasse, « Næ » [quæ vox est assentientis], si absque articulo interrogassent, cum non ignoraret se prophetam exsistere. In omnibus his etiam responsionibus secundum Joannis testimonium non absolutum fuit, donec petentibus responsionem renuntiandam his qui eos miserant,
C seipsum e voce prophetica Isaiæ manifestavit, quæ sic sese habet: « Vox clamantis in deserto: Parate viam Domini [59]. »

5. Quæsitu autem dignum est utrum absolutum sit secundum testimonium, et tertium incipiat ad eos qui miserant ex Pharisæis, et volentes intelligere cur tandem baptizaret [60], cum neque Christus, neque Elias, neque propheta exsisteret, in illis verbis [61]: « Ego baptizo in aqua: sed in medio vestrum stat quem vos nescitis. Ipse est, qui post me veniens, ante me factus est; cujus non sum ego dignus, ut solvam corrigiam ejus calceamenti; » an pars secundi testimonii sit responsio ad Pharisæos. Verum ego, quantum conjectare ex lectione valeo, dicturus sum tertium testimonium esse responsio-
D nem ad eos qui missi fuerant ex Pharisæis. Observandum insuper quod primum testimonium divinitatem Servatoris demonstrat; alterum suspicionem ambigentium, num forte Joannes esset Christus, purgat; tertium invisibiliter hominibus præsentem prædicat illico venturum. Verum ante testimonia sequentia, ex quibus qui demonstratur, testimonium accipit, videamus singulas dictiones secundi et tertii testimonii: hoc primum observantes, duas legationes fieri ad Baptistam, alteram « ex Hierosolymis » a Judæis mittentibus « sacerdotes et Levitas, ut interrogarent eum: Tu quis es [62]? » alte-

[55] Joan. I, 20. [56] ibid. 21. [57] Deut. XVIII, 18, 19. [58] Joan. I, 21. [59] Isa. XL, 3; Joan. I, 23. [60] Joan. I, 25. [61] ibid. 26, 27. [62] ibid. 19.

tam a Pharisæis mittentibus, atque præter factam responsionem sacerdotibus et Levitis, dubia moventibus. Observa ergo quomodo propter personam sacratam et Leviticam, cum mansuetudine atque discendi aviditate dicuntur ea verba : « Tu quis es? » et illud : « Quid ergo? Elias es tu? » et illud : « Num propheta ille es tu? » et ad hæc : « Quis es, ut responsum demus his, qui miserunt nos? quid dicis de te ipso [63] ? » Neque enim quidquam præfractum temerariu ve inest in horum interrogatione, sed omnia **110** convenientia veris Dei cultoribus. Cum contra qui missi fuerant a Pharisæis, Levitis alioqui et sacerdotibus, minime anxie disquirentibus ea quæ dicta fuerant, vocibus veluti contumeliosis et inhumanioribus cum Baptista agunt, per illud [64] : « Quid ergo baptizas, si tu non es Christus, neque Elias, neque ille propheta? » Et fere non intelligere volentes, veluti prædicti Levitæ et sacerdotes, hi mittunt, sed prohibere volentes a baptizando; cum fortassis existimarent ad nullum alium pertinere baptizare quam ad Christum, vel ad Eliam, vel ad prophetam. Jam qui accurate Scripturam legere voluerit, diligentiam is adhibeat oportet, observare necessarium cum sit quæ dicuntur, a quibus et quando dicuntur, ut per totos sanctos libros inveniamus personis apte tributum sermonem.

A ἀπόκρισιν τοῖς ἱερεῦσι καὶ Λευΐταις ἐπαπορούντων. Παρατήρει τοίνυν, πῶς κατὰ τὸ ἱερατικὸν καὶ Λευϊτικὸν πρόσωπόν ἐστι μεθ' ἡμερότητος λεγόμενα καὶ φιλομαθείας, τὸ, « Σὺ τίς εἶ; » καὶ τὸ, « Τί οὖν; σὺ Ἠλίας εἶ; » καὶ τὸ, « Ὁ προφήτης ἄρα εἶ σύ; » καὶ ἐπὶ τούτοις· « Τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς; τί λέγεις περὶ σεαυτοῦ; » Οὐδὲν γὰρ αὔθαδες οὐδὲ θρασὺ ἐν τῇ τούτων ἐστὶ πεύσει, ἀλλὰ πάντα ἁρμόττοντα ἀκριβέσι θεραπευταῖς Θεοῦ. Οἱ δὲ ἀπὸ τῶν Φαρισαίων ἀποστειλάμενοι, οὐδὲν περιεργασαμένων πρὸς τὰ εἰρημένα τῶν Λευΐτῶν καὶ ἱερέων, οἱονεὶ ὑβριστικὰς καὶ ἀπανθρωποτέρας προσάγουσι τῷ Βαπτιστῇ φωνὰς διὰ τοῦ· « Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὐδὲ Ἠλίας, οὐδὲ ὁ προφήτης; » Καὶ σχεδὸν οὐ μαθεῖν βουλόμενοι, ὡς οἱ προειρημένοι B ἱερεῖς καὶ Λευΐται ἀποστέλλουσιν, ἀλλὰ κωλῦσαι ἀπὸ τοῦ βαπτίζειν· ἴσως οἰόμενοι οὐδενὸς ἑτέρου ἔργον τυγχάνειν τὸ βαπτίζειν ἢ Χριστοῦ, καὶ Ἠλίου, καὶ τοῦ προφήτου. Καὶ πανταχοῦ ἐπιμέλειαν τὸν ἀκριβῶς ἐντευξόμενον τῇ Γραφῇ ποιητέον, τηρεῖν ἀναγκαίου ὄντος τὰ λεγόμενα ὑπὸ τίνων, καὶ πότε λέγεται, ἵνα εὑρίσκωμεν τὸ τοῖς προσώποις ἁρμοζόντως περιτεθεῖσθαι λόγους δι' ὅλων τῶν ἁγίων βιβλίων.

6. ***Tunc miserunt Judæi ab Hierosolymis sacerdotes et Levitas, ut interrogarent eum : Tu quis es? Et confessus est, et non negavit : et confessus est : Non sum ego ille Christus*** [65]. Quos mittere legatos ad Joannem Judæi debebant, et unde, nisi eos qui præcellere existimabantur, et ab Hierosolymorum loco super omnem terram bonam celebrato, ubi templum erat Dei? Joannem itaque tanto cum honore interrogant. De Christo vero nihil tale Judæos fecisse scriptum est. Sed quod Judæi erga Joannem faciunt, hoc Joannes erga Christum fecit, per suos discipulos interrogans [66] : « Tu es qui venturus es, an alium exspectamus? » Et Joannes quidem ad eos qui venerant, confessus cum fuisset et non negasset, subinde illud [67], « Ego vox clamantis in deserto, » enuntiat; Christus vero, tanquam qui majus testimonium quam Joannes haberet, responsionem facit sermonibus et operibus, dicens [68] : « Ite, et renuntiate Joanni quæ auditis et videtis : cæci visum recipiunt, claudi ambulant, leprosi mundantur, surdi audiunt, pauperes lætum accipiunt Evangelii nuntium; » de quibus commodius, Deo dante, in suis disputabimus locis. Fortasse autem non sine causa quis instaret, cur tandem sacerdotibus et Levitis interrogantibus Joannem, non si ipse esset Christus, sed, « Tu quis es? » respondet Baptista non id quod par erat ad illud, « Tu quis es? »—« Ego vox clamantis in deserto, » sed quod apte dictum fuisset, si interrogassent, Tu es Christus? Conveniebat enim ad illud : Es tu ille Christus? illud : « Ego non sum Christus; » ad **111** illud vero : « Tu quis es? »—« Ego vox clamantis

6. ***Τότε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ; Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγησεν, ὅτι Ἐγὼ οὐκ εἰμὶ ὁ Χριστός.*** C Καὶ τίνας ἐχρῆν πρεσβύτας πεπέμφθαι πρὸς τὸν Ἰωάννην ἀπὸ Ἰουδαίων, καὶ πόθεν, ἢ τοὺς διαφέρειν νενομισμένους κατ' ἐκλογὴν Θεοῦ ἀπὸ τοῦ ἐξειλεγμένου παρὰ πᾶσαν τὴν λεγομένην γῆν ἀγαθὴν τόπου Ἱεροσολύμων, ἔνθα ὁ ναὸς ἦν τοῦ Θεοῦ; Ἰωάννου μὲν οὖν μετὰ τοσαύτης πυνθάνονται τιμῆς· περὶ Χριστοῦ δὲ οὐδὲν τοιοῦτον ἀναγέγραπται γεγονέναι ὑπὸ Ἰουδαίων· ἀλλ' ὥσπερ Ἰουδαῖοι πρὸς Ἰωάννην ποιοῦσι, τοῦτο Ἰωάννης πρὸς Χριστὸν διὰ τῶν ἰδίων μαθητῶν πυνθανόμενος· « Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; » Καὶ Ἰωάννης μὲν πρὸς τοὺς ἐληλυθότας ὁμολογήσας καὶ μὴ ἀρνησάμενος ὕστερον τὸ, « Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, » ἀποφαίνεται· Χριστὸς δὲ τὴν ἀπόκρισιν ποιεῖται, ὡς μείζονα τὴν μαρτυρίαν Ἰωάννου ἔχων D λόγοις καὶ ἔργοις φάσκων· « Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ βλέπετε καὶ ἀκούετε· τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, πτωχοὶ εὐαγγελίζονται· » περὶ ὧν εὐκαιρότερον, Θεοῦ διδόντος, ἐν τοῖς οἰκείοις διαληψόμεθα τόποις. Ἴσως δ' ἂν οὐκ ἀλόγως τις ἐπιστήσει, τί δήποτε τῶν ἱερέων καὶ Λευΐτῶν πυνθανομένων Ἰωάννου οὐχὶ, εἰ αὐτὸς εἴη ὁ Χριστὸς, ἀλλά· « Σὺ τίς εἶ; » ἀποκρίνεται ὁ Βαπτιστὴς οὐχ ὅπερ ἐχρῆν πρὸς τὸ, « Σὺ τίς εἶ; »—« Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, » ἀλλ' ὅπερ οἰκείως ἂν ἐλέγετο εἰ ἦσαν πυθόμενοι· Σὺ εἶ ὁ Χριστός; Ἥρμοσε γὰρ πρὸς τὸ, Σὺ εἶ ὁ Χριστός; τὸ, « Ἐγὼ οὐκ εἰμὶ ὁ Χριστός· » πρὸς δὲ τὸ, « Σὺ τίς εἶ; » τὸ, « Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ

[63] Joan. I, 21, 22. [64] ibid. 25. [65] ibid. 19, 20. [66] Matth. XI, 3. [67] Joan. XI, 23. [68] Matth. XI, 4, 5.

ἐρήμῳ. » Λεκτέον δὲ πρὸς τοῦτο, ὅτι, ὡς εἰκὸς, ἑώρα A ἀπὸ τῆς πεύσεως τὸ εὐλαβὲς τῶν ἱερέων καὶ Λευϊτῶν, ἐμφαινόντων μὲν. ὑπόνοιαν ὑπολήψεως, μήποτ' εἴη βαπτίζων Χριστὸς, γυμνότερον δὲ ὀνομάσαι τοῦτο ὑπὲρ τοῦ μὴ δοκεῖν εἶναι προπετεῖς φυλαττομένων. Ὅθεν εὐλόγως ὑπὲρ τοῦ πᾶσαν ὑπόνοιαν αὐτῶν πρῶτον περιαιρεθῆναι ψευδῆ τὴν περὶ ἑαυτοῦ, εἶθ' οὕτως παραστῆσαι τὸ ἀληθὲς, τὸ οὐκ εἶναι Χριστὸς πρὸ πάντων ἀποφαίνεται. Δηλοῖ δὲ τὸ τοιοῦτόν τι αὐτοὺς ὑπονενοηκέναι ἡ δευτέρα ἐρώτησις, καὶ ἔτι ἡ τρίτη. Ἐπεὶ γὰρ καὶ δεύτερον τῇ τιμῇ ἐλπιζόμενον μὲν καὶ μετὰ Χριστὸν αὐτοῖς τετιμημένον Ἠλίαν εἶναι ὑπελάμβανον, ἀποφαινομένου τοῦ Ἰωάννου ὡς οὐκ εἴη ὁ Χριστὸς, ἠρώτησαν· « Τί οὖν; σὺ Ἠλίας εἶ; Καὶ εἶπεν· Οὐκ εἰμί. » Τὸ τρίτον εἰ αὐτὸς εἴη ὁ προφήτης βούλονται μαθεῖν· οὗ ἀποκριναμένου τὸ, B « Οὔ, » οὐκέτι ἔχοντες ἰδικῶς ὄνομα ἐλπιζομένου ἐπιδημήσειν αὐτοῖς εἰπεῖν, φασί· « Τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς; τί λέγεις περὶ σεαυτοῦ; » τοῦτο δηλοῦντες· Ταῦτα μὲν οὐκ εἶ, ἅπερ ἐλπιζόμενα τῷ Ἰσραὴλ παρέσεσθαι προσδοκᾶται· ὅστις δὲ ὢν βαπτίζεις, οὐκ ἴσμεν. Διόπερ τοῦτο ἡμᾶς δίδαξον, ἵν' ἔχωμεν ἀπαγγεῖλαι τοῖς ἡμᾶς διὰ τοῦτο πέμψασι πρὸς σέ. Ἔτι δὲ καὶ τοῦτο ἐχόμενον τῶν προκειμένων προσθήσομεν, ὅτι ὁ καιρὸς τῆς Χριστοῦ ἐπιδημίας ἔσαινε τὸν λαὸν, ἤδη πως ἐνεστηκὼς περὶ τὰ ἔτη τὰ ἀπὸ τῆς γενέσεως τοῦ Ἰησοῦ, καὶ ὀλίγῳ ἀνωτέρω μέχρι τῆς ἀναδείξεως τοῦ κηρύγματος. Διόπερ, ὡς εἰκὸς, τῶν Γραμματέων καὶ νομικῶν τὸν ἐλπιζόμενον, ἀπὸ τῶν θείων Γραφῶν καταγαγόντων αὐτοῦ τὸν χρόνον, ἤδη προσδοκώντων, C ἐπεφύησαν (83) Θευδᾶς, οὐκ ὀλίγον πλῆθος, ὡς ὁ Χριστὸς, οἶμαι, συναγαγὼν, καὶ « μετ' ἐκεῖνον Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς τῆς ἀπογραφῆς ἡμέραις. » Εἰκὸς οὖν, θερμότερον τῆς Χριστοῦ ἐπιδημίας προσδοκωμένης καὶ λαλουμένης, Ἰουδαῖοι ἀπὸ Ἱεροσολύμων τοὺς ἱερεῖς καὶ Λευΐτας πέμπουσι πρὸς τὸν Ἰωάννην, διὰ τοῦ· « Σὺ τίς εἶ; » μαθεῖν βουλόμενοι εἰ αὐτὸς Χριστὸς εἶναι ὁμολογήσει.

in deserto [69]. » Dicendum vero ad hoc quod ex interrogatione videbat Joannes (ut probabile erat) timiditatem Levitarum et sacerdotum præ se ferentium quidem suspicionem opinionis, num forte is qui baptizat esset Christus, sed apertius illud nominare, ne viderentur petulantes, caventium. Unde jure, ut in primis omnem ipsorum suspicionem tolleret quam de seipso falsam habebant, deinde sic ostenderet veritatem, ante omnia enuntiat illud : « Non sum ego Christus [70]. » Declarat autem tale quiddam suspicatos eos fuisse secunda atque etiam tertia interrogatio. Eliam enim cum venturum sperarent, atque plurimi facerent, eum esse suspicantes honore ipsi Christo proximum atque secundum, enuntiante Joanne se non esse Christum, interrogant : « Quid ergo? Elias es tu? Et dixit : Non sum [71]; » tertio num ipse esset ille propheta scire volunt ; quo respondente, « Non, » cum non amplius possent dicere privatim nomen alicujus qui ad se accessurus speraretur, inquiunt, « Quis es, ut responsum demus his qui miserunt nos? quid dicis de teipso [72]? » hoc innuentes : Hæc quidem non es quæ Israeli futura exspectantur : qualis autem sis, qui baptizas, nescimus ; quare isthuc nos doceto, ut possimus renuntiare his qui hanc ob causam nos ad te miserunt. Rursus vero etiam hoc his quæ proposita sunt, proximum addemus, videlicet quod tempus adventus Christi commoverat populum, quod quidem tempus jam aliquo modo instabat circa annos qui erant ab ortu Jesu, et paulo superius usque ad demonstrationem prædicationis. Quocirca, Scribis et legisperitis, ut probabile erat, jam exspectantibus eum, qui sperabatur, quia tempus illius e divinis Scripturis collegerant, tumultuatus est Theudas non parva multitudine congregata, tanquam, opinor, Christus esset, « et post illum Judas Galilæus in diebus professionis [73]. » Consentaneum ergo est, cum Christi adventus ferventius exspectaretur divulgareturque, Judæos ab Hierosolymis sacerdotes et Levitas misisse ad Joannem, per illud, « Tu quis es [74]? » discere volentes num fateretur seipsum esse Christum.

7. *Καὶ ἠρώτησαν αὐτόν· Τί οὖν; σὺ Ἠλίας* D *εἶ; Καὶ λέγει· Οὐκ εἰμί*. Τίς οὐκ ἂν ζητήσαι τῶν ἀκουόντων Ἰησοῦ λέγοντος περὶ Ἰωάννου, « Εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι, » πῶς πρὸς τοὺς ἐρωτῶντας τὸ, « Σὺ Ἠλίας εἶ; » λέγει ὁ Ἰωάννης· « Οὐκ εἰμί; » πῶς δὲ καὶ νοῆσαι δεῖ τὸν Ἰωάννην αὐτὸν εἶναι Ἠλίαν τὸν μέλλοντα ἔρχεσθαι κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Μαλαχίου οὕτως ἔχον· « Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, πρὶν ἐλθεῖν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἔλθω καὶ πατάξω τὴν γῆν ἄρδην; » Καὶ ὁ τοῦ ὀφθέντος δὲ τῷ Ζαχαρίᾳ ἀγγέλου Κυρίου ἑστῶ-

7. *Et interrogaverunt eum : Quid ergo? Elias es tu? Et dicit : Non sum* [75]. Verum enimvero quis audiens Jesum dicentem de Joanne, « Si vultis accipere, ipse est Elias qui venturus est [76], » non quæsiturus sit, quonam pacto ad interrogantes, « Elias es tu? » dicat Joannes : « Non sum? » atque etiam quomodo opus sit intelligere Joannem esse Eliam venturum, juxta id quod a Malachia 112
est dictum, sic habens : « Et ecce ego mitto vobis Eliam Thesbiten, antequam veniat dies Domini magna et manifesta, qui restituet cor patris erga filium, et cor hominis erga proximum suum, ne veniam, et percutiam terram funditus [77]? » Quin angeli oratio ad Zachariam stantis a dextris altaris

[69] Joan. I, 19, 23. [70] ibid., 20. [71] ibid., 21. [72] ibid., 22. [73] Act. v, 36, 37. [74] Joan. I, 19. [75] ibid. 21. [76] Matth. XI, 14. [77] Malach. IV, 5, 6.

(83) *Ἐπεφύησαν*. Legendum videtur, ἐπεφρύαξεν.

incensi, quem ipse etiam Zacharias conspexit, simile quiddam his quæ dixit Malachias per hæc verba ostendit: « Et uxor tua Elisabeth pariet tibi filium; et vocabis nomen ejus Joannem [78]; » et post pauca [79]: « Ipse præcedet coram ipso cum spiritu et virtute Eliæ, ut convertat corda patrum ad filios, et contumaces ad prudentiam justorum, ut præparet Domino populum instructum. » Ad primum igitur aliquis dicet Joannem ignorasse seipsum esse Eliam; et fortassis hac ratione usuri sunt qui favent opinioni eorum qui ponunt transcorporationem; perinde quasi anima subinde induat corpora, prorsus immemor anteactæ vitæ. Sed et hi ipsi dicturi sunt aliquos ex Judæis huic dogmati assentientes de Servatore dixisse [79*] eum fortassis unum quempiam esse ex veteribus prophetis, qui resurrexisset non ex monumentis, sed ab ortu. Qui fieri enim poterat ut palam cum innotuisset Mariam ipsius esse matrem [80], putareturque Joseph faber illi pater esse, existimarent eum unum quemdam ex prophetis exsistere a mortuis resuscitatum? Quin etiam illo testimonio Geneseos hi utentes, « Delebo universam resurrectionem [81], » statuent in certamine virum ab hoc dogmate stantem, gnarum solvendi e Scripturis divinis fallaces probabilitates adductas. Cæterum alius ecclesiasticus orationem eam quæ astruat transcorporationem, veluti falsam respuens, nec admittens Joannis animam aliquando Eliam fuisse, prædicta oratione angeli usurus est, qui non nominaverit Eliæ animam in ortu Joannis, sed spiritum et virtutem, per hæc verba: « Et ipse præcedet coram ipso cum spiritu et virtute Eliæ, ut corda patrum ad filios convertat [82], » infinitis Scripturarum locis ostendere valens aliud esse spiritum et id quod nominatur virtus **113** spiritus, aliud esse animam: de quibus tempestivum non est nunc multa in medium afferre, ne in immensum orationem protrahamus. Satis magnam vim habebit nunc ad persuadendum quidem virtutem differre a Spiritu, illud [83]: « Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi; » ad ostendendum vero eos spiritus qui sunt in prophetis (ut qui illis a Deo donati sint) veluti illorum mancipia esse, istud [84], « Spiritus prophetarum prophetis subjiciuntur, » et illud [85]: « Requievit spiritus Eliæ super Elisæum. » Isto enim modo nihil absurdi erit, inquiet, ut Joannes convertens in spiritu et virtute Eliæ corda patrum ad filios [86], dica-

A τος ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος λόγος πρὸς τὸν Ζαχαρίαν παραπλήσιόν τι ἐμφαίνει τοῖς ὑπὸ τοῦ Μαλαχίου εἰρημένοις διὰ τούτων· « Καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· » καὶ μετ' ὀλίγα· « Αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. » Πρὸς δὴ τὸ πρῶτον ὁ μέν τις ἐρεῖ, ὅτι ἑαυτὸν ἠγνόει Ἰωάννης Ἠλίαν ὄντα· καὶ τάχα τούτῳ χρήσονται οἱ ἐκ τούτων τῷ περὶ μετενσωματώσεως παριστάμενοι λόγῳ, ὡς τῆς ψυχῆς μεταμφιεννυμένης σώματι, καὶ οὐ πάντως μεμνημένης τῶν προτέρων βίων. Οἱ δ' αὐτοὶ οὗτοι ἐροῦσι καί τινας τῶν Ἰουδαίων (84) τῷ δόγματι
B συγκατατιθεμένους περὶ Σωτῆρος εἰρηκέναι, ὡς ἄρα εἴ τις εἴη τῶν ἀρχαίων προφητῶν ἀναστὰς οὐκ ἀπὸ τῶν μνημείων, ἀλλ' ἀπὸ τῆς γενέσεως. Πῶς γὰρ ἐδύνατο, σαφῶς δεικνυμένης τῆς μητρὸς αὐτοῦ Μαρίας, ὑπολαμβανομένου τε πατρὸς αὐτῷ τυγχάνειν Ἰωσὴφ τοῦ τέκτονος, νομίζειν ἕνα τινὰ τῶν προφητῶν αὐτὸν τυγχάνοντα ἐγηγέρθαι ἀπὸ τῶν νεκρῶν; Καὶ τῷ, « Ἐξαλείψω πᾶσαν τὴν ἐξανάστασιν (85), » ἀναγεγραμμένῳ ἐν τῇ Γενέσει οἱ αὐτοὶ χρώμενοι τὸν πεφροντικότα πιθανότητας ἀπατηλὰς προσαγομένας ἀπὸ τῶν Γραφῶν λύειν εἰς ἀγῶνα περιστήσουσιν ἱστάμενον πρὸς τὸ δόγμα. Ἕτερος δέ τις (86) ἐκκλησιαστικὸς τὸν περὶ μετενσωματώσεως ἀποπτύων ὡς ψευδῆ λόγον (87), μὴ προσιέμενος τὸ τὴν ψυχὴν
C Ἰωάννου Ἠλίαν ποτὲ γεγονέναι, τῷ προειρημένῳ λόγῳ τοῦ ἀγγέλου χρήσεται, ψυχὴν Ἠλίου μὴ ὀνομάσαντος ἐπὶ τῆς Ἰωάννου γενέσεως, ἀλλὰ πνεῦμα καὶ δύναμιν διὰ τοῦ, « Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι, καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, » διὰ μυρίων δυνάμενος ἀποδεικνύναι Γραφῶν, ἕτερον εἶναι τὸ πνεῦμα τῆς ψυχῆς, καὶ τὴν ὀνομαζομένην δύναμιν τοῦ πνεύματος καὶ τῆς ψυχῆς, περὶ ὧν οὐκ εὔκαιρον νῦν παρατίθεσθαι τὰ πολλά, ἵνα μὴ πάνυ τὸν λόγον περισπάσωμεν. Ἀρκεσθήσεται δὲ ἐπὶ τοῦ παρόντος πρὸς μὲν τὸ διαφέρειν δύναμιν πνεύματος τὸ, « Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· » πρὸς δὲ τὰ ἐν τοῖς προφήταις πνεύματα, ἅτε δεδωρημένα αὐτοῖς ὑπὸ Θεοῦ, οἱονεὶ ἐκείνων ὀνομά-
D ζεσθαι κτήματα, τὸ, « Πνεύματα προφητῶν προφήταις ὑποτάσσεται, » καὶ τὸ, « Ἀναπέπαυται τὸ πνεῦμα Ἠλίου ἐπὶ Ἐλισσαιέ. » Οὕτω γὰρ οὐδὲν ἄτοπον, φησὶν, ἔσται τὸν Ἰωάννην, ἐν πνεύματι καὶ δυνάμει Ἠλίου ἐπιστρέφοντα καρδίας πατέρων ἐπὶ

[78] Luc. I, 13. [79] ibid. 17. [79*] Matth. XVI, 14. [80] Matth. XIII, 55. [81] Gen. VII, 4. [82] Luc. I, 17. [83] Luc. I, 35. [84] I Cor. XIV, 32. [85] IV Reg. II, 15 [86] Luc. I, 17.

(84) *Τινὰς τῶν Ἰουδαίων*, etc. Origenes *in Matth.* XIV, 1, tom. X, pag. 468: Λέγοι δ' ἄν τις τὴν τῆς μετενσωματώσεως ψευδοδοξίαν γεγονέναι ἐν τῷ Ἡρώδῃ καί τισι τῶν ἀπὸ τοῦ λαοῦ, ἀφ' ἧς ᾤοντο τόν ποτε Ἰωάννην ἐν γενέσει γενέσθαι, καὶ ἐκ νεκρῶν ἐληλυθέναι εἰς τὸν βίον, ὡς Ἰησοῦν.

(85) *Πᾶσαν τὴν ἐξανάστασιν*. Vulgo legitur apud τοὺς Ο', πᾶν τὸ ἀνάστημα. Vide Flamin. Nobilium.

(86) *Ἕτερος δέ τις*, etc. Sic recte habet cod. Bodleian.; male autem Regius, ἕτερον δέ τις, etc. Origenes *in Matth.* XV, 26, tom. XI, pag. 506: Ἄλλοι μὲν οὖν ὑπολαμβανέτωσαν ξένοι τοῦ ἐκκλησιαστικοῦ λόγου μεταβαίνειν τὰς ψυχὰς ἀπὸ σωμάτων ἀνθρώπων ἐπὶ σώματα κύνεια κατὰ τὴν διάφορον κακίαν, etc. Et *in Matth.* XVII, 10, tom. XIII, p. 570: Ἠλίας οὖν ὁ Ἰωάννης οὐ διὰ τὴν ψυχὴν λέλεκται, ἀλλὰ διὰ τὸ πνεῦμα καὶ τὴν δύναμιν, ἅτινα οὐδὲν λυπεῖ τὸν ἐκκλησιαστικὸν λόγον.

(87) *Ὡς ψευδῆ λόγον*. Sic codex Bodleianus, recte; male vero Regius, ὥστε λόγον.

τέκνα, διὰ τοῦτο τὸ πνεῦμα « Ἠλίαν » λέγεσθαι A
« τὸν μέλλοντα ἔρχεσθαι. » Εἰς παραμυθίαν δὲ τούτων καὶ τούτῳ χρήσεται τῷ λόγῳ· Εἰ ὁ τῶν ὅλων Θεὸς οἰκειωθεὶς τοῖς ἁγίοις αὐτῶν γίνεται, οὕτως ὀνομαζόμενος Θεὸς Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακὼβ, πόσῳ πλέον τὸ ἅγιον Πνεῦμα οἰκειωθὲν τοῖς προφήταις πνεῦμα αὐτῶν χρηματίζειν οἷόν τε ἔσται, ἵν' ᾖ οὕτως πνεῦμα Ἠλίου, καὶ πνεῦμα Ἡσαΐου, λεγόμενον τὸ πνεῦμα; Ὁ αὐτός τε οὗτος ἐκκλησιαστικὸς ἐρεῖ δύνασθαι μὲν τοὺς ὑπειληφότας τῶν προφητῶν εἶναι τὸν Ἰησοῦν ἀναστάντα ἐκ νεκρῶν ἠπατῆσθαι, κατά τε τὸ προειρημένον δόγμα, καὶ κατὰ τὸ ὑπολαμβάνειν αὐτὸν ἕνα τῶν προφητῶν τυγχάνειν, δύνασθαι δὲ, πρὸς τὸ κατὰ τὸ νομίζειν αὐτὸν τῶν προφητῶν εἶναι ἕνα, πταίειν, καὶ ψευδοδοξεῖν, καὶ κατὰ τὸ ἀγνοεῖν αὐτοῦ τὸν λεγόμενον πα- B
τέρα, καὶ τὴν οὖσαν μητέρα, οἴεσθαί τε αὐτὸν ἀπὸ τῶν μνημείων ἐγηγέρθαι. Καὶ πρὸς τὸ ἐν Γενέσει τε περὶ τῆς ἐξαναστάσεως ἀπαντήσεται ὁ ἐκκλησιαστικὸς χρώμενος τῷ, « Ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν, » τῆς ἐξαναστάσεως καὶ ἐπὶ γενέσεως κειμένης. Οὗτος δὲ πρὸς τὸ πρῶτον ἀπορηθὲν ἑτέρως παρὰ τὸν ὑπολαμβάνοντα μετενσωμάτωσιν ἀπολογούμενος ἐρεῖ διὰ μὲν τὰ ἀρτίως κατασκευασθέντα λόγῳ τινὶ εἶναι τὸν Ἰωάννην Ἠλίαν τὸν μέλλοντα ἔρχεσθαι, ἀποκεκρίσθαι δὲ πρὸς τοὺς ἱερεῖς καὶ Λευΐτας τὸ, « Οὐκ εἰμὶ, » στοχασάμενον τοῦ βουλήματος τῆς ἐρωτήσεως αὐτῶν. Οὐ γὰρ τοῦτο ἤθελεν ἡ προλεγομένη ἐξέτασις τῷ Ἰωάννῃ ἀπὸ τῶν ἱερέων καὶ Λευϊτῶν, τὸ C
μαθεῖν εἰ τὸ αὐτὸ πνεῦμα ἐν ἀμφοτέροις ἐτύγχανεν, ἀλλ' εἰ ὁ Ἰωάννης αὐτὸς Ἠλίας ὁ ἀναληφθεὶς, νῦν ἐπιφαινόμενος κατὰ τὸ Ἰουδαίοις προσδοκώμενον χωρὶς γενέσεως, ἣν τάχα καὶ ἠγνόουν οἱ ἀπὸ Ἱεροσολύμων ἀποσταλέντες· πρὸς ἣν πεῦσιν εἰκότως ἀποκρίνεται τὸ, « Οὐκ εἰμὶ, » οὐ γὰρ Ἠλίας ὁ ἀναληφθεὶς ἀμείψας σῶμα ἐληλύθει ὁ Ἰωάννης ὀνομαζόμενος. Ὁ δὲ πρῶτος, οὗ τὸν νοῦν παρεθήκαμεν, οἰομένου μετενσωμάτωσιν ἐντεῦθεν κατασκευάζεσθαι, προσδιατρίβων τῇ βασάνῳ τῆς λέξεως, ἐρεῖ πρὸς τὸν δεύτερον, ὅτι οὐκ ἀκόλουθον τὸν τηλικούτου ἱερέως Ζαχαρίου υἱὸν ἐπὶ γήρᾳ γεγεννημένον ἀμφοτέροις γονεῦσι παρὰ πᾶσαν ἀνθρωπίνην προσδοκίαν ἀγνοεῖσθαι ὑπὸ τῶν τοσούτων ἐν Ἱεροσολύμοις Ἰουδαίων, καὶ τῶν πεμφθέντων ὑπ' αὐτῶν Λευϊτῶν D
καὶ ἱερέων, οὐ γινωσκόντων τὸ γεγενῆσθαι αὐτὸν, καὶ μάλιστα Λουκᾶ μαρτυροῦντος, ὅτι « ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτοὺς » (δῆλον δὲ, ὅτι τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ), « καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. » Εἰ δὲ οὐκ ἠγνοεῖτο ἡ ἐκ Ζαχαρίου γένεσις Ἰωάννου, ἔπεμπον δὲ οἱ ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι διὰ τῶν Λευϊτῶν καὶ ἱερέων πευσόμενοι τὸ, « Σὺ Ἠλίας εἶ; » δῆλον, ὅτι τοῦτο ἔλεγον τὸ περὶ μετενσωματώσεως δόγμα οἰόμενοι εἶναι ἀληθὲς, ὡς πάτριον τυγχάνον, καὶ οὐκ ἀλλότριον τῆς ἐν ἀποῤῥήτοις διδασκαλίας αὐτῶν. Διὰ τοῦτο οὖν λέγει, « Οὐκ

[87] Matth. xi, 14. [88] Exod. iii, 6, 15, 16; iv, 5. [89] cap. i, vers. 65. [90] ibid. [91] Joan. i, 19, 21.

A tur propter hunc spiritum « Elias qui venturus est[87]; » ad quorum confirmationem etiam hac ratione utetur: Si universorum Deus familiaris factus sanctis, Deus ipsorum fit, sic nominatus Deus Abraham, et Deus Isaac, et Deus Jacob[88], quanto magis Spiritus sanctus familiaris factus prophetis, spiritus ipsorum haberi poterit, ut hunc in modum spiritus dicatur, spiritus Eliæ, et spiritus Isaiæ? Dicetque hic ipse ecclesiasticus, potuisse quidem eos qui suspicati fuissent [unum solumque] prophetarum esse Jesum e mortuis resuscitatum[89], decipi, tum ex prædicto dogmate, tum ex suspicione quod ipse unus ex prophetis esset; sed prætérquam quod existimarent eum unum ex prophetis esse, atque ex monumentis resuscitatum fuisse,
B labi eos etiam, et falsa opinari potuisse, ignorando quisnam pater ipsius diceretur et quænam ejus esset mater. Ad illud etiam quod est in Genesi de voce resurrectionis, occurret ecclesiasticus utens eo testimonio[90]: « Resuscitavit mihi semen aliud Deus pro Abel, quem interfecit Cain, » voce resurrectionis posita, etiam de nativitate. Proinde hic ad primam dubitationem alio modo, quam is qui suspicatur transcorporationem, respondens dicet, per ea quidem, quæ nuper probata sunt, Joannem ratione quadam Eliam esse venturum, respondisse vero sacerdotibus ac Levitis, « Non sum[91], » conjectantem interrogationis ipsorum voluntatem. Nec enim intendebat hæc inquisitio prima Joanni facta
C a sacerdotibus et Levitis, ut discerent an idem spiritus in utroque esset; sed an Joannes esset ille ipse Elias qui assumptus fuerat, nunc apparens, juxta Judæorum exspectationem, absque ortu, quem fortasse etiam ignorabant, qui missi fuerunt ab Hierosolymis; ad quam interrogationem merito respondet: « Non sum; » neque enim Elias ille sursum receptus alternaverat corpus, dictus Joannes. At contra primus ille, cujus sensum **114**
proposuimus existimantis transcorporationem hinc astrui, immorans in examinatione dictionis, dicet ad alterum minime consequens esse Zachariæ tanti sacerdotis filium in senectute utrisque genitum parentibus, præter omnem humanam exspectationem, ignorari a tot Judæis qui erant Hierosolymæ, et ab
D iis qui missi fuerunt ab ipsis Levitis et sacerdotibus nescientibus ipsum natum fuisse, et maxime testificante Luca[92] timorem ingruisse « super omnes vicinos eorum, » (nempe Zachariæ et Elisabethæ), « et quod in tota montana Judææ divulgabantur omnia verba hæc[93]. » Quod si ortus Joannis ex Zacharia non ignorabatur, miserantque Judæi ab Hierosolymis per Levitas et sacerdotes interrogaturi, « Elias es tu[94]? » perspicuum est hoc eos dixisse, verum putantes esse dogma de transcorporatione, [quod] ceu patrium esset ipsorum, et non alienum ab arcana doctrina quæ apud ipsos traditur; addetque etiam hanc ob causam Joannem di-

[89] Luc. ix, 19. [90] Gen. iv, 25. [91] Joan. i, 21.

cere, Non sum Elias, quod ignoraret quodnam vitæ A genus ante transegisset. His igitur non contemnendam probabilitatem habentibus, rursum ecclesiasticus dubitabit contra illum priorem, an illius prophetæ sit qui a Spiritu illuminatur, qui ab Isaia[95] prophetatur, qui a tali tantoque angelo, priusquam nasceretur, prædicitur pariendus[96], qui ex plenitudine Christi accepit, qui gratiam talem ac tantam participavit, qui intellexit veritatem per Jesum Christum factam fuisse, qui talia ac tanta de Deo, ac de ejus Unigenito illo, qui ad sinum Patris est, enarravit[97], mentiri, atque etiam hæsitare, non agnoscentem quod erat. Oportebat enim de rebus obscurioribus assensionem inhibere, neque concedendo, neque tollendo propositionem. Quomodo autem rationi consentaneum non erat, si multorum B tum temporis dogma hoc fuisset, ut dubitaret Joannes de seipso, num quando anima sua in Elia fuerit? Quin ad historiam provocabit ecclesiasticus illum priorem auditurum ab his, qui se scire profitentur quæ apud Hebræos arcana sunt, [et evulgare sit nefas.] num dogma aliquod hujusmodi sit apud ipsos; nam si nullo loco appareat, hoc hunc in modum se habere, perspicuum est illius prioris rationem dissipatam esse. Quamobrem nihilominus ecclesiasticus solutione utetur quam ante explicavimus, adhuc etiam ipse voluntatem interrogantium produci in medium postulans. Nam si illi qui miserunt sciunt, ut probavi, genitum ex Zacharia et Elisabeth Joannem fuisse, atque C etiam multo magis ii qui missi fuerant, ex genere cum essent sacerdotali, quibus clam futura **115** non erat clara atque admiranda soboles Zachariæ cognati tam illustris, quid cogitarunt interrogantes, « Es tu Elias[98]? » viri qui legerant Eliam in cœlos receptum fuisse, et qui exspectabant adventum ejus? Fortassis igitur quoniam consummationis tempore Eliam ante Christum exspectant, et post Eliam Christum, veluti tropice interrogare videntur: Num tu es ille prænuntians venturam ante Christum, consummationis tempore, prædicationem? Et scienter ad hoc respondet: « Non sum[99]. » Præterea vero ecclesiasticus, instans ad ea quæ inquirit alter, qui ostendere tentat non latuisse sacerdotes ortum Joannis adeo manifestum D factum, eo quod divulgata fuerint omnia verba hæc per montana Judææ[1], dicet multos simili errore deceptos fuisse in Servatore, quoniam « alii quidem Joannem Baptistam ipsum, alii autem Eliam, alii vero Jeremiam, aut unum prophetarum » dicerent[2]: quemadmodum et discipuli interroganti Domino[3], cum venisset in partes Cæsareæ Philippi, dixerunt. Quin Herodes dicens: « Quem ego decollavi Joannem, ipse surrexit a mortuis[4], » videtur

A εἰμὶ Ἠλίας, » ὁ Ἰωάννης, ἐπεὶ ἀγνοεῖ τὸν ἴδιον πρότερον βίον. Τούτων δὴ οὐκ εὐκαταφρόνητον πιθανότητα ἐχόντων, πάλιν ὁ ἐκκλησιαστικὸς ἀπορήσει πρὸς τὸν πρότερον, εἰ κατὰ τὸν προφήτην ἐστὶν ὑπὸ τοῦ Πνεύματος φωτιζόμενον, καὶ ὑπὸ Ἡσαΐου προφητευόμενον, ὑπό τε τηλικούτου τοῦ ἀγγέλου, πρὶν γεννηθῆναι, τεχθήσεσθαι προειρημένον, ἐκ τοῦ πληρώματος Χριστοῦ εἰληφότα, χάριτος τηλικαύτης μετεσχηκότα, τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ γεγενῆσθαι νενοηκότα, περὶ Θεοῦ καὶ τοῦ Μονογενοῦς τοῦ εἰς τὸν κόλπον τοῦ Πατρὸς διηγησάμενον τὰ τοσαῦτα, τὸ ψεύσασθαι, καὶ ὅπερ ἦν οὐκ ἐγνωκότα κἂν ἐπισχεῖν. Ἐχρῆν γὰρ περὶ τῶν ἀδηλοτέρων ἐπέχειν ὁμολογεῖν, καὶ μήτε τιθέναι, μήτε αἴρειν τὴν πρότασιν. Πῶς δὲ οὐκ ἦν εὔλογον, εἰ πολλῶν τοῦτο δόγμα ἐτύγχανεν, B ἐπισχεῖν τὸν Ἰωάννην περὶ αὐτοῦ, μήποτε ἡ ψυχὴ αὐτοῦ ποτε ἐν Ἠλίᾳ ἦν; Καὶ ἐπὶ τὴν ἱστορίαν δὲ ὁ ἐκκλησιαστικὸς προκαλέσεται τὸν πρότερον πευσόμενον παρὰ τῶν τὰ ἀπόῤῥητα ἐγνωκέναι παρ' Ἑβραίοις ἐπαγγελλομένων, εἰ τοιοῦτόν τι δόγμα ἐστὶ παρ' αὐτοῖς· ἐὰν γὰρ μηδαμῶς φαίνηται τοῦθ' οὕτως ἔχον, δῆλον, ὅτι ἐσκέδασται ὁ τοῦ προτέρου λόγος (88). Οὐδὲν τοίνυν ἧττον ὁ ἐκκλησιαστικὸς χρήσεται τῇ προαποδεδομένῃ λύσει, ἔτι καὶ αὐτὸς τὸ βούλημα τῶν πυθομένων παραστῆσαι ἀπαιτούμενος. Εἰ γὰρ ὡς κατεσκεύασαν (89) οἱ πέμψαντες ἴσασι γεγενημένον ἐκ Ζαχαρίου καὶ Ἐλισάβετ τὸν Ἰωάννην, καὶ πολλῷ πλέον οἱ πεμφθέντες γένους ὄντες ἱερατικοῦ, οὓς οὐκ ἂν ἔλαθεν ἡ τοῦ οὕτως ἐπιφανοῦς συγγενοῦς Ζαχαρίου C παράδοξος εὐπαιδία, τί νοήσαντες πυνθάνονται τὸ, « Σὺ Ἠλίας εἶ; » ἄνδρες ἀνεγνωκότες ἀνειλῆφθαι αὐτὸν ὡς εἰς τὸν οὐρανὸν, καὶ προσδοκῶντες ἐπιδημίαν αὐτοῦ; Τάχα οὖν ἐπεὶ πρὸς τῇ συντελεί ̣ προσδοκῶσιν Ἠλίαν πρὸ Χριστοῦ, καὶ ἐπὶ τούτῳ Χριστὸν, οἱονεὶ τροπικώτερον φαίνονται ἐρωτῶντες· Εἰ σὺ εἶ ὁ προκαταγγέλλων τὸν πρὸ Χριστοῦ ἐπὶ συντελείᾳ ἐλευσόμενον λόγον; καὶ ἐπιστημόνως πρὸς τοῦτο ἀποκρίνεται τὸ, « Οὐκ εἰμί. » Ἔτι δὲ ὁ ἐκκλησιαστικὸς, ἱστάμενος πρὸς τὰ ἐξητασμένα ὑπὸ τοῦ ἑτέρου ἀποδεικνύναι πειρωμένου, μὴ ἂν λεληθέναι τοὺς ἱερεῖς οὕτως ἐπιφανῆ γεγενημένην τὴν Ἰωάννου γένεσιν διὰ τὸ ἐν τῇ ὀρεινῇ τῆς Ἰουδαίας διαλελαλῆσθαι πάντα τὰ ῥήματα ταῦτα, φήσει τὴν παραπλησίαν ἀπάτην πολλοῖς γεγονέναι καὶ περὶ τοῦ Σωτῆ- D ρος· ἐπεὶ « οἱ μὲν ἔλεγον αὐτὸν Ἰωάννην Βαπτιστὴν, ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν· » ὡς καὶ οἱ μαθηταὶ πυνθανομένῳ τῷ Κυρίῳ γενομένῳ ἐν τοῖς μέρεσι Καισαρείας τῆς Φιλίππου εἰρήκασι. Καὶ ὁ Ἡρώδης δὲ λέγων· « Ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, » περὶ τοῦ Χριστοῦ ἔοικε μὴ εἰδέναι τὰ λεγόμενα ὑπὸ τῶν φασκόντων· « Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; Οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος, καὶ Ἰωσὴφ, καὶ Σίμων,

[95] Isai. XL, 3. [96] Luc. I, 13, 15. [97] Joan. I, 16-18. [98] Joan. I, 21. [99] ibid. [1] Luc. I, 65. [2] Matth. XVI, 14. [3] ibid. 13. [4] Marc. VI, 16.

(88) *Ἐσκέδασται ὁ τοῦ προτέρου λόγος*. Sic codex Bodleianus; Regius et Barberinus, ἐσκέδασται ὁ τοῦ προτέρου λόγου. Perionius legebat, ἐσχεδίασται τὸ τοῦ προτέρου λόγου.

(89) *Κατεσκεύασαν*. Legendum κατεσκεύασα.

jectum, et qualitatem, et num semper eodem corpore usura sit an immutatura illud. In quibus etiam illud, quid proprie sit transcorporatio, quidque hæc differat ab incorporatione, indagare necesse erit, et num sequatur, ut qui astruit mutanda corpora, servet mundum incorruptibilem. In quibus necessario ponendæ erunt rationes eorum qui volunt, ex Scripturarum auctoritate, ut anima simul cum corpore seminetur, et quæ sequuntur ipsas: et, ut semel dicam, oratio de anima, copiosa alioqui, et ad interpretandum difficilis, si undequaque colligi debeat ex his quæ sparsim posita sunt in Scripturis, proprium requirit opus. Quamobrem nunc decenter ex his quæ de Joanne deque Elia conquisita sunt, cum breviter perscrutati simus quæstionem, ad cætera transeamus.

A τῷ λέγοντι μετενσωματώσιν ἄφθαρτον τηρεῖν τὸν κόσμον. Ἐν οἷς ἀναγκαῖον ἔσται παραθεῖναι καὶ τοὺς λόγους τῶν θελόντων κατὰ τὰς Γραφὰς συσπείρεσθαι τὴν ψυχὴν τῷ σώματι, καὶ τὰ ἀκολουθοῦντα αὐτοῖς, καὶ ἁπαξαπλῶς ὁ περὶ ψυχῆς λόγος πολὺς καὶ δυσερμήνευτος ὤν, ἀναλεχθησόμενος ἀπὸ τῶν ἐν ταῖς Γραφαῖς σποράδην κειμένων, ἰδίας δεῖται πραγματείας. Διόπερ νῦν, κατὰ τὸ παρῆκον ἐκ τῶν περὶ Ἠλίου καὶ Ἰωάννου ἐζητημένων ἐπὶ βραχὺ ἐξετάσαντες τὸ πρόβλημα, μετίωμεν ἐπὶ τὰ ἑξῆς.

8. *Es tu propheta ille? Et respondit: Non* [11]. Si « lex et prophetæ usque ad Joannem [12], » quid aliud diceremus Joannem esse, quam prophetam? **117** quemadmodum pater ejus Zacharias, plenus Spiritu sancto, prophetans inquit [13]: « Et tu, puer, propheta Altissimi vocaberis: præibis ante faciem Domini, ad præparandum vias ejus; » nisi forte quis sumat vocem « vocaberis » non esse dictam pro eo quod est, *eris*, idque potissimum, quod Servator dixerit eis qui existimabant eum esse prophetam: « Sed quid exiistis ad videndum? Prophetam? Etiam dico vobis, et plusquam prophetam [14]. » Observandum autem quod ea verba, « Etiam dico vobis, » ponant Joannem esse prophetam, nec auferant eum prophetam esse. Quod si, præterquam quod est propheta, etiam major quam propheta a Servatore dicitur, quomodo ergo, si propheta est, sacerdotibus ac Levitis interrogantibus, « Propheta es tu [15]? » respondit, « Non? » Dicendum autem ad hoc non idem esse, « Propheta es tu ille? » [cum articulo], et, « Es tu propheta? » [sine articulo.] Similia observavimus ante, quid differat, *ille Deus*, [cum articulo,] et *Deus* [sine articulo,] et *ille Sermo*, et *Sermo*. Quoniam ergo in Deuteronomio scriptum est [16]: « Prophetam vobis suscitabit Dominus Deus vester de fratribus vestris mei similem, ipsum audietis. Futurum est autem, ut omnis anima, quæ non audierit prophetam illum, exterminetur e populo suo; » exspectabatur quispiam eximie propheta qui, simile quid Mosi habens, mediatorem ageret inter Deum et homines, et acceptum a Deo Testamentum novum discipulis traderet; atque in singulis prophetis agnoverat populus Israel neminem eorum hunc exstitisse qui a Mose prophetatus fuerat. Ut ergo de Joanne ambigebant num forte ipse esset Christus, sic etiam num esset ille propheta. Nec mirum si ambigentes de Joanne, an forte ipse esset Christus, diligenter non investigarunt an ipse esset Christus et ille propheta. Sequitur enim ut qui hac de re sic interrogant, ignorent etiam quod ipse qui sit Christus, sit etiam ille propheta. Latuit autem multos ea differentia quæ est inter *propheta ille*,

B 8. *Ὁ προφήτης εἶ σύ; Καὶ ἀπεκρίθη· Οὔ.* Εἰ « ὁ Νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, » καὶ τί ἄλλο ἂν λέγοιμεν εἶναι Ἰωάννην ἢ προφήτην; ὡς καὶ ὁ πατὴρ αὐτοῦ Ζαχαρίας, πλησθεὶς Πνεύματος ἁγίου, προφητεύων φησί· « Καὶ σὺ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ ἐνώπιον Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ· » εἰ μὴ ἄρα τις ἐπιλήψεται τοῦ « κληθήσῃ, » μὴ εἰρημένου τοῦ *ἔσῃ*, καὶ μάλιστα διὰ τὸ πρὸς τοὺς οἰομένους αὐτὸν προφήτην εἶναι εἰρηκέναι τὸν Σωτῆρα· « Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Προφήτην; Ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. » Παρατηρητέον δὲ, ὅτι τὸ, « Ναὶ λέγω ὑμῖν, » τίθησι τὸ προφήτην εἶναι τὸν Ἰωάννην, καὶ οὐκ ἀναιρεῖται τὸ προφήτην αὐτὸν εἶναι. Ἐὰν δὲ πρὸς τῷ προφήτης τυγχάνειν καὶ περισσότερον προφήτου C ὑπὸ τοῦ Σωτῆρος λέγηται, πῶς οὖν, εἰ προφήτης ἐστὶ, πρὸς τοὺς ἱερεῖς καὶ Λευΐτας ἐρωτῶντας, « Ὁ προφήτης εἶ σύ; » ἀπεκρίθη, « Οὔ; » Λεκτέον δὲ πρὸς τοῦτο, ὅτι οὐ ταυτόν ἐστιν, « Ὁ προφήτης εἶ σύ; » καὶ, « Προφήτης εἶ σύ; » (92) Τὰ δὲ ὅμοια τετηρήκαμεν ἐξετάζοντες, τί διαφέρει τὸ *Ὁ Θεός* τοῦ *Θεός*, καὶ *Ὁ Λόγος* τοῦ *Λόγος*. Ἐπεὶ τοίνυν ἐν τῷ Δευτερονομίῳ γέγραπται· « Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε· καὶ ἔσται πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ· » προσεδοκᾶτο ἐξαιρέτως τις προφήτης ὅμοιον Μωσεῖ τι ἔχων, τὸ μεσιτεῦσαι Θεοῦ καὶ ἀνθρώπων, καὶ τὸ λαβὼν Διαθήκην ἀπὸ Θεοῦ δοῦναι τοῖς μαθη- D τευομένοις τὴν καινήν· καὶ καθ' ἕκαστον τῶν προφητῶν ἐγίνωσκον ὁ λαὸς Ἰσραὴλ μηδένα ἐκείνων εἶναι τὸν ὑπὸ τοῦ Μωσέως προφητευθέντα. Ὥσπερ οὖν ἐδίσταζον περὶ Ἰωάννου, μήποτε ἄρα Χριστὸς αὐτὸς ἦν, οὕτως καὶ μήποτε ὁ προφήτης. Οὐ θαυμαστὸν δὲ εἰ μὴ ἠκρίβουν, ὅτι αὐτός ἐστι Χριστὸς καὶ προφήτης, οἱ διστάζοντες περὶ Ἰωάννου μήποτε αὐτὸς Χριστὸς ἦν· ἀκόλουθον γὰρ τῷ περὶ τούτου δισταγμῷ τὸ ἀγνοεῖν τὸν αὐτὸν εἶναι Χριστὸν καὶ τὸν προφήτην. Ἔλαθε δὲ τοὺς πολλοὺς ἡ διαφορὰ τοῦ *ὁ προφήτης* καὶ *προφήτης*, ὡς καὶ τὸν Ἡρακλέωνα, ὅστις αὐταῖς λέξεσί φησιν· « Ὡς ἄρα Ἰωάννης (93) ὡμολόγησε μὴ εἶναι ὁ Χριστὸς, ἀλλὰ μηδὲ

[11] Joan. I, 21. [12] Luc. XVI, 16. [13] Luc. I, 76. [14] Matth. XI, 9. [15] Joan. I, 21. [16] Deut XVIII, 15, 18, 19; Act. III, 22, 23.

(92) Vide supra tom. II, num. 3, pp. 50, 51, 52.

(93) Ὡς ἄρα Ἰωάννης, etc. Ita codex Bodleianus, recte; libri editi, Ὡς ἄρ' εἰ Ἰωάννης.

προφήτης, μηδὲ Ἠλίας.» Καὶ δέον αὐτὸν οὕτως ἐκλαβόντα ἐξετάσαι τὰ κατὰ τοὺς τόπους, πότερον ἀληθεύει λέγων (94) μὴ εἶναι προφήτης, μηδὲ Ἠλίας, ἢ οὔ. Ὁ δὲ μὴ ἐπιστήσας τοῖς τόποις, ἐν οἷς καταλέλοιπεν ὑπομνήμασιν, ἀνεξετάστως παρελήλυθε τὰ τηλικαῦτα, σφόδρα ὀλίγα, καὶ μὴ βεβασανισμένα ἐν τοῖς ἑξῆς εἰπών, περὶ ὧν εὐθέως ἐροῦμεν.

[cum articulo,] et *propheta* [absque articulo], vel, uti etiam Heracleonem, qui hisce dictionibus inquit: « Sic igitur Joannes fassus est se Christum non esse, neque prophetam neque Eliam. » Opus eum alioqui fuisset hunc locum sic interpretantem perscrutari, vera necne Joannes narret dicens se neque prophetam, neque Eliam esse. Verum cum loca hæc non considerasset ille in commentariis quæ reliquit, talia sine ulla examinatione præteriit, quædam admodum paucula, eaque indiligenter examinata in sequentibus dicens, de quibus mox dicturi sumus.

9. *Εἶπον οὖν αὐτῷ· Τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς; τί λέγεις περὶ σεαυτοῦ;* Δυνάμει τοῦτο λέγουσιν οἱ ἀποσταλέντες· Ὅπερ ὑπονοοῦντες εἶναί σε ἐληλύθαμεν μαθησόμενοι, ἔγνωμεν οὐκ ὄντα· λείπεται δὲ μετὰ ταῦτα ἀπὸ σοῦ ἀκοῦσαι τὸ, ὅστις εἶ, ἵνα τοῖς πέμψασι τὴν σὴν ἀπόκρισιν περὶ σοῦ ἀπαγγείλωμεν.

118 9. *Dixerunt ergo ei: Quis es, ut responsum demus his qui miserunt nos? quid dicis de te ipso* [17]*?* Illud quod dicunt hi qui missi fuerant, hoc valet: Adveneramus discendi gratia quod rebamur te esse, et agnovimus te non esse talem; restat post hæc ut abs te audiamus quis sis, ut renuntiemus his qui miserunt nos responsum tuum de te.

10. *Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου, καθὼς εἶπεν Ἠσαΐας ὁ προφήτης.* Ὥσπερ ὁ κυρίως Υἱὸς τοῦ Θεοῦ, οὐχ ἕτερος λόγος (95) τυγχάνων, χρῆται λόγῳ· αὐτὸς γὰρ ὁ ἐν ἀρχῇ Λόγος ἦν ὁ πρὸς τὸν Θεὸν ὁ Λόγος Θεός· οὕτως ὁ Ἰωάννης, ὁ ὑπηρέτης ἐκείνου τοῦ Λόγου (εἰ κυρίως ἀκούοιμεν τῆς Γραφῆς), οὐχ ἕτερος ὢν φωνῆς, χρῆται φωνῇ δεικνυούσῃ τὸν Λόγον. Οὗτος δὴ, συνιεὶς τὴν περὶ ἑαυτοῦ προφητείαν παρὰ τῷ Ἠσαΐᾳ εἰρημένην, φησὶν εἶναι φωνὴ, οὐχὶ βοῶσα ἐν τῇ ἐρήμῳ, ἀλλὰ «βοῶντος ἐν τῇ ἐρήμῳ·» τοῦ ἑστῶτος, καὶ κεκραγότος· «Ἄν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω·» λέγοντος καὶ τό· «Εὐθύνατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται πάντα τὰ σκολιὰ «εἰς εὐθεῖαν.» Ὥσπερ γὰρ ἐν τῇ Ἐξόδῳ γέγραπται πρὸς Μωσέα λέγεσθαι ὑπὸ Θεοῦ, «Ἰδοὺ δέδωκά σε Θεὸν Φαραὼ, καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης,» οὕτω νοητέον ἀνάλογόν τι τούτοις, εἰ καὶ μὴ πάντη ὅμοιον, εἶναι τὸν ἐν ἀρχῇ Λόγον Θεὸν καὶ Ἰωάννην· φωνὴ γὰρ δεικτικὴ (96) καὶ παραστατικὴ ἐκείνου τοῦ λόγου ὁ Ἰωάννης ἦν. Διόπερ πάνυ ἁρμοζόντως οὐκ ἄλλῃ κολάσει περιβάλλεται Ζαχαρίας (εἰπὼν πρὸς τὸν ἄγγελον· «Κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς·») ἢ τῇ στερήσει τῆς φωνῆς διὰ τὴν ἀπιστίαν τῆς γενέσεως τῆς φωνῆς, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Γαβριὴλ πρὸς αὐτόν· «Ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πλησθήσονται εἰς τὸν καιρὸν αὐτῶν.» Οὗτος δὴ ὁ Ζαχαρίας, ὅτε αἰτήσας πινακίδιον ἔγραψε λέγων, «Ἰωάννης ἐστὶν ὄνομα αὐτοῦ, καὶ ἐθαύμασαν πάντες,» ἀπείληφε τὴν φωνήν· «Ἀνεῴχθη» γὰρ «τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν.» Ὥσπερ δὲ καὶ

10. *Ego vox clamantis in deserto: Dirigite viam Domini, sicut dixit Isaias propheta* [18]. Ut ille qui proprie Filius est Dei, non alius a Sermone cum sit, sermone utitur; (ipse enim in principio Sermo ille erat, et ille Λόγος Deus apud Deum: sic Joannes, minister illius Sermonis (si proprie Scripturam intelligamus), non alius cum sit a voce, voce utitur ostendente Sermonem. Qui etiam cum intellexisset prophetiam de se apud Isaiam dictam fuisse, vocem se esse inquit: nec vocem clamantem in deserto, sed vocem « clamantis in deserto; » nempe illius qui « stabat, et clamabat: Si quis sitit, veniat ad me, et bibat [19]; » dicendo et illud: « Dirigite viam Domini, rectas facite semitas ejus. Omnis vallis implebitur, et omnis mons et collis reddetur humilis, et erunt omnia obliqua in viam rectam [20]. » Ut enim scriptum est in Exodo Mosi a Deo dici [21], « Ecce dedi te Deum Pharaoni, et Aaron frater tuus erit tuus propheta, » sic intelligendum est in his rationem quamdam et analogiam esse Joannis ad Sermonem Deum, qui est in principio, etiamsi undequaque similitudo non quadret. Vox enim demonstrans et ob oculos ponens Sermonem illum, Joannes erat. Quamobrem valde apte non alia punitione plectitur Zacharias (cum dixisset angelo [22]: « Qui cognoscam isthuc? ego enim sum senex, et uxor mea provectæ jam ætatis »), quam privatione vocis, eo quod non credidisset ortui vocis juxta dictum Gabrielis ad ipsum [23]: « Ecce eris tacitus, nec poteris loqui ad eum usque diem qua hæc fiant, eo quod non credidisti verbis meis, quæ implebuntur tempore suo. » Hic itaque Zacharias cum postulata tabellula scripsisset dicens, « Joannes est nomen ejus, et mirati fuissent omnes [24], » recepit vocem: « Apertum est enim illico os ejus, et lingua ejus, et loquebatur benedicens Deum [25]. » Ut autem disputantes quonam pacto intelligendum esset, Sermo-

[17] Joan. I, 22. [18] ibid. 23. [19] Joan. VII, 35. [20] Luc. III, 4, 5. [21] Exod. VII, 1. [22] Luc. I, 18. [23] ibid. 20. [24] ibid. 63. [25] ibid. 64.

(94) *Ἀληθεύει λέγων.* Sic codex Bodleianus; male libri editi, ἀληθεύει ἢ λέγων. Paulo post recte etiam codex Bodleianus habet ἢ οὔ. Ὁ δὲ ἐπιστήσας, ubi libri editi ferunt ἢ οὐδέ. Ἐπιστήσας.

(95) *Λόγος.* Ferrarius legebat Λόγου, quemadmodum recte legitur in margine codicis Bodleiani.

(96) *Δεικτική.* Sic codex Bodleianus; Barberinus διδακτική.

nem esse Dei Filium, declaravimus quæ in mentem venerunt, sic juxta convenientem consequentiam quoniam « Joannes venit ad testificandum homo missus a Deo, ut testificaretur de luce **119**, ut omnes crederent per ipsum [26], » intelligere debemus Joannem vocem esse, quæ sola capere valeat Sermonem annuntiatum : potissimumque hoc intelligemus, si memoria repetemus quæ ante proposuimus enarrantes ea verba, « Ut omnes crederent per ipsum [27], » in eo loco : « Hic est de quo scriptum est : Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te [28]. » Illud etiam egregie, quod non ait, se vocem dicentis in deserto, sed « clamantis in deserto ; » etenim qui clamat, « Dirigite viam Domini, » etiam dicit ; sed contingit ut quispiam non clamans, hoc ipsum etiam dicat. Clamat vero et vociferatur, ut et qui sunt procul a dicente audiant, et qui ad audiendum sunt tardi, rerum quæ dicuntur magnitudinem intelligant : voce pronuntiata cum magnitudine opem ferens tum his qui a Deo recesserint, tum his qui auditus acuitatem perdiderint. Hanc ob causam enim « stabat » etiam « Jesus, et clamabat dicens : Si quis sitit, veniat ad me, et bibat [29]. » Hanc ob causam « Joannes » etiam « testificatur de eo, et clamat dicens [30]. » Hanc ob causam jubet Isaiam Deus clamare in voce « dicentis : Clama ; » cui respondet Isaias : « Quid clamabo [31] ? » At vox precantium, quæ intelligentia percipitur, quamvis magna, neque prolixa omnino fuerit, neque adauxerint illi clamorem ac vociferationem, audit tamen hunc in modum precantes Deus, Mosi dicens [32] : « Quid ad me clamas ? » qui sensibiliter non clamaverat ; neque enim scriptum est in Exodo, Mosem sensibiliter clamasse, cum per precationem ea voce valde clamasset, quam solus Deus audit. Hanc ob causam David etiam inquit [33] : « Voce mea ad Dominum clamavi, et exaudivit me. » Opus est autem voce clamantis in deserto, ubi anima etiam Deo atque veritate destituta (quodnam enim aliud desertum asperius quam anima quæ Deo atque omni virtute sit destituta ?), eo quod adhuc oblique ambulet egens doctrina, invitetur ad dirigendam Domini viam ; quam quidem viam ille dirigit quidem, qui nequaquam serpentis iter tortuosum imitatur, pervertit vero qui huic est contrarius. Quamobrem cum similibus hujusmodi vir objurgatur per illud [34] : « Quare pervertitis vias Domini rectas ? »

11. Cæterum bifariam via Domini dirigitur, primum propter contemplationem, quæ manifestatur in veritate, absque ulla permistione mendacii ; deinde propter actionem, si quis, cum probe per-

[26] Joan. I, 6, 7. [27] Joan. I, 7. [28] Matth. XI, 10. [32] Exod. XIV, 15. [33] Psal. LXXXI, 1. [34] Act. XIII, 10.

A διαλαμβάνοντες περὶ τοῦ τίνα τρόπον νοητέον Λόγον εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ, τὰ παριστάμενα ἐδηλώσαμεν, οὕτως κατὰ τὴν ἁρμόζουσαν ἀκολουθίαν, ἐπεὶ « ὁ Ἰωάννης ἦλθεν εἰς μαρτυρίαν ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ, » νοητέον φωνὴν εἶναι μόνην χωρῆσαι κατ' ἀξίαν τὸν ἀπαγγελλόμενον Λόγον δυναμένην τὸν Ἰωάννην· καὶ μάλιστα τοῦτο συνήσομεν, ἐὰν ὑπομνησθῶμεν ὧν προπαρεθέμεθα, διηγούμενοι τὸ, « Ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ, » περὶ τοῦ· « Οὗτός ἐστι περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. » Καλῶς (97) δὲ καὶ τὸ μὴ εἶναι αὐτὸν τὴν φωνὴν λέγοντος ἐν τῇ ἐρήμῳ, ἀλλὰ « βοῶν- B τος ἐν τῇ ἐρήμῳ· » ὁ μὲν γὰρ βοῶν τὸ, « Εὐθύνατε τὴν ὁδὸν Κυρίου, » καὶ λέγει· ἐνδέχεται δὲ τὸ αὐτὸ τοῦτο τὸ λέγειν (98) μὴ βοῶντα. Βοᾷ δὲ καὶ κέκραγεν, ἵνα καὶ οἱ μακρὰν τοῦ λέγοντος ἀκούσωσι, καὶ οἱ βαρυήκοοι συνῶσι τοῦ μεγέθους τῶν λεγομένων, μετὰ μεγέθους ἀπαγγελλομένου φωνῆς, βοηθῶν τοῖς τε ἀφεστῶσι Θεοῦ, καὶ τοῦτο ὀξὺ τῆς ἀκοῆς ἀπολωλεκόσι. Διὰ τοῦτο γὰρ καὶ « εἱστήκει ὁ Ἰησοῦς, καὶ ἐκέκραξε λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρὸς μὲ, καὶ πινέτω. » Διὰ τοῦτο καὶ « ὁ Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων. » Διὰ τοῦτο καὶ κελεύει ὁ Θεὸς τῷ Ἡσαΐᾳ βοᾷν ἐν τῇ φωνῇ « λέγοντος· Βόησον· » κἀγὼ εἶπον· « Τί βοήσω ; » Ἐὰν δὲ μὴ παντελῶς ᾖ ἡ νοητὴ τῶν εὐχομένων φωνὴ μεγάλη, C καὶ οὐ βραχεῖα, οὐδὲ ἂν αὐξήσωσι (99) τὴν βοὴν καὶ τὴν κραυγὴν, ἀκούει τῶν οὕτως εὐχομένων ὁ Θεὸς, ὁ λέγων πρὸς Μωσέα, « Τί βοᾷς πρὸς μέ ; » οὐκ αἰσθητῶς βεβοηκότα· οὐ γὰρ ἀναγέγραπται τοῦτο ἐν τῇ Ἐξόδῳ, μεγάλως δὲ τὴν ἀκουομένην μόνῳ Θεῷ φωνὴν βεβοηκότα διὰ τῆς εὐχῆς. Διὰ τοῦτο καὶ Δαυῒδ φησι· « Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου. » Χρεία δὲ τῆς φωνῆς τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, ἵνα καὶ ἡ ἐστερημένη Θεοῦ ψυχὴ, καὶ ἔρημος ἀληθείας (τίς γὰρ ἄλλη χαλεπωτέρα ἐρημία ψυχῆς Θεοῦ καὶ πάσης ἀρετῆς ἠρημωμένης (1) ;), διὰ τὸ ἔτι σκολιῶς πορεύεσθαι δεομένη διδασκαλίας, ἐπὶ τὸ εὐθύνειν τὴν ὁδὸν Κυρίου παρακαλῆται· ἥντινα ὁδὸν εὐθύνει μὲν ὁ μηδαμῶς τὴν σκολιότητα τῆς τοῦ ὄφεως πορείας μιμούμενος, ὁ δὲ τούτῳ ἐναντίος D διαστρέφει· διόπερ καὶ ἐπιπλήσσεται (2) ἅμα τοῖς ὁμοίοις ὁ τοιοῦτος διὰ τοῦ· « Ἵνα τί διαστρέφετε τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας ; »

11. Διχῶς δὲ ἡ ὁδὸς Κυρίου εὐθύνεται, κατά τε τὸ θεωρητικὸν, τρανούμενον ἐν ἀληθείᾳ ἀπαραμίκτως τοῦ ψεύδους, καὶ κατὰ τὸ πρακτικὸν, μετὰ τὴν ὑγιῆ θεωρίαν τοῦ πρακτέου, ἁρμοδίου πράξεως ἀποδιδο-

[29] Joan. VII, 17. [30] Joan. I, 15. [31] Isai. XL, 6.

(97) *Καλῶς*. Sic recte habent codd. Bodleianus et Barberinus ; male vero editio Huetii in textu, καὶ ὡς.

(98) *Τὸ λέγειν*. Τὸ videtur παρέλκειν.

(99) *Αὐξήσωσι*. Sic codex Bodleianus ; editio Huetii αὐξῆσαι.

(1) *Ἠρημωμένης*. Ita codex Barberinus, recte ; male Regius, ἐρημωμένη.

(2) *Ἐπιπλήσσεται*. Sic codex Barberinus ; editio Huetii, ἐπεπλήσσετο.

μένης τῷ περὶ τῶν πρακτέων ὑγιεῖ λόγῳ. Καὶ ἵνα A ἀκριβέστερον τό· « Εὐθύνατε τὴν ὁδὸν Κυρίου, » νοήσωμεν, εὔκαιρον ἔσται παραθέσθαι τὸ ἐν ταῖς Παροιμίαις εἰρημένον· « Μὴ ἐκκλίνῃς μήτε εἰς δεξιὰ, μήτε εἰς ἀριστερά (3). » Ὁ γὰρ ἐκκλίνων εἰς ὁποτέραν τὸ εὐθύνειν ἀπολώλεκεν, οὐκ ἔτι ἐπισκοπῆς ἄξιος γινόμενος, ὅταν παρεκβαίνῃ τὴν τῆς πορείας εὐθύτητα· « Ὅτι » γὰρ « δίκαιος ὁ Κύριος καὶ δικαιοσύνας ἠγάπησε, καὶ εὐθύτητας (4) εἶδε τὸ πρόσωπον αὐτοῦ, » ὅπερ ὁρᾷ φωτίζει (5). Διὰ τοῦτο ὁ ἐπισκοπούμενος, ἀντιλαμβανόμενος τῆς ἀπὸ τῆς ἐπισκοπῆς ὠφελείας, φησίν· « Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. » Στῶμεν τοίνυν, κατὰ τὰ ὑπὸ Ἱερεμίου εἰρημένα, ἐπὶ ταῖς ὁδοῖς, καὶ ἰδόντες ἐρωτήσωμεν τρίβους Κυρίου αἰωνίους, καὶ ἴδωμεν ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθή, καὶ πορευθῶμεν ἐν αὐτῇ· B ὡς παρέστησαν οἱ ἀπόστολοι, καὶ ἠρώτησαν τὰς τοῦ Κυρίου αἰωνίους τρίβους, τοὺς πατριάρχας, καὶ τοὺς προφήτας· ὧν τὰ γράμματα ἐρωτήσαντες ὕστερον τῷ νενοηκέναι αὐτὰ εἶδον τὴν ἀγαθὴν ὁδὸν Ἰησοῦν Χριστὸν τὸν εἰπόντα· « Ἐγώ εἰμι ἡ ὁδὸς, » καὶ ἐπορεύθησαν ἐν αὐτῇ. Ἀγαθὴ γὰρ ὁδὸς ἡ ἀπάγουσα πρὸς τὸν ἀγαθὸν Πατέρα τὸν ἀγαθὸν ἄνθρωπον, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προφέροντα τὰ ἀγαθὰ, καὶ τὸν ἠγαθὸν δοῦλον καὶ πιστόν. Αὕτη δὲ ὁδὸς στενὴ μὲν, τῶν πολλῶν οὐ χωρούντων ὁδεύειν αὐτὴν, καὶ φιλοσάρκων (6), ἀλλὰ καὶ τεθλιμμένη ὑπὸ τῶν βιαζομένων πορεύεσθαι δι' αὐτῆς ἐστιν ὁδός· ἐπεὶ οὐκ εἴρηται θλίβουσα, ἀλλὰ τεθλιμμένη. Θλίβει γὰρ ζῶσαν τὴν ὁδὸν καὶ αἰσθομένην τῶν ἰδιωμάτων τοῦ ὁδεύοντος ὁ μὴ ὑπολυσάμενος (7) τὰ ὑποδήματα ἐκ τῶν ποδῶν, C μηδὲ γνησίως παραδεχόμενος, ὅτι ὁ τόπος ἐν ᾧ ἕστηκεν ἢ καὶ ὃν βαδίζει, γῆ ἁγία ἐστίν. Ἀπάξει δὲ ἐπὶ τὴν ζωὴν ὄντα τὸν εἰπόντα· « Ἐγώ εἰμι ἡ ζωή. » Ὁ γὰρ Σωτὴρ, εἰς ὃν πᾶσά ἐστιν ἀρετὴ, ταῖς ἐπινοίαις πολύς. Διὰ τοῦτ' ἔστιν τῷ μὲν μηδέπω φθάσαντι ἐπὶ τὸ τέλος, ἀλλ' ἔτι προκόπτοντι, ὁδός· τῷ δ' ἤδη πᾶσαν νεκρότητα ἀποθεμένῳ ζωή. Ταύτην τὴν ὁδὸν ὁδεύων διδάσκεται μηδὲν αἴρειν εἰς αὐτὴν ἔχουσαν ἄρτους καὶ τὰ πρὸς ζωὴν, διὰ τὸ μηδὲν δύνασθαι τοὺς πολεμίους ἐν αὐτῇ οὐδὲ ῥάβδου χρῄζων· καὶ ἐπεὶ ἁγία ἐστίν, οὐδ' ὑποδημάτων.

viderit quid agendum, actionem convenientem rationi rectæ suggerenti agenda, in opus produxerit. Ut accuratius vero intelligamus illud : **120** « Dirigite viam Domini [35] ; » opportunum erit citare quod in Proverbiorum libro est dictum : « Ne declinaveris neque ad dexteram, neque ad sinistram [36]. » Qui enim in utramlibet inclinat, is amisit illud dirigere, factus non amplius cura et consideratione dignus, quando transgressus fuerit itineris rectitudinem. « Quoniam » enim « justus Dominus, et justitias dilexit, et rectitudines vidit vultus ejus [37], » illud quod videt illuminat. Hanc ob causam, qui est in consideratione et tutela, utilitatem ex hac cura et protectione capiens, inquit : « Signatum est super nos lumen vultus tui, Domine [38]. » Itaque stemus in viis, juxta Jeremiæ dicta [39], et videntes interrogemus semitas Domini sempiternas : et videamus quænam sit via bona et ambulemus in ea : perinde atque apostoli, qui steterunt, et interrogarunt semitas Domini sempiternas; nempe patriarchas et prophetas, quorum litteras cum interrogassent, postea ipsos intelligendo, viderunt viam bonam, nempe Jesum dicentem : « Ego sum via [40], » et ambulaverunt in ea. Bona enim via est quæ ad Patrem ducit bonum hominem de thesauro suo proferentem bona [41], et bonum servum et fidelem [42]. Cæterum hæc quidem via angusta est vulgaribus et alioqui carnis amantibus, qui iter per eam facere non possunt; sed eadem etiam pressa et trita est ab his qui vim faciunt ut per eam eant [43], quoniam non est dicta premens, sed pressa. Nam qui non solverit calceamenta pedum suorum, neque sincere admiserit quod locus in quo stat, vel etiam per quem ambulat, terra sancta est [44], is premit viventem viam et sentientem proprietates facientis iter. Ducet præterea hæc via ad eum qui, vita cum sit, dixit : « Ego sum vita [45]. » Servator namque, in quo universa est virtus, variis modis potest intelligi et significari. Hinc illi qui ad finem nondum pervenerit, sed adhuc progreditur ac proficit, est via ; illi vero qui omnem mortalitatem deposuerit, vita. Per hanc viam qui ambulat, docetur [46] nihil in illam tollere, quia ipsa panes habet, et quæ ad vitam pertinent ; ne virga quidem egens, quod nihil in illa possint hostes ; sed neque calceis, quia sancta sit.

12. Δύναται μέντοιγε τό· « Ἐγὼ φωνὴ βοῶντος D ἐν τῇ ἐρήμῳ, » καὶ τὸ ἑξῆς, ἴσον εἶναι τῷ· Ἐγώ εἰμι περὶ οὗ γέγραπται· « Φωνὴ βοῶντος, » ὡς βοῶντα εἶναι τὸν Ἰωάννην, καὶ τούτου τὴν φωνὴν ἐν τῇ ἐρήμῳ βοᾷν· « Εὐθύνατε τὴν ὁδὸν Κυρίου. » Δυσφημότερον δὲ ὁ Ἡρακλέων περὶ Ἰωάννου καὶ τῶν προφητῶν διαλαμβάνων, φησὶν, ὅτι ὁ Λόγος μὲν ὁ

12. Valet autem tantumdem illud : « Ego vox clamantis in deserto [47], » et quod sequitur, ac si diceres : Ego sum ille de quo scriptum est : « Vox clamantis, » ut clamante Joanne, vox hujus etiam clamet : « Dirigite viam Domini. » Maledicentius autem Heracleon de Joanne **121** et prophetis disserens inquit Sermonem esse Servatorem; vocem

[35] Joan. I, 23. [36] Prov. IV, 27. [37] Psal. X, 8. [38] Psal. IV, 7. [39] Jer. VI, 16. [40] Joan. XIV, 6. [41] Matth. XII, 35. [42] Matth. XXV, 21. [43] Matth. VII, 13, 14. [44] Exod. III, 5. [45] Joan. XIV, 6. [46] Matth. X, 10. [47] Joan. I, 23.

(3) *Μὴ ἐκκλίνῃς μήτε εἰς δεξιὰ, μήτε εἰς ἀριστερά.* Sic hunc Scripturæ locum optime restituit codex Bodleianus; mendose in Regio legitur μὴ ἐκκλίνῃς μήτε ἀριστερά.

(4) *Εὐθύτητας.* Sic codex Bodleianus; editio Huetii, εὐθύτητα.

(5) *Ὅπερ ὁρᾷ φωτίζει.* Ita codex Bodleianus; editio Huetii, ὅπερ δὲ ὁρᾷ φωτίζει.

(6) *Φιλοσάρκων.* Sic codex Bodleianus; editio Huetii, μεγαλοσάρκων.

(7) Codex Bodleianus, ἀπολυσάμενος.

per Joannem intelligi; sonum vero esse universum prophetarum ordinem. Contra quem dicendum, quemadmodum si incertam vocem tuba dederit, nullus adornatur ad bellum [48], et qui sine charitate mysteriorum cognitionem seu prophetiam habet, actus est æs resonans, aut cymbalum tinniens [49]; ita si nihil aliud vox prophetica sit quam sonus, quomodo remittens ad eam nos Servator dicit [50]: « Scrutamini Scripturas, quia vos videmini in ipsis vitam æternam habere : et illæ sunt quæ testificantur de me ; » et [51] : « Si credidissetis Moysi, credidissetis utique et mihi : de me enim ille scripsit ; » et [52] : « Bene prophetavit de vobis Isaias, dicens : Populus hic labiis me honorat. » Haud enim scio an rationabiliter admittet aliquis incertum sonum a Servatore laudari ; vel an liceat ex Scripturis [ad quas remittimur] ceu a voce tubæ adornari ad bellum contra oppositas actiones, si sonus dederit incertam vocem. Quonam enim pacto, si charitatem non habuerunt prophetæ, ob eamque causam veluti æs resonabant, aut tanquam cymbalum tinniebant, ad sonum ipsorum, ut illi interpretati sunt, remittit nos Dominus inde utilitatem percepturos? Rursus etiam nescio quomodo absque ulla probatione enuntiet vocem sermoni valde accommodatam, sermonem fieri : quasi vero mulierem in virum transmutet. Præterea quasi potestatem habens condendi dogmata, et fidem sibi acquirendi, et proficiendi, futurum inquit, ut sonitus mutetur in vocem, loco discipuli statuens vocem transeuntem in sermonem, loco vero servi sonitum transeuntem in vocem. Quod si quomodocunque attulisset aliquas probabiles rationes in his astruendis, laborassemus etiam nos in his refellendis. Sed sufficit ad hæc refellenda nuda simplexque negatio. Sed age, quod distuleramus in præcedentibus inquirere, quomodo motus fuit, nunc disseramus. Servator, juxta Heracleonem, Joannem ipsum dicit et prophetam et Eliam : quorum utrumque se esse negat [Joannes ipse;] præterea prophetam et Eliam cum Servator ipsum dicit (inquit Heracleon), non ipsum Joannem declarat, sed quæ sunt circa ipsum; cum vero majorem etiam prophetis et his qui sunt inter natos mulierum, tunc ipsum Joannem designat. Proinde, inquit Heracleon, Joannes ipse interrogatus, de seipso respondet, non de his quæ circa seipsum sunt. **122** Cæterum magnam diligentiam de hisce rebus pro virili adhibuimus, ut nihil non confirmatum omitteremus, quo compararentur termini, quos vocant, cum his quæ enuntiata fuerunt ab Heracleone : quippe qui non habeat potestatem dicendi quidquid velit. Qua enim ratione, ne leviter quidem, probare conatur hoc (quod scilicet Joannes, quatenus est propheta, et Elias, et vox clamantis in deserto) esse ex numero eorum quæ sunt circa ipsum, sed utitur exemplo, quod quæ sunt circa ipsum sint veluti vestimenta

A Σωτήρ ἐστιν, φωνὴ δὲ ἡ ἐν τῇ ἐρήμῳ ἡ διὰ Ἰωάννου διανοουμένη, ἦχος δὲ πᾶσα προφητικὴ τάξις. Λεκτέον δὲ πρὸς αὐτὸν, ὅτι, ὥσπερ ἐὰν ἄδηλον σάλπιγξ φωνὴν δῷ, οὐδεὶς παρασκευάζεται εἰς πόλεμον, καὶ ὁ χωρὶς ἀγάπης ἔχων γνῶσιν μυστηρίων ἢ προφητείαν γέγονε χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον· οὕτως, εἰ μηδέν ἐστιν ἕτερον ἢ ἦχος ἡ προφητικὴ φωνὴ, πῶς ἀναπέμπων ἡμᾶς ἐπ' αὐτὴν ὁ Σωτὴρ, « Ἐρευνᾶτε, » φησὶ, « τὰς Γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι· » καί· « Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε· » καί· « Καλῶς προεφήτευσε περὶ ὑμῶν Ἡσαΐας, λέγων· Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ· » Οὐκ οἶδα γὰρ εἰ τὸν ἄσημον ἦχον παραδέξεταί τις εὐλόγως ὑπὸ τοῦ Σωτῆρος B ἐπαινεῖσθαι, ἢ ἔνεστι παρασκευάσασθαι ἀπὸ τῶν Γραφῶν, ὡς ἀπὸ φωνῆς σάλπιγγος ἐφ' ἃς ἀναπεμπόμεθα εἰς τὸν πρὸς τὰς ἀντικειμένας ἐνεργείας πόλεμον, ἀδήλου φωνῆς ἤχου τυγχανούσης. Τίνα δὲ τρόπον εἰ μὴ ἀγάπην εἶχον οἱ προφῆται, καὶ διὰ τοῦτο χαλκὸς ἦσαν ἠχοῦντες, ἢ κύμβαλον ἀλαλάζον, ἐπὶ τὸν ἦχον αὐτῶν, ὡς ἐκεῖνοι εἰλήφασιν, ἀναπέμπει ὁ Κύριος ὠφεληθησομένους; Οὐκ οἶδα δ' ὅπως χωρὶς πάσης κατασκευῆς ἀποφαίνεται τὴν φωνὴν, οἰκειοτέραν οὖσαν τῷ λόγῳ, λόγον γίνεσθαι, ὡς καὶ τὴν γυναῖκα εἰς ἄνδρα μετατίθεσθαι. Καὶ ὡς ἐξουσίαν ἔχων τοῦ δογματίζειν, καὶ πιστεύεσθαι, καὶ προκόπτειν, τῷ ἤχῳ φησὶν ἔσεσθαι τὴν εἰς φωνὴν μεταβολὴν, μαθητοῦ μὲν χώραν διδοὺς τῇ μεταβαλλούσῃ C εἰς λόγον φωνῇ, ἢ δούλου δὲ τῇ ἀπὸ ἤχου εἰς φωνήν. Καὶ εἰ μὲν ὅπως ποτὲ πιθανότητα ἔφερεν ἐπὶ τῷ αὐτὰ κατασκευάσαι, κἂν ἠγωνισάμεθα περὶ τῆς τούτων ἀνατροπῆς· ἀρκεῖ δὲ εἰς ἀνατροπὴν ἡ ἀπαραμύθητος ἀπόφασις. Ὅπερ δὲ ὑπερθέμεθα ἐν τοῖς πρὸ τούτων ἐξετάσαι πῶς κεκίνηται, νῦν φέρε διαλάβωμεν· ὁ μὲν γὰρ Σωτὴρ, κατὰ τὸν Ἡρακλέωνα, φησὶν αὐτὸν καὶ προφήτην καὶ Ἠλίαν· αὐτὸς δὲ ἑκάτερον τούτων ἀρνεῖται· καὶ προφήτην μὲν καὶ Ἠλίαν ὁ Σωτὴρ ἐπὰν αὐτὸν λέγῃ, οὐκ αὐτὸν, ἀλλὰ τὰ περὶ αὐτοῦ, φησὶ, διδάσκει· ὅταν δὲ μείζονα προφητῶν καὶ ἐν γεννητοῖς γυναικῶν, τότε αὐτὸν τὸν Ἰωάννην χαρακτηρίζει. Αὐτὸς δὲ, φησὶ, περὶ ἑαυτοῦ ἐρωτώμενος ἀποκρίνεται ὁ Ἰωάννης, οὐ τὰ περὶ αὐτόν. Ὅσην δὲ βάσανον ἡμεῖς περὶ τούτων κατὰ τὸ δυνατὸν D πεποιήμεθα, οὐδὲν ἀπαραμύθητον ἐῶντες τῶν λεγομένων ὅρων συγκρῖναι τοῖς ὑπὸ Ἡρακλέωνος, ἅτε οὐκ ἐξουσίαν ἔχοντος τοῦ λέγειν ὃ βούλεται, ἀποφανθεῖσι. Πῶς γὰρ, ὅτι περὶ αὐτόν ἐστι τὸ Ἠλίαν αὐτὸν καὶ προφήτην εἶναι, καὶ περὶ αὐτοῦ τὸ φωνὴν αὐτὸν εἶναι βοῶντος ἐν τῇ ἐρήμῳ, οὐδὲ κατὰ τὸ τυχὸν πειρᾶται ἀποδεικνύναι, ἀλλὰ χρῆται παραδείγματι, ὅτι τὰ περὶ αὐτὸν οἱονεὶ ἐνδύματα ἦν ἕτερα αὐτοῦ· καὶ οὐκ ἂν ἐρωτηθεὶς περὶ τῶν ἐνδυμάτων, εἰ αὐτὸς εἴη τὰ ἐνδύματα, ἀπεκρίθη ἂν τὸ, Ναί· Πῶς γὰρ ἐνδύματα τὸ εἶναι τὸν Ἠλίαν τὸν μέλλοντα ἔρχεσθαι Ἰωάννου, οὐ πάνυ τι κατ' αὐτὸν θεωρῶ· τάχα καθ' ἡμᾶς ὡς δεδυνήμεθα διηγησαμένους τὸ, « ἐν πνεύ-

[48] I Cor. xiv, 8. [49] I Cor. xiii, 1, 2. [50] Joan. v, 39. [51] ibid. 46. [52] Matth. xv, 7, 8.

ματι καὶ δυνάμει Ἠλίου, » δυναμένου πως λέγεσθαι A τοῦτο τὸ πνεῦμα Ἠλίου ἐν δυνάμει εἶναι τῆς Ἰωάννου ψυχῆς. Θέλων δέ τις (8) παραστῆσαι διὰ τί ἱερεῖς καὶ Λευῖται οἱ ἐπερωτῶντες ἀπὸ τῶν Ἰουδαίων πεμφθέντες εἰσὶν, οὐ κακῶς μὲν λέγοι τὸ, ὅτι τούτοις προσῆκον ἦν περὶ τούτων πολυπραγμονεῖν καὶ πυνθάνεσθαι τοῖς τῷ Θεῷ προσκαρτεροῦσιν. Οὐ πάνυ δὲ ἐξητασμένως τὸ, ὅτι καὶ αὐτὸς ἐκ τῆς Λευϊτικῆς φυλῆς ἦν, ὥσπερ ἀποροῦντες ἡμεῖς ἐξητάσαμεν· ὅτι, εἰ ᾔδεισαν τὸν Ἰωάννην οἱ πεμφθέντες, καὶ τὴν γένεσιν αὐτοῦ, πῶς χώραν εἶχον πυνθάνεσθαι περὶ τοῦ, εἰ αὐτὸς Ἠλίας ἐστίν; Καὶ πάλιν ἐν τῷ περὶ τοῦ, « Εἰ ὁ προφήτης εἶ σύ; » μηδὲν ἐξαίρετον οἰόμενος σημαίνεσθαι κατὰ τὴν προσθήκην τοῦ ἄρθρου, λέγει, ὅτι ἐπηρώτησαν εἰ προφήτης εἴη, τὸ κοινότερον βουλόμενοι μαθεῖν. Ἔτι δὲ οὐ μόνος Ἡρακλέων, ἀλλ' B ὅσον ἐπ' ἐμῇ ἱστορίᾳ καὶ πάντες οἱ ἑτερόδοξοι εὐτελῆ ἀμφιβολίαν διαστείλασθαι μὴ δεδυνημένοι, μείζονα Ἠλίου καὶ πάντων τῶν προφητῶν τὸν Ἰωάννην ὑπειλήφασι, διὰ τό· « Μείζων ἐν γεννητοῖς γυναικῶν Ἰωάννου οὐδείς ἐστιν, » οὐχ ὁρῶντες, ὅτι ἀληθὲς τὸ, οὐδεὶς μείζων Ἰωάννου ἐν γεννητοῖς γυναικῶν, διχῶς γίνεται· οὐ μόνον τῷ αὐτὸν εἶναι πάντων μείζονα, ἀλλὰ καὶ τῷ ἴσους αὐτῷ εἶναί τινας· ἀληθὲς γὰρ ἴσων ὄντων αὐτῷ πολλῶν προφητῶν, κατὰ τὴν δεδομένην αὐτῷ χάριν τὸ μηδένα τούτου μείζονα εἶναι. Οἴεται δὲ (9) τὸ κατασκευάζεσθαι τὸ μείζονα εἶναι προφητεύεσθαι ὑπὸ Ἡσαΐου, ὡς μηδενὸς ταύτης τῆς τιμῆς ἠξιωμένου ὑπὸ Θεοῦ τῶν πώποτε προφητευσάντων· ἀληθῶς ὡς καταφρο- C νῶν (10) τῆς παλαιᾶς χρηματιζούσης Διαθήκης, καὶ μὴ τηρήσας καὶ αὐτὸν Ἠλίαν προφητευόμενον τοῦτ' ἀπετόλμησεν εἰπεῖν. Καὶ γὰρ Ἠλίας προφητεύεται ὑπὸ Μαλαχίου λέγοντος· « Ἰδοὺ ἀποστέλλω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱόν. » Καὶ Ἰωσίας δὲ, ὡς ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν ἀνέγνωμεν, προφητεύεται ὀνομαστὶ ὑπὸ τοῦ ἐληλυθότος ἐξ Ἰούδα προφήτου λέγοντος, παρόντος καὶ τοῦ Ἱεροβοὰμ κατὰ τὸ θυσιαστήριον (11)· « Τάδε λέγει Κύριος· Ἰδοὺ υἱὸς τίκτεται τῷ Δαυῒδ· Ἰωσίας ὄνομα αὐτῷ. » Φασὶ δέ τινες καὶ τὸν Σαμψὼν ὑπὸ τοῦ Ἰακὼβ προφητεύεσθαι λέγοντος· « Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαὸν, ὡς εἰ καὶ μία φυλὴ ἐν Ἰσραήλ· » ἐπεὶ ἀπὸ τῆς φυλῆς τοῦ Δὰν γενόμενος ὁ Σαμψὼν ἔκρινε τὸν Ἰσραήλ. Καὶ ταῦτα δὲ D εἰς ἔλεγχον τῆς προφητείας (12) τοῦ ἀποφηναμένου μηδένα πλὴν Ἰωάννου προφητεύεσθαι εἰρήσθω, ταῦτα εἰρηκότος ἐν τῷ θέλειν αὐτὸν διηγεῖσθαι τί τό· « Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. »

A diversa ab eo : et quod interrogatus de vestimentis, an ipse vestimenta esset, non respondis et illud, Næ? Quomodo enim vestimenta Joannis hoc sit, esse Eliam venturum, non admodum, ut ab hoc traditum est, clare video : fortasse dici aliquo modo cum possit, ut a nobis est dictum, qui, ut potuimus, exposuimus illud ; « cum spiritu et virtute Eliæ [53], » hunc spiritum Eliæ in potentia esse spiritum animæ Joannis. Cæterum qui demonstrare volunt, quare Sacerdotes et Levitæ fuerint hi qui a Judæis missi fuerunt ut interrogarent Joannem, non male dicerent, idcirco ex hoc ordine missos, quia conveniens esset hos in Dei cultu jugiter perseverantes, de hisce rebus interrogare ac sollicitos esse. Nec illud valde exquisite protulit, Joannem B ex tribu Levitica esse, quemadmodum antea dubitantes nos indagavimus : quia si agnovissent Joannem ortumque ejus, illi, qui missi fuerant, quomodo habuissent locum interrogandi an ipse esset Elias? Rursum in illis verbis : « Num propheta ille es tu [54]? » nihil præcipuum existimans significari ex articuli adjectione, dicit eos interrogasse num propheta esset, rem multis communem addiscere volentes. Præterea vero non solus Heracleon, sed, quantum ego videre potui, omnes etiam qui a nobis diversa sentiunt, ut pote qui perexiguam ac tenuem dubitationem distinguere non possunt, Joannem suspicati sunt Elia atque prophetis omnibus majorem esse ; propterea quod nemo surrexerit inter natos C mulierum major Joanne [55], non videntes duobus modis verum esse quod dicitur, neminem Joanne majorem esse inter natos mulierum ; non solum quia ipse sit major omnibus, verum etiam quia sint aliqui ipsi æquales. Nam verum est, multis prophetis ipsi æqualibus existentibus, neminem eo majorem esse propter gratiam ipsi datam. Existimat autem confirmari **123** Joannem esse majorem, quia prophetatus fuerit ab Isaia, perinde quasi nemo ex eorum numero qui aliquando prophetarunt, hoc honore dignatus fuerit : vere veluti despiciens Testamentum Vetus, quod vocant, nec observans ipsum Eliam prophetatum fuisse. Prophetatur enim Elias a Malachia dicente [56] : « Ecce ego mitto vobis Eliam Thesbiten, qui reducet cor patris erga D filium. » Quinetiam Josias, ut in Regum tertio legimus, nominatim prophetatur a propheta, qui ex Juda advenerat, dicente, cum etiam adesset Jeroboam juxta altare : « Hæc dicit Dominus : Ecce filius nascitur Davidi, Josias nomine [57]. » Inquiunt

[53] Luc. I, 17. [54] Joan. I, 21. [55] Matth. XI, 11 ; Luc. VII, 28. [56] Malach. IV, 5, 6. [57] III Reg. XIII, 2.

(8) *Θέλων δέ τις*, etc. Luxata hæc sunt in codice Regio. Pro θέλων habet θέλω, pro Λευῖται, habet Λευΐτας, deinde pro λέγοι habet λέγων. Codex Bodleianus pro θέλων δέ τις habet θέλοντες δὲ, etc. Ferrarius videtur legisse θέλοντες et λέγοιεν, vel quid simile.

(9) *Οἴεται δέ*, etc. Hæc non cohærent et hiulca sunt in editione Huetii, in qua deest εἶναι et legitur προφητεύεται pro προφητεύεσθαι. Nos sanam lectionem restituimus ex codice Bodleiano.

(10) *Ἀληθῶς ὡς καταφρονῶν*, etc. In editione Huetii post ἀληθῶς legitur δέ, quod recte expungit codex Bodleianus.

(11) *Κατὰ τὸ θυσιαστήριον*. Sic habet codex Bodleianus ; in Regio et Barberino deest κατὰ τό.

(12) *Προφητείας*. Legendum προπετείας.

etiam nonnulli Sampsonem a Jacob prophetatum fuisse, dicente [58] : « Dan judicabit suum ipsius populum, quemadmodum etiam una tribus in Israel, » quoniam e tribu Dan genitus Sampson judicavit Israelem. Sed hæc hactenus ad refellendam temeritatem ejus, qui enuntiavit præter Joannem prophetatum fuisse neminem ; et hæc dixit volens aliquid disserere in illud : « Ego vox clamantis in deserto [59]. »

13. *Et qui missi fuerant, erant ex Pharisæis. Et interrogaverunt eum ac dixerunt ei : Quid ergo baptizas, si tu non es Christus ille, neque Elias, neque propheta ille* [60]*?* Qui quidem ab Hierosolymis sacerdotes et Levitas interrogaturos Joannem miserant [61], cum didicissent quis esset vel non esset ipse Joannes, decentissime quiescunt : veluti silentio faventes, et demonstrantes se admittere quæ audissent, quod baptizare conveniat voci clamantis in deserto ad dirigendam viam Domini. Contra vero Pharisæi, ut qui juxta nomen suum *divisi* quidam et seditiosi essent, se eadem non sentire demonstrant cum Judæis exsistentibus in urbe metropoli, et cum ministris cultus divini, ac sacerdotibus et Levitis : mittendo qui veluti increpantes, ac prohibentes, quantum in ipsis esset, baptizare, interrogarent : « Quid ergo baptizas, si tu non es ille Christus, neque Elias, neque propheta ille? » Et fortasse si unum in corpus connectamus quæ in Evangeliis sunt scripta, dicturi sumus nunc quidem eos hæc dixisse, deinde vero nescio quo modo eos, cum se baptismo dedissent, a Joanne audisse illud : 124
« Progenies viperarum, quis vos docuit fugere a ventura ira? Facite igitur fructum dignum pœnitentia [62]. » Hæc enim apud Matthæum dicta sunt a Baptista, cum vidisset multos Pharisæorum et Sadducæorum venientes ad baptisma : cum videlicet pœnitentiæ fructus non haberent, atque Pharisaice apud seipsos gloriarentur de Abraham tanquam patre : quocirca sævius objurgantur a Joanne zelum Eliæ habente juxta communicationem Spiritus sancti. Objurgativa enim oratio est illa, quæ inquit : « Ne cogitetis dicere apud vos ipsos : Patrem habemus Abraham [63]: » didascalica autem illa, quod infideles (ob cor lapideum lapides dicti) immutari possint, virtute Dei, ex lapidibus in liberos Abrahæ, quoniam erant in oculis prophetæ, non fugientes illius divinum obtutum. Quam ob causam illud ab ipso dicitur : « Dico vobis posse Deum e lapidibus istis suscitare liberos Abrahæ [64]. » Et quoniam cum non fecissent fructum pœnitentia dignum, veniunt ad baptisma, convenientissime ipsis illud dicitur : « Jam vero et securis ad radicem arborum posita est. Omnis igitur arbor non faciens fructum bonum, exciditur, et in ignem conjicitur [65], » veluti ipsis

A 13. *Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων. Καὶ ἠρώτησαν αὐτὸν, καὶ εἶπαν αὐτῷ· Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὐδὲ Ἠλίας, οὐδὲ ὁ προφήτης;* Οἱ μὲν ἀπὸ Ἱεροσολύμων πέμψαντες τοὺς ἐρωτήσαντας τὸν Ἰωάννην ἱερεῖς καὶ Λευΐτας, μαθόντες ὅστις τε οὐκ ἦν ὁ Ἰωάννης, καὶ ὃς ἦν, σεμνοπρεπέστατα ἡσυχάζουσιν· οἱονεὶ συγκατατιθέμενοι διὰ τῆς σιωπῆς (13), καὶ ἐμφαίνοντες τὸ παραδέχεσθαι τὰ εἰρημένα, ὅτι ἁρμόζει τῇ τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ φωνῇ εἰς τὸ εὐθύνειν τὴν ὁδὸν Κυρίου, τὸ βαπτίζειν· οἱ δὲ Φαρισαῖοι, ἅτε (14) κατὰ τὸ ὄνομα ὄντες *διῃρημένοι* τινὲς καὶ στασιώδεις, τὸ μὴ ὁμονοεῖν παριστᾶσι τοῖς ἐν τῇ μητροπόλει Ἰουδαίοις καὶ τοῖς λειτουργοῖς τῆς τοῦ Θεοῦ θεραπείας ἱερεῦσι καὶ Λευΐταις, διὰ τοῦ ἀποστεῖλαι οἱονεὶ ἐπιπληκτικῶς, καὶ τὸ ὅσον ἐπ'
B αὐτοῖς κωλυτικῶς τοῦ βαπτίζειν, τοὺς ἐρωτήσοντας· « Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὐδὲ Ἠλίας, οὐδὲ ὁ προφήτης; » Καὶ τάχα εἰ συγκλώσαιμεν εἰς ἓν σωματοποιοῦντες τὰ ἐν τοῖς Εὐαγγελίοις γεγραμμένα, εἴποιμεν ἂν νῦν μὲν αὐτοὺς ταῦτα εἰρηκέναι, ὕστερον δὲ οὐκ οἶδ' ὅπως αὐτοὺς ἐπιδεδωκότας τῷ βαπτίσασθαι ἀκηκοέναι ὑπὸ τοῦ Ἰωάννου τό· « Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν ἀξίους καρποὺς τῆς μετανοίας. » Ταῦτα γὰρ ὑπὸ τοῦ Βαπτιστοῦ εἴρηται παρὰ τῷ Ματθαίῳ, ἰδόντος πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα· δηλονότι οὐκ ἔχοντας καρποὺς μετανοίας, καὶ Φαρισαϊκῶς ἀλαζονευομένους ἐν ἑαυτοῖς ἐπὶ τῷ Ἀβραὰμ ὡς πατρί· διόπερ ἐπιπλήσσονται ὑπὸ τοῦ τὸν ζῆλον
C Ἠλίου κατὰ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος ἔχοντος Ἰωάννου. Ἐπιπληκτικὸς γὰρ λόγος ὁ· « Μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ· » καὶ διδασκαλικὸς ὁ περὶ τοῦ καὶ τοὺς διὰ τὴν λιθίνην καρδίαν ἀπίστους λίθους ὀνομαζομένους δυνάμει Θεοῦ μεταβαλεῖν οἵους τε εἶναι ἀπὸ λίθων εἰς τέκνα Ἀβραὰμ, ἐπεὶ γεγόνασιν ἐν ὀφθαλμοῖς τοῦ προφήτου, μὴ φεύγοντες τὴν θείαν αὐτοῦ ὄψιν· διόπερ τό· « Λέγω ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραὰμ, » ὑπ' αὐτοῦ λέγεται. Καὶ ἐπεὶ μὴ ποιήσαντες καρπὸν ἄξιον τῆς μετανοίας ἔρχονται ἐπὶ τὸ βάπτισμα, ἁρμονικώτατα πρὸς αὐτοὺς λέγεται τό· « Ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς τὸ πῦρ βάλλε-
D ται· » οἱονεὶ γὰρ ἄντικρύς φησι πρὸς αὐτούς· Ἐπεὶ

[58] Gen. XLIX, 16. [59] Joan. I, 23. [60] ibid. 24, 25. [61] ibid. 19. [62] Matth. III, 7, 8. [63] ibid. 9. [64] ibid. [65] ibid. 10.

(13) Pro διὰ τῆς σιωπῆς codex Bodleianus habet τῇ σιωπῇ.

(14) *Οἱ δὲ Φαρισαῖοι, ἅτε*, etc. Origenes tract. XXIV *in Matth.*, pp. 835, 836 : « Qui autem majus aliquid profitentes dividunt seipsos quasi meliores a multis, secundum hoc Pharisæi dicuntur, qui interpretantur divisi et segregati. » Et tractat. XXVI, pag. 847 : « Quales fuerunt et Pharisæi, qui recte Pharisæi sunt appellati, id est *præcisi*, qui spiritualia prophetarum a corporali historia præciderunt. » Hieronymus *advers. Luciferianos*, cap 8 : « Pharisæi a Judæis divisi propter quasdam observationes superfluas, nomen quoque a Judæis susceperunt. » A פרש, *separavit*. De seditioso et pervicaci eorum ingenio vide Joseph. *Antiq.* lib. XVII, cap. 3.

tam illum intellexerit prophetam quempiam vulgarem (neque enim ostendere potest prophetarum aliquem baptizasse), non inscite ait Pharisæos, non terrogare.

14. Quoniam vero necessarium nobis esse videtur in medium afferre Evangeliorum verba similia huic contextui quem in manibus habemus (et hoc singulatim ad finem usque est faciendum, quo quæ discrepantiam habere videntur, consona ostendantur, atque item ut explanentur quæ veluti singulare quidpiam privatim habent), age, id etiam hoc loco faciamus. Illud enim : « Vox clamantis in deserto : Dirigite viam Domini [74], » apud discipulum Joannem ex persona Baptistæ dicitur; apud Marcum vero tanquam principium Evangelii Jesu Christi ex Isaiæ voce hunc in modum est scriptum : « Initium Evangelii Jesu Christi, prout scriptum est in Isaia propheta : Ecce ego mitto Angelum meum ante faciem tuam, qui præparaturus est viam tuam ante te. Vox clamantis in deserto : Parate viam Domini, rectas facite semitas ejus [75]. » **126** Cæterum non ponitur in propheta : « Dirigite viam Domini, » quod citavit Joannes. Proinde vide ne forte Joannes decurtans illud : « Parate viam Domini, rectas facite semitas Dei nostri, » scripserit : « Dirigite viam Domini ; » quæ verba Marcus, duas prophetias duobus in locis dictas a duobus prophetis in unum colligens, posuit : « Prout scriptum est in Isaia propheta : Ecce ego mitto nuntium meum ante faciem tuam, qui præparabit viam tuam ante te. Vox clamantis in deserto : Parate viam Domini, rectas facite semitas ejus. » Illud enim : « Vox clamantis in deserto » mox scriptum est post historiam narrantem Ezechiam ex morbo convaluisse; illud autem : « Ecce ego mitto nuntium meum ante faciem tuam, » a Malachia [76]. Quod autem scripsit Joannes, abbrevians textum a se citatum, id Marcus etiam ipse in alia dictione repræsentavit; quandoquidem, dicente propheta : « Parate viam Domini, rectas facite semitas Dei nostri, » scripserit ipse : « Parate viam Domini, rectas facite semitas ejus. » Idem fecit etiam in illis verbis : « Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te, » addens, « ante te, » quod positum non fuerat a propheta. Insuper diligentiam adhibentes in illud : « Et qui missi fuerant, erant ex Pharisæis, et interrogaverunt eum [77], » nos præposuimus Pharisæorum interrogationem (quod Matthæus eam tacuerit) his quæ scripta sunt facta fuisse apud Matthæum dicentem ; quod intuitus Joannes multos

A θάνεσθαι τοὺς Φαρισαίους κατὰ τὴν αὐτῶν πανουργίαν, οὐχὶ ὡς μαθεῖν θέλοντας.

quia vellent discere, sed ex propria versutia in-

14. Ἐπεὶ δὲ ἀναγκαῖον (19) ἡμῖν φαίνεται παρατιθέναι τὰς ὁμοίας τῶν Εὐαγγελίων λέξεις τοῖς ἐν χερσὶ ῥητοῖς, (καὶ τοῦτο καθ' ἕκαστον μέχρι τέλους ποιεῖν ὑπὲρ τοῦ τὰ μὲν σύγκρουσιν δοκοῦντα (20) ἀποδείκνυσθαι σύμφωνα, τὰ δ' ὅμως ὡς ἔχοντα ἕκαστον κατ' ἰδίαν σαφηνίζεσθαι·) φέρε τοῦτο καὶ ἐνταῦθα ποιήσωμεν. Τὸ γάρ· « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου, » παρὰ μὲν τῷ μαθητῇ τῷ Ἰωάννῃ ἐκ προσώπου τοῦ Βαπτιστοῦ λέγεται· παρὰ δὲ τῷ Μάρκῳ ὡς ἀρχὴ τοῦ Εὐαγγελίου

B Ἰησοῦ Χριστοῦ κατὰ τὴν Ἡσαΐου Γραφὴν ἀναγέγραπται οὕτως· « Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, καθὼς γέγραπται ἐν τῷ Ἡσαΐᾳ τῷ προφήτῃ· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Οὐ κεῖται μέντοιγε ἐν τῷ προφήτῃ· « Εὐθύνατε τὴν ὁδὸν Κυρίου, » ὅπερ παρέθετο ὁ Μάρκος (21). Μήποτ' οὖν ὁ Ἰωάννης, ἐπιτεμνόμενος τό· « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν, » ἀνέγραψεν· « Εὐθύνατε τὴν ὁδὸν Κυρίου· » ὅτι ὁ Μάρκος δύο προφητείας ἐν διαφόροις εἰρημένας τόποις ὑπὸ δύο προφητῶν εἰς ἓν συνάγων πεποίηκε· « Καθὼς γέγραπται ἐν τῷ Ἡσαΐᾳ τῷ προφήτῃ· Ἰδοὺ

C ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Τὸ μὲν γάρ· « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, » μετὰ τὴν περὶ τοῦ Ἐζεκίου ἱστορίαν ἀναστάντος ἐκ τῆς νόσου εὐθέως γέγραπται· τὸ δέ· « Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, » ὑπὸ Μαλαχίου. Ὅπερ δὲ ἐποίησεν ὁ Ἰωάννης ἐπιτεμνόμενος ὃ παρέθετο ῥητὸν, τοῦτο ἐπ' ἄλλης λέξεως ὁ Μάρκος καὶ αὐτὸς ἐνέφηνεν· ὁ μὲν γὰρ προφήτης φησίν· « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν· » ὁ δὲ Μάρκος· « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Τὴν δ' ὁμοίαν ἐπιτομὴν πεποίηται καὶ ἐπὶ τοῦ, « Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν

D ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου· » παρέθετο γὰρ (22) τὸ προκείμενον τό· « ἔμπροσθέν σου. » Ὅτι ἐπὶ τό (23)· « Ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων, καὶ ἠρώτησαν αὐτὸν, » ἐξετάζοντες ἡμεῖς προετάξαμεν τὴν ἐρώτησιν τῶν Φαρισαίων, ὡς σεσιωπημένην παρὰ τῷ

[74] Joan. I, 23. [75] Marc. I, 1-3; Malach. III, 1; Isa. XL, 3. [76] Malach. III, 1. [77] Joan. I, 24, 25.

(19) *Ἐπεὶ δὲ ἀναγκαῖον*, etc. Vide Hieronym. *in Malach.* III. Mox ubi codex Bodleianus habet παρατιθέναι, in editione Huetii legitur προστιθέναι.

(20) *Σύγκρουσιν δοκοῦντα*. Legendum vel συγκρούειν δοκοῦντα, vel σύγκρουσιν δοκοῦντα ἔχειν.

(21) *Ὅπερ παρέθετο ὁ Μάρκος*. Ita codd. Regius, Bodleianus et Barberinus, quos assectatur Perionius; at Ferrarius, *quod citavit Joannes*, recte, nam Joannes habet I, 23, Εὐθύνατε, Marcus autem I, 3, Ἑτοιμάσατε, ut ea quæ sequuntur apud Origenem, id evincunt. Videtur tamen Ferrarius emendasse Origenem, quem Marcum pro Joanne laudasse crediderim : quemadmodum infra Lucam pro Marco laudavit. HUETIUS.

(22) Codd. Bodleianus et Barberinus, οὐ παρέθετο γάρ, etc.

(23) *Ὅτι ἐπὶ τό*, etc. Legendum ἔτι ἐπὶ τό, etc.

Ματθαίῳ, τοῦ ἀναγεγραμμένου γεγονέναι παρὰ τῷ Ματθαίῳ· ὅτι ἰδὼν ὁ Ἰωάννης πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα, εἶπεν αὐτοῖς· « Γεννήματα ἐχιδνῶν, » καὶ τὰ ἑξῆς· ἀκόλουθον γάρ ἐστι πρῶτον πυθέσθαι, εἶτ' ἐληλυθέναι. Καὶ τοῦτο παρατηρητέον, ὅτι ὁ μὲν Ματθαῖος ἐκπορευομένους πρὸς τὸν Ἰωάννην, τὰ Ἱεροσόλυμα, καὶ πᾶσαν τὴν Ἰουδαίαν, καὶ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ἐπὶ τῷ βαπτίσασθαι ἐν τῷ Ἰορδάνῃ ποταμῷ, ἐξομολογουμένους ἑαυτῶν τὰς ἁμαρτίας, οὐδένα λόγον ἐπιπληκτικὸν καὶ ἐλεγκτικόν φησιν ἀκηκοέναι ἀπὸ τοῦ Βαπτιστοῦ, μόνους δὲ τοὺς ἑωραμένους πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐληλυθότας ἀκηκοέναι τό· « Γεννήματα ἐχιδνῶν, » καὶ τὰ ἑξῆς· ὁ δὲ Μάρκος οὐδέν φησιν ἐπιπληκτικὸν εἰρῆσθαι ὑπὸ τοῦ Ἰωάννου τοῖς ἐληλυθόσιν, οὖσι πάσῃ τῇ Ἰουδαίᾳ καὶ Ἱεροσολυμίταις πᾶσι, καὶ βαπτιζομένοις ὑπ' αὐτοῦ ἐν τῷ Ἰορδάνῃ, καὶ ἐξομολογουμένοις τὰς ἁμαρτίας αὐτῶν, ἀκολούθως τῷ μηδὲ ὠνομακέναι τοὺς Φαρισαίους καὶ Σαδδουκαίους. Ἔτι δὲ καὶ τοῦτο ἀναγκαῖον ἡμᾶς παραθέσθαι, ὅτι ἀμφότεροι μὲν, ὅ τε Ματθαῖος καὶ ὁ Μάρκος, ἐξομολογουμένους τὰς ἁμαρτίας αὐτῶν φασι βαπτίζεσθαι, πᾶσαν Ἱεροσόλυμα, καὶ πᾶσαν τὴν Ἰουδαίαν καὶ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ἢ πᾶσαν τὴν Ἰουδαίαν χώραν, καὶ τοὺς Ἱεροσολυμίτας πάντας· ὁ δὲ Ματθαῖος εἰσάγει μὲν ἐρχομένους ἐπὶ τὸ βάπτισμα τοὺς Φαρισαίους καὶ Σαδδουκαίους, οὐ μὴν ἐξομολογουμένους τὰς ἁμαρτίας αὐτῶν· διόπερ εἰκὸς καὶ τοῦτο εὔλογον εἶναι αἴτιον τοῦ ἀκηκοέναι αὐτοὺς, « Γεννήματα ἐχιδνῶν. » Μὴ ὑπολάβῃς δ' ἡμᾶς καὶ ἀκαίρως τὰ ἀπὸ τῶν ἑτέρων Εὐαγγελίων παρατεθεῖσθαι τὰ ἐκ τῶν ἀπεσταλμένων ἐκ τῶν Φαρισαίων καὶ ἐρωτησάντων τὸν Ἰωάννην ἐξετάζοντας. Εἰ γὰρ καλῶς ἐφηρμόσαμεν τὴν τῶν Φαρισαίων πεῦσιν, ἀναγεγραμμένην παρὰ τῷ μαθητῇ Ἰωάννῃ, τῷ βαπτισμῷ αὐτῶν παρὰ τῷ Ματθαίῳ κειμένῳ, ἀκόλουθον ἦν ἐξετάσαι τὰ κατὰ τοὺς τόπους, καὶ παραθέσθαι τὰ εὑρεθέντα παρατηρήματα. Ὁμοίως δὲ τῷ Μάρκῳ καὶ ὁ Λουκᾶς τοῦ « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, » μέμνηται ἀπὸ ἰδίου προσώπου οὕτως· « Ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. Καὶ ἦλθεν εἰς πᾶσαν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Προέθηκε (24) δὲ ὁ Λουκᾶς καὶ τὰ ἑξῆς τῆς προφητείας· « Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος, καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείας, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ· » ὁμοίως τῷ Μάρκῳ ἀναγράψας τό· « Εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ, » ἐπιτεμνόμενος, ὡς προειρήκαμεν, τό· « Εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. » Ἀντὶ δὲ τοῦ, « Καὶ ἔσται πάντα σκολιὰ εἰς εὐθείας, » χωρὶς τοῦ « πάντα, »

A Pharisæorum et Sadducæorum venientes ad baptisma, dixerit illis : « Progenies viperarum [78], » et quæ sequuntur, consequens cum sit primum eos interrogasse, tum vero advenisse. Hoc etiam obiter observandum est, quod exeuntibus tum Hierosolyma, tum tota Judæa, tum vero tota regione fluvii Jordani circumjecta [79], sua ipsorum peccata confitentibus, Matthæo nullum dicente eos verbum a Baptista audisse objurgatorium et asperum, sed solos Pharisæos, et Sadducæos, eosque multos, cum venirent, conspectos audisse illud : « Progenies viperarum, » et quæ sequuntur, Marcum consequenter [80], quia non nominarit Pharisæos, neque Sadducæos, nullum objurgatorium verbum narrare dictum fuisse a Joanne his qui ad se venerunt,
B cum accessissent ad eum tota Judæa ac Hierosolymitæ omnes, et baptizarentur ab eo in
127 Jordane, confitentes peccata sua. Quin et hoc necessario addamus oportet, nempe utrosque, Matthæum videlicet et Marcum, dicere [81], totam Hierosolymam, totamque Judæam, ac omnem circumjectam Jordanis regionem, vel totam Judæam regionem et Hierosolymitas omnes confiteri peccata sua ; sed cum Matthæus [82] induxerit venientes ad baptisma Pharisæos et Sadducæos, non tamen confitentes peccata sua, probabile esse atque rationi consentaneum ut hanc ob causam audierint : « Progenies viperarum [83]. » Cæterum ne nos existimes importune quæ quatuor evangelistæ dixerunt,
C contulisse, inquirentes quæ pertinent ad eos qui missi fuerant ex Pharisæis et interrogaverunt Joannem. Nam si bene adaptavimus Pharisæorum interrogationem scriptam apud discipulum Joannem, baptismo ipsorum posito apud Matthæum, consequens erat inquirere quæ ad hæc loca etiam intelligenda pertinebant, et quas invenissemus observationes addere. Meminit autem Lucas, perinde atque Marcus, ex persona propria, eorum verborum : « Vox clamantis in deserto, » hunc in modum : « Factum est verbum Domini ad Joannem Zachariæ filium in deserto. Et venit in omnem regionem finitimam Jordani, prædicans baptismum pœnitentiæ in remissionem peccatorum, sicut scriptum est in libro sermonum Isaiæ prophetæ dicentis : Vox clamantis in deserto : Parate viam Domini, rectas
D facite semitas ejus [84]. » Addidit etiam Lucas quod reliquum erat prophetiæ : « Omnis vallis implebitur, et omnis mons, et collis reddetur humilis, vertenturque distorta in vias rectas, et asperæ viæ in planas, videbitque omnis caro salutare Dei [85] ; » perinde atque Marcus, cum scripsisset : « Rectas facite semitas ejus, » decurtans, ut prædiximus, illud : « Rectas facite semitas Dei nostri. » In illis vero verbis : « Et erunt omnia obliqua in rectum, » vocem « omnia » prætermisit, plurium etiam nu-

[78] Matth. III, 7. [79] ibid. 5. [80] Marc. I, 5. [81] Matth. III, 5, 6 ; Marc. I, 5. [82] Cap. III, vers. 7. [83] ibid. [84] Luc. III, 2-4. [85] ibid. 5, 6.

(24) Προέθηκε. Legendum προσέθηκε.

mero « rectas » dicens, quod « rectam » singulari numero dictum fuerat. Ad hæc etiam pro eo quod est « aspera in planitiem, » fecit, « et asperæ viæ in planas ; » cumque prætermisisset illud, « videbitur gloria Domini, » addidit deinceps, « et videbit omnis caro salutare Dei. » Præter hoc vero conferunt etiam hujusmodi observationes ad demonstrandum decurtata fuisse ab evangelistis prophetica. Ad hæc vero observandum est illud, « Progenies viperarum, » et quæ sequuntur, Matthæum [86] **128** narrare, dictum fuisse Pharisæis et Sadducæis adventantibus ad baptismum, diversis exsistentibus ab his qui confitebantur peccata sua, et nihil tale audiebant ; Lucam vero [87], egredientibus turbis, ut baptizarentur ab ipso, hæc dicta fuisse, non facientem duos ordines eorum qui baptizabantur, quod apud Matthæum invenimus. Sed jure Matthæus [88] Baptistam inducit dicentem turbis : « Progenies viperarum, » et quæ sequuntur, quando turbæ in bonam partem non sumuntur, ut observantibus perspicuum erit. Pharisæis præterea et Sadducæis numero singulari dictum est [89] : « Facite fructum dignum pœnitentia ; » turbis vero numero plurium, « fructus dignos pœnitentiæ [90]. » Fortassis enim fructus pœnitentiæ eximius a Pharisæis exigitur, qui non alius est quam Jesus et fides erga ipsum ; a turbis autem, neque principium bonorum habentibus, omnes exiguntur pœnitentiæ fructus. Quamobrem plurium numero : « fructus facite, » dixit ipsis Baptista. Illud etiam præter hæc Pharisæis dicitur [91] : « Ne cogitetis apud vosmetipsos dicere : Patrem habemus Abraham. » [(27) Multi enim nunc principium habent, putantes se ad divinum verbum introduci, ut accedant ad veritatem. Itaque dicere secum in animo incipiunt, « Patrem habemus Abraham. »] Pharisæi vero non incipiunt, sed multo ante hoc cogitant. Utrique tamen prædictos lapides ostensos audiunt, quasi ex his suscitari possent liberi Abrahæ ipsi [92], suscitaturos ab insensibilitate et mortificatione. Observa autem Pharisæis (juxta id quod dictum fuit apud prophetam [93] : « Comedistis fructum mendacem ») habentibus fructum mendacem dici : « Omnis igitur arbor non faciens fructum bonum exscinditur [(29) et in ignem mittitur : » turbis autem quæ nullo modo fructum ferunt : « Omnis ergo arbor non faciens fructum, excidetur [94]. »] Id enim, quod fructum non habet, ne bonum quidem fructum habet ; quamobrem dignum est ut exscindatur : quod autem fructum habet, id non omnino fructum bonum habet ; quare jure et ipsum a securi dejicitur. Cæterum si accuratius exquisierimus, fieri

A τὴν λέξιν ἔθηκε, μετὰ τοῦ ἀντὶ ἑνικοῦ « εἰς εὐθεῖαν » πεποιηκέναι πληθυντικὸν « εὐθείας· » Ἔτι δὲ καὶ ἀντὶ τοῦ, « Ἡ τραχεῖα εἰς πεδία, » ἐποίησε, « Καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· » παραλιπών τε, « Καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, » παρέθετο τὸ ἑξῆς τό· « Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. » Χρήσιμοι δὲ αἱ παρατηρήσεις πρὸς ἀπόδειξιν περὶ τοῦ ἐπιτέμνεσθαι τοὺς εὐαγγελιστὰς τὰ προφητικά. Ἔτι δὲ καὶ τοῦτο παρατηρητέον, ὅτι τὰ « Γεννήματα ἐχιδνῶν, » καὶ τὰ ἑξῆς, ὁ μὲν Ματθαῖος τοῖς Φαρισαίοις καὶ Σαδδουκαίοις ἐρχομένοις ἐπὶ τὸ βάπτισμα εἰρῆσθαί φησιν, ἑτέροις οὖσιν παρὰ τοὺς ἐξομολογουμένους τὰς ἁμαρτίας αὐτῶν, καὶ μηδὲν τοιοῦτον ἀκούοντας· ὁ δὲ Λουκᾶς τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ ταῦτ' εἰρῆσθαι ἀναγράφει,
B οὐ ποιήσας δύο τάγματα βαπτιζομένων, ὅπερ παρὰ τῷ Ματθαίῳ εὕρομεν. Εἰκότως δὲ καὶ οὗτος, ἐπεὶ οἱ ὄχλοι οὐκ ἐν ἐπαίνῳ τάσσονται, ὡς τοῖς τηροῦσι σαφὲς ἔσται, τοῖς ὄχλοις εἰσάγει λέγοντα τὸν Βαπτιστὴν τό· « Γεννήματα ἐχιδνῶν, » καὶ τὰ ἑξῆς. Ἔτι δὲ πρὸς μὲν τοὺς Φαρισαίους, καὶ Σαδδουκαίους, « ποιήσατε, » εἴρηται ἑνικῶς, « καρπὸν ἄξιον τῆς μετανοίας (25)· » πρὸς δὲ τοὺς ὄχλους πληθυντικῶς, « ἀξίους καρποὺς τῆς μετανοίας. » Τάχα γὰρ οἱ μὲν Φαρισαῖοι τὸν ἐξαίρετον ἀπαιτοῦνται καρπὸν μετανοίας οὐκ ἄλλον ὄντα τοῦ Υἱοῦ, καὶ τῆς εἰς αὐτὸν πίστεως· οἱ δὲ ὄχλοι, οὐδὲ ἀρχὴν ἔχοντες ἀγαθῶν, πάντας ἀπαιτοῦνται τοὺς καρποὺς τῆς μετανοίας· διόπερ πρὸς αὐτοὺς τὸ πληθυντικὸν εἰρῆσθαι (26). Λέγεται πρὸς τούτοις
C τοῖς Φαρισαίοις· « Μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ. » Οἱ μὲν γὰρ ὄχλοι νῦν ἀρχὴν ἔχουσι, δοκοῦντες εἰσάγεσθαι εἰς τὸν θεῖον λόγον τοῦ προσιέναι τῇ ἀληθείᾳ. Διόπερ ἄρχονται λέγειν ἐν ἑαυτοῖς, « Πατέρα ἔχομεν τὸν Ἀβραάμ· » οἱ δὲ Φαρισαῖοι οὐκ ἄρχονται, ἀλλὰ πρὸ πολλοῦ τοῦτο δοξάζουσι. Πλὴν ἑκάτεροι τοὺς προειρημένους λίθους δεικνυμένους ἀκούουσιν, ὡς ἐκ τούτων (28) δύνασθαι ἐγερθῆναι τέκνα τῷ Ἀβραάμ, ἀπὸ τῆς ἀναισθησίας καὶ νεκρότητος ἀναστησομένους. Παρατήρει δὲ, ὅτι τοῖς μὲν Φαρισαίοις (κατὰ τὸ εἰρημένον ἐν τῷ προφήτῃ· « Ἐφάγετε καρπὸν ψευδῆ· ») ἔχουσι μὲν καρπὸν ψευδῆ λέγεται· « Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται· » τοῖς ὅλως δὲ ὄχλοις οὐδὲ καρποφοροῦσι τὸ, « Πᾶν οὖν δένδρον
D μὴ ποιοῦν καρπὸν ἐκκόπτεται, » Τὸ μὲν γὰρ μὴ ἔχον καρπὸν οὐδὲ καλὸν ἔχει καρπόν· διόπερ ἐκκοπῆς ἐστιν ἄξιον· τὸ δὲ ἔχον καρπὸν, οὐ πάντως καλὸν ἔχει καρπὸν, διόπερ καὶ αὐτὸς εὐλόγως ὑπὸ τῆς ἀξίνης καταβάλλεται. Ἐὰν δὲ ἀκριβέστερον ἐρευνήσωμεν τὰ περὶ τοὺς καρποὺς, εὑρήσομεν, ὅτι ἀμήχανον τὸ ἄρτι τοῦ γεωργεῖσθαι ἀρχόμενον, κἂν καρποφορῇ, τοὺς πρώτους ἐνεγκεῖν καρποὺς καλούς. Ἀγαπᾷ δὲ

[86] Matth. III, 7. [87] Luc. III, 7. [88] Matth. III, 7. [89] ibid. 8. [90] Luc. III, 8. [91] Matth. III, 9. [92] ibid. [93] Ose. X, 13 ; Matth. III, 10. [94] Luc. III, 9.

(25) *Εἴρηται ἑνικῶς, καρπὸν ἄξιον τῆς μετανοίας.* Id præferebant codices omnes quibus usus est Rob. Stephanus, et Vulgata, et Arabica, et Æthiopica, et Persica. At Syriaca numerum pluralem servat. Quod ait autem Ferrarius Origeni consentire Chrysostomum et Theophylactum, id nusquam reperio. HUETIUS.

(26) *Εἰρῆσθαι.* Legendum εἴρηται.

(27) Hæc, a Ferrario prætermissa, e Perionii interpretatione supplevimus.

(28) *Ὡς ἐκ τούτων.* Hæc in codice Bodleiano leguntur, sed desunt in codice Regio.

(29) Suppleta hæc quoque ex Perionio.

ὁ γεωργὸς πρῶτον τὸ ἐνεγκεῖν αὐτῷ τοὺς ἐπιβάλλοντας καρποὺς τὸ ἀρχόμενον γεωργίας (30)· ὕστερον δὲ διὰ τῶν πρεπόντων γεωργικῇ καθαρσίων μετὰ τοὺς ὁποίους δήποτε καρποὺς ληψόμενος καὶ καρποὺς καλούς. Καὶ ὁ νόμος δὲ ταύτῃ τῇ ἐκδοχῇ ἡμῶν μαρτυρεῖ λέγων δεῖν τὸν φυτεύσαντα (31) τρία ἔτη ποιεῖν ἀπερικάθαρτον ἐῶντα τὸ πεφυτευμένον, οὐκ ἐσθιομένων αὐτοῦ τῶν καρπῶν· « Τρία » γὰρ, φησὶν, « ἔτη ὑμῖν ὁ καρπὸς ἀπερικάθαρτος, οὐ βρωθήσεται· τῷ δὲ τετάρτῳ ἔτει ἔσται πᾶς ὁ καρπὸς ἅγιος, αἰνετὸς τῷ Κυρίῳ. » Εὐλόγως τοίνυν πρὸς τοὺς ὄχλους χωρὶς τῆς τοῦ καλοῦ προσθήκης λέγεται· « Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται· » Καὶ τὸ ἐπὶ πλεῖον δὲ φέρον καρπὸν ὅμοιον τῇ ἀρχῇ, δένδρον τυγχάνον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται· ἐπὰν, ἐνστάσης B τῆς μετὰ τὴν τριάδα εἰσαγωγῆς, ἐν τῇ τετράδι γενόμενος μὴ ποιῇ καρπὸν ἅγιον, αἰνετὸν τῷ Κυρίῳ. Ταῦτα δὲ πάντα, εἰ καὶ μετὰ παρεκβάσεως (32) ἡμῖν εἰρῆσθαι δοκεῖ παρατιθεμένοις καὶ τὰ ἀπὸ τῶν λοιπῶν Εὐαγγελίων, οὐκ ἄκαιρα δὲ ἐμοὶ φαίνεται, οὐδὲ ἀλλότρια τῆς ἐνεστηκυίας σκέψεως. Φαρισαῖοι γὰρ ἀποστέλλουσι πρὸς τὸν Ἰωάννην μετὰ τοὺς ἀπὸ Ἱεροσολύμων ἱερεῖς καὶ λευΐτας, πεμφθέντας ἐρωτῆσαι αὐτὸν ὅστις εἴη, ἐξετάζοντες· « Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὐδὲ Ἠλίας, οὐδὲ ὁ προφήτης; » καὶ ἐξετάσαντες ἐνταῦθα ἑξῆς παραγινόμενοι βαπτισόμενοι, ὡς ὁ Ματθαῖος ἀναγράφει, ἀκούουσι δὲ τὰ ἁρμόζοντα αὐτῶν τῇ ἀλαζονείᾳ καὶ ὑποκρίσει. Ἐπεὶ δὲ ὅμοια ἦν τὰ τούτοις εἰρημένα C τοῖς λεγομένοις πρὸς τοὺς ὄχλους, ἐχρῆν τὴν τῶν ῥητῶν σύγκρισιν καὶ σαφήνειαν ποιήσασθαι· ὧν γινομένων πλείονα ἀπῄτησεν (33) ἡμᾶς ἡ ἀκολουθία θεωρῆσαι. Ἔτι δὲ καὶ ταῦτα τοῖς εἰρημένοις δεόντως προσθήσομεν (34) δύο τάγματα πεμπόντων παρὰ τῷ Ἰωάννῃ ἀναγέγραπται, ἓν μὲν Ἰουδαίων τῶν ἀπὸ Ἱεροσολύμων ἀποστελλόντων ἱερεῖς καὶ λευΐτας· ἕτερον δὲ Φαρισαίων ἐπαπορούντων διὰ τί βαπτίζει. Καὶ ἀποδεδώκαμεν, ὅτι μετὰ τὴν πεῦσιν οἱ Φαρισαῖοι παραγίνονται βαπτισόμενοι (35). Μήποτ' οὖν πρὸ τούτων οἱ πρὸ τούτων ἀποστείλαντες ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι παραδεξάμενοι τοὺς Ἰωάννου λόγους, ἅτε πρότεροι τῶν Φαρισαίων πέμψαντες, καὶ πρότεροι ἔρχονται. Ἱεροσόλυμα γὰρ, πᾶσα Ἰουδαία, καὶ ἀκολούθως πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου ἐβαπτίζοντο ἐν τῷ D Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν· ἢ, ὡς ὁ Λουκᾶς φησιν (36)· « Ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται πάντες, καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ, ἐξομολογούμενοι τὰς ἁμαρ-

A non posse videbimus, ut id quod nuper excoli sit cœptum, etiamsi fructificet, primos afferat fructus bonos. Contentusque est agricola primam arboris culturam convenientes fructus proferre, tum vero procedente tempore, post **129** hos qualescunque fructus, sumpturus etiam fructus bonos, adhibitis purgationibus agriculturæ convenientibus. Quin lex etiam huic nostræ intelligentiæ attestatur dicens, oportere eum qui plantaverit impurgatum triennio sinere quod plantaverit, non comesis rei plantatæ fructibus: « Tres » enim, inquit [95], « annos vobis fructus impurgatus non comedetur; quarto autem anno erit omnis fructus sanctus, laudabilis Domino. » Jure ergo ad turbas absque additione boni dicitur: « Omnis igitur arbor quæ non facit fructum, exscinditur et in ignem conjicitur [96]; » et quæ diutius fructum fert principio similem, cum sit arbor quæ non facit fructum bonum, excinditur et in ignem mittitur, quandoquidem, post triennii culturam, in anno quarto non facit fructum sanctum, laudabilem Domino. Hæc autem omnia, quamvis per digressionem videantur a nobis dicta, comparantibus etiam quæ cætera Evangelia dicant, non importune tamen ascita, neque aliena a præsenti consideratione judicio sunt meo. Pharisæi enim mittunt ad Joannem post sacerdotes et levitas ab Hierosolymis missos, ad interrogandum ipsum quisnam esset, interrogantes: « Quid ergo baptizas, si tu non es ille Christus, neque Elias, neque ille propheta [97]? » cumque interrogassent hoc in loco, deinceps profecti ut baptizarentur, ut scribit Matthæus [98], audiunt convenientia fastui et simulationi suæ. Porro quoniam his eadem fere, quæ turbis dicta fuerant, postulabant hæc collationem atque explanationem, quæ dum fiunt, plura compulit nos consequentia rerum considerare. His insuper quæ diximus necessario illud addemus, Joannem scribere duos ordines esse mittentium: alterum quidem Judæorum mittentium ab Hierosolymis sacerdotes et Levitas [99]; alterum vero Pharisæorum addubitantium quare baptizet [1]. Tradidimus etiam Pharisæos post interrogationem profectos fuisse ut baptizarentur. Proinde vide, ne forte Judæi qui ante Pharisæos miserant ab Hierosolymis, admissa Joannis oratione, quia priores Pharisæis miserint, priores etiam veniant. Hierosolyma enim, et tota Judæa, et consequenter omnis regio Jordani finitima baptizabantur ab ipso in Jordane fluvio, confitentes peccata sua [2]: vel, ut Lucas inquit: « Egrediebatur ad ipsum **130** tota Judæa

[95] Levit. xix, 23. [96] Luc. iii, 9. [97] Joan. i, 25. [98] Matth. iii, 7. [99] Joan. i, 19. [1] ibid. 24, 25. [2] Matth. iii, 5, 6.

(30) *Αὐτῷ τοὺς ἐπιβάλλοντας καρποὺς τὸ ἀρχόμενον γεωργίας*. Sic recte habet codex Bodleianus; editio autem Huetii, αὐτοὺς ἐπιβάλλοντας καρποὺς τῷ ἀρχομένῳ γεωργίας.

(31) *Δεῖν τὸν φυτεύσαντα*. Sic codex Bodleianus; codex Regius, δεῖ τὸν φυτεύοντα.

(32) *Παρεκβάσεως*. Ita codd. Barberinus et Bodleianus; editio Huetii, παρεμφάσεως.

(33) *Ἀπῄτησεν*. Sic codex Bodleianus; Regius et Barberinus, ἀπήντησεν.

(34) *Προσθήσομεν*. Sic codex Bodleianus; editio Huetii, προσθήσομαι.

(35) *Βαπτισόμενοι*. Ita codices Barberinus et Bodleianus; editio Huetii, βαπτισάμενοι.

(36) *Ὡς Λουκᾶς φησιν*, etc. Hæc habentur Marc. i, 5; altum apud Lucam de iis silentium. Vel memoria igitur lapsus est Origenes, ut sæpe; vel manu ταχυγράφος, ut sæpissime. HUETIUS.

regio, et Hierosolymitæ omnes, et baptizabantur ab ipso in Jordane fluvio, confitentes peccata sua. » Cæterum neque Matthæus Pharisæos et Sadducæos, quibus dicitur : « Progenies viperarum [3], » neque Lucas turbas eamdem increpationem audisse inducunt confitentes peccata sua. Illud vero dubitatione dignum est, quomodo, cum tota Hierosolymitarum urbs, et tota Judæa, et tota regio Jordani finitima baptizarentur in Jordane a Joanne, Servator dicat : « Venit Joannes Baptista neque manducans, neque bibens, et dicitis : Dæmonium habet [4] ; » et interrogantibus : « In qua potestate hæc facis [5] ? » dicit : « Interrogabo et ego vos unum verbum ; quod si dixeritis mihi, dicam etiam ego vobis, in qua potestate hæc facio. Baptismus Joannis unde erat ? e cœlo an ex hominibus [6] ? » quando et disceptantes inquiunt : « Si dixerimus, e cœlo, dicet : Quare non credidistis illi [7] ? » Sed solvitur hunc in modum dubitatio : Pharisæi, ut antea observavimus, qui audierant, « Progenies viperarum, » nec illi crediderant, accedunt ad baptismum, timentes, uti probabile est, turbam, atque propter illos simulate volentes lavari, ne tot hominibus adversari viderentur. Sentientes igitur ipsum ab hominibus, non e cœlo habere baptismum, timent quod suspicantur dicere, ne forte lapidentur a turba. Quare quæ Servator Pharisæis locutus est, contraria non sunt his quæ scripta fuerunt in Evangeliis de multitudine eorum qui apud Joannem baptizati fuerunt, cum alioqui temeritatis Pharisæorum fuerit dicere Joannem habere dæmonium, et Jesum in Beelzebul dæmoniorum principe virtutes edidisse [8].

15. *Respondit illis Joannes, dicens: Ego quidem baptizo vos in aqua : in medio autem vestri stat, quem vos nescitis. Ipse est, qui post me venturus est, cujus non sum dignus ut solvam ejus corrigiam calceamenti* [9]. Equidem Heracleon existimat Joannem respondere his qui a Pharisæis missi fuerant, quod ipse volebat, non ad id quod illi interrogaverant, non advertens se incusare prophetam inscitiæ, si aliud interrogatus, de re alia respondet : cavendum enim nobis est hoc, dum colloquimur, tanquam vitium. Contra, nos
131 dicimus maxime appositam esse responsionem. Namque ad illud : « Quid ergo baptizas, si tu non es ille Christus [10] ? » quid aliud dici oportuit quam ostendere baptisma suum esse corporale ? « Ego » enim, inquit, « baptizo in aqua [11] ; » cumque hoc respondisset ad illud : « Quid ergo baptizas ? » ad alterum : « Si tu non es ille Christus, » laudes enarrat de præcipua ac præcedenti substantia Christi, nempe quod Christus tantum virium habet, ut invisibilis etiam sit divinitate sua, omni homini præsens, et per universum orbem extensus; quod declaratur per illud : « In medio vestri stat

A τίας αὐτῶν· » Οὔτε μέντοι Ματθαῖος τοὺς Φαρι
καὶ Σαδδουκαίους, πρὸς οὓς λέγεται, « Γεννήματ
δνῶν, » οὔτε Λουκᾶς τοὺς ὄχλους τὴν αὐτὴν ἐπι
ἀκούοντας εἰσάγουσι, ἐξομολογουμένους τὰς ἁμ
αὐτῶν. Ἄξιον δὲ ἐπαπορῆσαι πῶς, πάσης τῆ
ροσολυμιτῶν πόλεως, καὶ πάσης τῆς Ἰουδαία
πάσης τῆς περιχώρου τοῦ Ἰορδάνου βαπτιζο
ἐν τῷ Ἰορδάνῃ ὑπὸ Ἰωάννου, ὁ Σωτὴρ φ
« Ἐλήλυθεν ὁ Ἰωάννης ὁ Βαπτιστής, μήτε ἐ
μήτε πίνων, καὶ λέγετε· Δαιμόνιον ἔχει· » κα
τοὺς πυθομένους· « Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα πο
λέγει· « Κἀγὼ ἐρωτήσω ὑμᾶς ἕνα λόγον, ὃν ἐὰν
μοι, κἀγὼ ὑμῖν ἐρῶ, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα
Τὸ βάπτισμα τὸ Ἰωάννου πόθεν ἦν; ἐξ οὐ
ἢ (37) ἐξ ἀνθρώπων; ὅτε καὶ διαλογιζόμενοι
B « Ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ· Διὰ τί οὐ
στεύσατε αὐτῷ; » Λύεται δὲ τὸ ἀπορηθὲν οὕτω
ρισαῖοι, ὡς προτετηρήκαμεν, οἱ ἀκούσαντες,
νήματα ἐχιδνῶν, » οὐ πεπιστευκότες αὐτῷ παραγ
ἐπὶ τὸ βάπτισμα, εἰκὸς, ὅτι τὸν ὄχλον φοβοι
καὶ κατὰ τὴν πρὸς ἐκείνους ὑπόκρισιν ἀξι
λούσασθαι, ἵνα μὴ δοκοῖεν ἐναντιοῦσθαι τοῖς
τοις. Φρονοῦντες γοῦν αὐτὸν ἀπ' ἀνθρώπων
καὶ οὐκ ἀπ' οὐρανοῦ τὸ βαπτίζειν, διὰ τὸν
μήποτε λιθασθῶσιν, φοβοῦνται ὅπερ ὑπολαμβά
εἰπεῖν· ὥστε οὐκ ἐναντιοῦται ὑπὸ τοῦ Σωτῆρο
μένα πρὸς τοὺς Φαρισαίους, τοῖς ἀναγεγραμ
ἐν τοῖς Εὐαγγελίοις περὶ τοῦ πλήθους τῶν πα
Ἰωάννῃ βαπτισαμένων· τοῦ θράσους δὲ τῶν
C σαίων ἦν δαιμόνιον ἔχειν λέγειν τὸν Ἰωάννη
ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων τὰς
μεις φάσκειν τὸν Ἰησοῦν πεποιηκέναι.

15. *Ἀπεκρίνατο αὐτοῖς ὁ Ἰωάννης λέγων*
βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν ὃν
οὐκ οἴδατε. Αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχό
οὗ οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱ
τοῦ ὑποδήματος. Ὁ μὲν Ἡρακλέων οἴεται, ὅτι
κρίνεται ὁ Ἰωάννης τοῖς ἐκ τῶν Φαρισαίων πε
σιν, οὐ πρὸς ὃ ἐκεῖνοι ἐπηρώτων, ἀλλ' ὃ αὐτὸς
λετο, ἑαυτὸν λανθάνων, ὅτι κατηγορεῖ τοῦ πρ
ἀμαθίας, εἴγε ἄλλο ἐρωτώμενος περὶ ἄλλου
κρίνεται· χρὴ γὰρ καὶ τοῦτο φυλάττεσθαι
κοινολογίᾳ ἁμάρτημα τυγχάνον. Ἡμεῖς δ
μεν, ὅτι μάλιστα πρὸς ἔπος ἐστὶν ἡ ἀπό
D Πρὸς γὰρ τό· « Τί οὖν βαπτίζεις, εἰ σὺ οὐ
Χριστός; » τί ἄλλο ἐχρῆν εἰπεῖν, ἢ τε τὸ ἴδιον
στῆναι βάπτισμα σωματικώτερον τυγχάνον· «
γάρ, φησὶν, « βαπτίζω ἐν ὕδατι· » καὶ τοῦτο
πρὸς τό· « Τί οὖν βαπτίζεις; » πρὸς τὸ δε
« Εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, » δοξολογίαν πε
προηγουμένης οὐσίας Χριστοῦ διηγεῖται, ὅτι ἐ
τοσαύτην ἔχει, ὡς καὶ ἀόρατος εἶναι τῇ θειότη
τοῦ, παρὼν παντὶ ἀνθρώπῳ, παντὶ δὲ καὶ ἐ
κόσμῳ συμπαρεκτεινόμενος· ὅπερ δηλοῦται δι
« Μέσος ὑμῶν ἕστηκε. » Καὶ ἐπεὶ οὐδὲν οἱ

[3] Matth. III, 7. [4] Matth. XI, 18. [5] Matth. XXI, 23. [6] ibid. 24, 25. [7] ibid. 26. [8] Luc. XI, 15. [9] Joan. I, 26, 27. [10] Joan. I, 25. [11] ibid. 26.

(37) Ἐξ οὐρανοῦ, ἤ. Deest in editione Huetii, sed restituitur ex codd. Bodleiano et Barberino.

κῶντες Χριστοῦ ἐπιδημίαν Φαρισαῖοι τηλικοῦτον περὶ αὐτοῦ ἑώρων, ἄνθρωπον τέλειον ἅγιον μόνον ὑπολαμβάνοντες αὐτὸν εἶναι, ἐμμελῶς ἐλέγχει τὴν περὶ τῆς ὑπεροχῆς αὐτοῦ Φαρισαίων ἄγνοιαν, προστιθεὶς τῷ· « Μέσος ὑμῶν ἕστηκε, » τὸ « Ὃν ὑμεῖς οὐκ οἴδατε. » Καὶ ἵνα μή τις ὑπολάβῃ ἕτερον εἶναι τὸν ἀόρατον καὶ διήκοντα ἐπὶ πάντα ἄνθρωπον, ἢ καὶ ἐπὶ ὅλον τὸν κόσμον, παρὰ τὸν ἐνανθρωπήσαντα, καὶ ἐπὶ τῆς γῆς ὀφθέντα, καὶ τοῖς ἀνθρώποις συναναστραφέντα, συνάπτει τῷ· « Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε, » τό· « Ὁ ὀπίσω μου ἐρχόμενος, » τουτέστι μετ' ἐμὲ φανερωθησόμενος· οὗ καὶ τὴν ὑπερβάλλουσαν ὑπεροχὴν συνιεὶς παρὰ τὴν ἑαυτοῦ φύσιν, ἀμφιβαλλομένην ὑπό τινων, μήποτ' ἄρ' αὐτὸς εἴη Χριστὸς, ὅσον ἀπολείπεται τῆς τοῦ Χριστοῦ μεγαλειότητος παραστῆσαι βουλόμενος, ἵνα μή τις εἰς αὐτὸν λογίσηται ὑπὲρ ὃ βλέπει, ἢ ἀκούει ἐξ αὐτοῦ, λέγει καὶ τό· « Οὗ οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος, » αἰνιττόμενος τὸ οὐχ ἱκανὸς εἶναι τὸν περὶ τῆς ἐνσωματώσεως αὐτοῦ λόγον (οἱονεὶ δεδεμένον, καὶ κεκρυμμένον τοῖς μὴ νοοῦσι), λῦσαι καὶ σαφηνίσαι, ὥστε ἄξιόν τι τῆς τοσαύτης ἐπιδημίας εἰς οὕτω βραχύτητα συνεσταλμένης εἰπεῖν.

A ille, [quem vos nescitis [12]. »] Et quoniam nihil tale exspectantes Christi adventum Pharisæi de ipso videbant, tantum suspicantes eum esse hominem sanctum, concinne redarguit Pharisæorum ignorantiam, qui ipsius excellentiam ignorabant, adjiciens : « Quem vos nescitis, » illis verbis : « In medio vestri stat. » Et ne quis suspicetur eum qui sit invisibilis, quique penetret ad omnem hominem et ad totum mundum, diversum esse ab eo qui humanam sumpsit carnem, et « super terram est visus, et cum hominibus est conversatus [13], » conjungit illis verbis : « In medio vestri stat, quem vos nescitis ; » illud : « Qui post me venturus est [14], » hoc est, qui post me manifestandus est. Cujus cum excedente et exsuperante excellentia intellexisset B Joannes suam ipsius naturam superari, ob quam ambigebant nonnulli an ipse esset Christus, ostendere volens quanto inferior esset Christi magnitudine, ne quis de se cogitaret aliquid supra id quod videt aut audit a semetipso, dicit etiam illud : « Cujus non sum ego dignus ut solvam ejus corrigiam calceamenti [15], » illud innuens se minime idoneum esse qui de ipsius Christi incorporatione rationem (quæ veluti ligata est et occultata non intelligentibus) solvat explicetque, dignum aliquid dicendo de tanto adventu in tantam brevitatem contracto.

16. Οὐκ ἄκαιρον δὲ ἐξετάζουσιν ἡμῖν τό· « Ἐγὼ βαπτίζω ἐν ὕδατι, » τὰς ὁμοίας τῶν Εὐαγγελιστῶν παραθέσθαι περὶ τούτου λέξεις, καὶ συγκρῖναι τῇ προκειμένῃ. Φησὶ τοίνυν ὁ Ματθαῖος, ἰδὼν πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων, ἐρχομένους ἐπὶ τὸ βάπτισμα (μετὰ τὰ ἐπιπληκτικὰ περὶ ὧν ἐξετάσαμεν,) « Ἐγὼ μὲν ὑμᾶς ἐν ὕδατι βαπτίζω εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· » σύμφωνον τῷ κατὰ Ἰωάννην λόγῳ, τὴν ὁμολογίαν τοῦ ἐν ὕδατι βαπτίσματος πρὸς τοὺς πεμφθέντας ἐκ Φαρισαίων λέγοντι. Ὁ δὲ Μάρκος, « Ἐκήρυσσε, » φησὶν, « Ἰωάννης « λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Ἐγὼ ἐβάπτισα ὑμᾶς ὕδατι, αὐτὸς δὲ βαπτίσει (38) ὑμᾶς ἐν Πνεύματι ἁγίῳ· » πρὸς πλείονας καὶ πάντας τοὺς ἀκούοντας διδάσκων ταῦτα κεκηρύχθαι. Ὁ δὲ Λουκᾶς φησιν, ὅτι, προσδοκῶντος τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστὸς, ἀπεκρίνατο λέγων πᾶσιν ὁ Ἰωάννης· « Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. »

16. Verum enimvero haud importunum fuerit inquirentibus nobis illud : « Ego in aqua baptizo [16], » C addere, si quid simile de hoc dixerint evangelistæ, et cum re qua de agitur conferre. Itaque Matthæus inquit, cum conspexisset multos ex Pharisæis et ex Sadducæis venientes ad baptismum (post verba increpatoria, de quibus inquisivimus) : « Ego quidem vos in aqua baptizo ad resipiscentiam : at ille, qui post me venturus est, potentior me est, cujus non sum idoneus, ut calceamenta portem : ipse vos baptizabit in Spiritu sancto et igni [17] ; » cum sermone Joannis conveniens narrante confessionem baptismi in aqua ad eos qui missi fuerant ex Pharisæis. At Marcus : « Prædicabat, » inquit, « Joannes dicens : Venit, qui fortior est me, post me, cujus non **132** sum idoneus, ut procumbens solvam corrigiam calceamentorum ejus. Ego quidem ba- D ptizo vos aqua, ille vero baptizabit vos in Spiritu sancto [18] ; » ad complures, et omnes audientes docens hæc prædicata fuisse. Rursum Lucas inquit, quod exspectante populo, et cogitantibus omnibus in cordibus suis de Joanne, an ipse esset Christus, responderit Joannes dicens universis : « Ego quidem aqua baptizo vos; sed veniet, qui potentior est me, cujus non sum idoneus solvere corrigiam calceamentorum ejus. Ipse vos baptizabit in Spiritu sancto et igni [19]. »

17. Ἔχοντες τοίνυν τὰς ὁμοίας λέξεις τῶν τεσσάρων, φέρε κατὰ τὸ δυνατὸν ἴδωμεν ἰδίᾳ τὸν νοῦν ἑκά-

17. Tenentes igitur quatuor evangelistarum similia verba, age, videamus pro virili seorsum

[12] Joan. I, 26. [13] Baruc. III, 38. [14] Joan. I, 27 [15] ibid. [16] ibid. 26. [17] Matth. III, 11. [18] Marc. I, 6-8. [19] Luc. III, 16.

(38) *Βαπτίσει.* Sic codex Bodleianus ; editio Huetii βαπτίζει.

uniuscujusque verbi sensum et differentias, initio sumpto a Matthæo, qui primus cæterorum traditur Evangelium tradidisse Hebræis qui ex circumcisione crediderant: « Ego vos, inquit, in aqua baptizo ad resipiscentiam, » veluti purgans et deterrens a rebus malis, et ad resipiscentiam invitans: ut præparem enim populum instructum ego veni [20]; et ad præparandum locum resipiscentiæ per baptismum post me venturo, qui hac etiam ratione longe potentius præstantiusque quam mea sit potentia, vobis adjumento futurus est. Siquidem illius baptismus non est corporalis, cum resipiscentem repleat Spiritus sanctus igne diviniori, quidquid vel materiale vel terrenum fuerit demoliente et consumente. Et hoc non tantum in eo qui ipsum admiserit, sed etiam in eo qui audierit ipsum habentes. Tanto autem est me fortior, qui post me venturus est, ut ne ea quidem quæ ad amictum spectant extremarum potentiarum quæ sunt circa ipsum, portare, vel qui ea sustinent, ferre sim idoneus: cum non ita nuda prostent, ut ea obvii quique intelligere possint. Igitur non novi utrum prius dicam, meamne multam imbecillitatem, quæ ne vilia quidem Christi (magnarum rerum circa ipsum exsistentium comparatione) ferre queat, an divinitatem illius eminentem et toto mundo majorem, quandoquidem ego, qui tantam accepi gratiam ut prophetia dignus habitus fuerim, quæ meum adventum ad vitam hominum prædiceret, illis verbis: « Ego vox clamantis in deserto [21]; » et: « Ecce ego mitto nuntium meum ante faciem tuam [22]: » Ego, cujus ortum Gabriel astans coram altari admirabiliter annuntiavit [23], patre meo in senectute **133** exsistente; ego, ad cujus nomen Zacharias mox vocem recepit, atque etiam prophetandi munus per ipsam [24]; ego, de quo Dominus testificatus est [25], neminem inter natos mulierum me majorem exsistere; neque calceamenta ejus idoneus sum portare. Quod si non calceamenta, quid dicendum de vestimentis ejus? Quis tantus qui totam illius vestem custodire queat? Quis est qui cogitaturus sit se comprehensurum rationem eam quam habet tunica a summo inconsutilis [26], quia sit per totum contexta? Illud vero observandum quod, quatuor Evangelistis dicentibus Joannem fateri se advenisse ad baptizandum in aqua, solus Matthæus huic rei addiderit [27], « ad resipiscentiam, » nimirum docens utilitatem futuram baptismatis ei qui ex proposito baptizaretur, quæ ad resipiscentem perveniens, ei qui accederet non resipiscens, asperius judicium

A στης καὶ τὰς διαφορὰς, ἀρξάμενοι ἀπὸ τοῦ Ματθαίου, ὃς καὶ παραδέδοται πρῶτος (39) τῶν λοιπῶν τοῖς Ἑβραίοις ἐκδεδωκέναι τὸ Εὐαγγέλιον, τοῖς ἐκ περιτομῆς πιστεύουσιν· « Ἐγὼ μὲν, φησὶν, ὑμᾶς ἐν ὕδατι (40) βαπτίζω εἰς μετάνοιαν, » οἱονεὶ καθαίρων, καὶ ἀποτρεπόμενος ἀπὸ τῶν χειρόνων, καὶ ἐπὶ μετάνοιαν παρακαλῶν· ἑτοιμάσαι γὰρ Κυρίῳ λαὸν κατεσκευασμένον ἐγὼ ἐλήλυθα, καὶ χώραν διὰ τοῦ βαπτίσματος τῆς μετανοίας εὐτρεπίσαι τῷ μετ' ἐμὲ ἥξοντι, καὶ διὰ τοῦτο ἰσχυρότερον πολλῷ τῆς ἐμῆς δυνάμεως, καὶ κρεῖττον ὑμᾶς ὠφελήσοντι· οὐ σωματικὸν γὰρ τὸ ἐκείνου βάπτισμα, τὸν μετανοοῦντα πληροῦντος ἁγίου Πνεύματος, καὶ θειοτέρου πυρὸς πᾶν ὑλικὸν ἀφανίζοντος, καὶ πᾶν γεῶδες ἐξαναλίσκοντος, οὐ μόνον ἀπὸ τοῦ χωρήσαντος αὐτὸ, ἀλλὰ καὶ ἀπὸ τοῦ B τῶν ἐχόντων ἀκούοντος. Τοσοῦτον δέ ἐστιν ἐμοῦ ἰσχυρότερος ὁ μετ' ἐμὲ ἐρχόμενος (41), ὡς μηδὲ τὰ τῆς περιβολῆς τῶν περὶ αὐτὸν δυνάμεων ἐσχάτων, οὐχὶ γυμνῶν ἐκκειμένων, ὥστε καὶ τοὺς τυχόντας νοεῖν αὐτὰ δύνασθαι, ἱκανόν με τυγχάνειν βαστάσαι, μηδὲ ταῦτα ὑπομένοντας φέρειν. Οὐκ οἶδα δὴ ὁπότερον εἴπω, πότερον τὴν πολλήν μου ἀσθένειαν, τὰ εὐτελῆ τοῦ Χριστοῦ συγκρίσει τῶν περὶ ἑαυτὸν μειζόνων φέρειν μὴ δυναμένην, ἢ διὰ τὴν ἐκείνου ὑπερβάλλουσαν καὶ μείζονα παντὸς τοῦ κόσμου θειότητα· εἴτε ἐγὼ ὁ τηλικαύτην χωρήσας χάριν, ὡς καὶ προφητείας ἠξιῶσθαί με, προλεγούσης τὰ περὶ τῆς εἰς τὸν βίον τῶν ἀνθρώπων ἐπιδημίας μου, ἐν τῷ· « Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, » καί· « Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου· » Ἐγὼ, C οὗ τὴν γένεσιν Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ παραδόξως εὐηγγελίσατο ἐν γήρᾳ γεγενημένῳ τῷ Πατρί μου· Ἐγὼ, ἐφ' οὗ τῷ ὀνόματι Ζαχαρίας ἅμα ἀπέλαβε τὴν φωνὴν, καὶ τὸ προφητεύειν δι' αὐτῆς· Ἐγὼ, ὁ ὑπὸ τοῦ Κυρίου μου μαρτυρούμενος, ὡς ἄρα μείζων ἐν γεννητοῖς γυναικῶν ἐμοῦ οὐδεὶς τυγχάνει, οὐδὲ τὰ ὑποδήματα βαστάσαι ἱκανός (42) εἰμι. Εἰ δὲ μὴ τὰ ὑποδήματα, τί λεκτέον περὶ τῶν ἐνδυμάτων αὐτοῦ; Τίς οὗτος (43) ὃς ὁλόκληρον αὐτοῦ τὸ ἱμάτιον τηρῆσαι δυνήσεται; Τίς, ὃς νοήσει τὸν ἐκ τῶν ἄνωθεν χιτῶνα ἄῤῥαφον διὰ τὸ δι' ὅλου ὑφαντὸν τυγχάνειν καταλαβεῖν ὃν ἔχει λόγον; Παρατηρητέον δὲ, ὅτι τῶν τεσσάρων εἰρηκότων τὸ (44) ἐν ὕδατι ὁμολογεῖν Ἰωάννην ἐληλυθέναι βαπτίζειν, μόνος Ματθαῖος τούτῳ προσέθηκε τὸ, « εἰς μετάνοιαν· » D διδάσκων τὸ ἀπὸ τοῦ βαπτίσματος ὠφέλειαν ἔχεσθαι τῆς προαιρέσεως τοῦ βαπτιζομένου, τῷ μετανοοῦντι μὲν ἐγγινομένην, (45) τῷ δὲ μὴ μετανοοῦντι προσιόντι εἰς κρίμα χαλεπώτερον ἐσομένην. Χρὴ δὲ εἰδέναι, ὅτι, ὥσπερ αἱ κατὰ τὰς γεγενημένας ὑπὸ τοῦ Σωτῆρος θεραπείας τεράστια

[20] Luc. I, 17. [21] Isa. XL, 3. [22] Malach. III, 1. [23] Luc. I, 7, 11 et seq. [24] Luc. I, 63, 64, 67 et seq. [25] Matth. XI, 11. [26] Joan. XIX, 23. [27] Matth. III, 11.

(39) *Ὃς καὶ παραδέδοται πρῶτος*, etc. Eusebius, *Hist.* lib. III, c. 24, et lib. VI, c. 25; Chrysostomus, homil. 1 *in Matth.*

(40) *Ἐν ὕδατι*. Restituitur e codice Bodleiano.

(41) *Μετ' ἐμὲ ἐρχόμενος*. Sic cod. Bodleianus; editio Huetii, μετερχόμενος.

(42) *Εἰμί. Εἰ δὲ μὴ τὰ*, etc. In editione Huetii deest εἰμί, et mox legitur Εἰ μὴ γὰρ τὰ, etc. Codex Bodleianus lectionem nostri textus repræsentat.

(43) *Ὃς ὁλόκληρον*. Sic codex Bodleianus; Regius, male, ὁ ὁλόκληρον.

(44) *Ἐν ὕδατι*. Sic codex Bodleianus, Regius perperam ἐνδύματι.

(45) *Τῷ δὲ μὴ μετανοοῦντι προσιόντι*. Ita codex Bodleianus; Regius, μὴ οὕτω δὲ προσιόντι.

δυνάμεις, σύμβολα τυγχάνουσαι τῶν ἀεὶ Λόγῳ τοῦ Θεοῦ ἀπαλλαττομένων πάσης νόσου καὶ μαλακίας, οὐδὲν ἧττον καὶ σωματικῶς γενόμεναι (46) ὤνησαν, εἰς πίστιν προσκαλεσάμεναι τοὺς εὐεργετηθέντας· οὕτως (47) καὶ τὸ διὰ τοῦ ὕδατος λουτρὸν, σύμβολον τυγχάνον καθαρσίου ψυχῆς, πάντα ῥύπον ἀπὸ κακίας ἀποπλυνομένης, οὐδὲν ἧττον καὶ κατ' αὐτὸ τῷ ἐμπαρέχοντι ἑαυτὸν τῇ θειότητι τῆς δυνάμεως τῶν τῆς προσκυνητῆς Τριάδος ἐπικλήσεών ἐστιν ἡ χαρισμάτων θείων ἀρχὴ καὶ πηγή· « Διαιρέσεις γὰρ χαρισμάτων εἰσί. » Μαρτυρεῖ δέ μου τῷ λόγῳ ἡ ἐν ταῖς τῶν ἀποστόλων Πράξεσιν ἀναγεγραμμένη ἱστορία, περὶ τοῦ οὕτως ἐναργῶς τότε τὸ πνεῦμα τοῖς βαπτιζομένοις ἐπιδεδημηκέναι, προευτρεπίσαντος αὐτῷ τοῦ ὕδατος τοῖς γνησίως προσιοῦσιν ὁδόν· ὡς καὶ τὸν μάγον Σίμωνα καταπλαγέντα θέλειν μὲν τὴν χάριν ταύτην ἀπὸ τοῦ Πέτρου λαβεῖν, ἐθέλειν δὲ τὸ δικαιότατον διὰ τοῦ μαμμωνᾶ τῆς ἀδικίας. Καὶ τοῦτο δὲ παρασημειωτέον, ὅτι τὸ Ἰωάννου βάπτισμα ὑποδεέστερον ἐτύγχανε τοῦ βαπτίσματος Ἰησοῦ διδομένου διὰ τῶν μαθητῶν αὐτοῦ. Οἱ γοῦν ἐν ταῖς Πράξεσι βεβαπτισμένοι εἰς τὸ Ἰωάννου βάπτισμα, μηδὲ εἰ Πνεῦμα ἅγιόν ἐστιν ἀκούσαντες, βαπτίζονται δεύτερον ὑπὸ τοῦ Ἀποστόλου. Τὸ γὰρ τῆς ἀναγεννήσεως οὐ παρὰ τῷ Ἰωάννῃ, ἀλλὰ παρὰ τῷ Ἰησοῦ διὰ τῶν μαθητῶν αὐτοῦ ἐγίνετο, καὶ παλιγγενεσίας ὀνομαζόμενον λουτρὸν, μετὰ ἀνακαινώσεως γινόμενον πνεύματος, τοῦ καὶ νῦν ἐπιφερομένου, ἐπειδὴ παρὰ (48) Θεοῦ ἐστιν, ἐπάνω τοῦ ὕδατος, ἀλλ' οὐ πᾶσι μετὰ τὸ ὕδωρ ἐγγινομένου. Καὶ ταῦτα μὲν εἰς τὴν ἐξέτασιν τῶν ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ (49).

18. Ἤδη δὲ καὶ τὰ Μάρκου κατανοήσωμεν, ὃς ἀνέγραψε κηρύσσοντα τὸν Ἰωάννην ταῦτα μὲν εἰρηκέναι κατὰ τό· « Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου· » ἰσοδυναμεῖ γὰρ ταῦτα τῷ· « Ὁ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν· » οὐκ ἔτι δὲ τὰ αὐτὰ ἐν τῷ· « Οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. » Ἕτερον μὲν γὰρ τὸ βαστάζειν τὰ ὑποδήματα, δηλονότι ἤδη λελυμένα ἀπὸ τῶν τοῦ ὑποδεδεμένου ποδῶν· ἕτερον δὲ τὸ κύψαντα λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Καὶ ἀκόλουθόν γε μηδενὸς σφαλλομένου τῶν Εὐαγγελιστῶν, μηδὲ ψευδομένου, ὡς εἴποιεν ἂν οἱ πιστεύοντες, ἀμφότερα κατὰ διαφόρους καιροὺς εὑρηκέναι (50) τὸν Βαπτιστὴν καθ' ἕτερον καὶ ἕτερον νοῦν κινούμενον· οὐ γὰρ περὶ τῶν αὐτῶν, ὡς οἴονταί τινες οἱ ἀπομνημονεύοντες, διαφόρως ἠνέχθησαν μὴ ἀκρι-

futura esset. Sciendum est insuper, quemadmodum prodigiosæ virtutes in curationibus a Servatore factis, notæ exsistentes eorum, qui semper a Λόγῳ, [id est Filio Dei] liberantur tum ab omni ægritudine, tum a mollitie, profuerunt (etiam corporaliter factæ) invitantes ad fidem eos qui beneficio afficiebantur; ita lavacrum aquæ, symbolum et nota exsistens purificationis animæ ablutæ ab omni sorde malitiæ, nihilominus, etiam ex se, esse principium ac fontem munerum divinorum, propter potentiam invocationum adorandæ Triadis, ei qui se exhibuerit deitati. « Divisiones » enim « donorum sunt [28]. » Testimonium autem meis verbis præbet historia in Actis apostolorum [29] scripta de eo quod adeo evidenter tunc advenerit Spiritus his qui baptizabantur, præstruente viam aqua his qui sincere ad ipsum accedebant; adeo ut Simon ille Magus obstupefactus vellet a Petro hanc gratiam accipere, velletque rem justissimam per mammona iniquitatis. Quin et hoc insuper notandum quod Joannis baptismus Jesu baptismo, quod dabatur per discipulos ejus, inferior erat. Qui ergo in Actis baptizati erant in Joannis baptismo [30], et neque, an Spiritus sanctus esset, audierant, denuo ab Apostolo baptizantur, quia regeneratio non apud 134
Joannem, sed apud Jesum per apostolos suos fiebat, atque etiam regenerationis quod dicitur lavacrum, quod fiebat cum renovatione spiritus, qui etiam nunc præfertur aquæ, quoniam a Deo est, sed non omnibus post aquam imprimitur, et ingeneratur. Et hæc quidem hactenus, quod ad inquisitionem attinet eorum quæ sunt in Evangelio secundum Matthæum.

18. Proinde jam Marcum etiam consideremus, qui prædicantem quidem Joannem eadem scripsit dixisse, juxta illud: « Venit potentior me post me [31]; » hæc enim æque valent atque ea verba: « Qui post me venturus est, potentior me est [32]; » non amplius vero eadem, dum inquit: « Non sum idoneus procumbens solvere corrigiam calceamentorum ejus [33]. » Aliud est etenim gestare calceamenta, jam scilicet soluta a pedibus calceati; aliud etiam, procumbentem solvere corrigiam calceamentorum ejus. Proinde consequens est, nullo ex Evangelistis vel fallente, vel mentiente, ut dicerent qui credunt, utraque Baptistam diversis temporibus dixis e secundum aliam et aliam mentem motum. Non enim de iisdem rebus varie locuti sunt Evangelistæ, ut quidam expositores putant, accu-

[28] I Cor. xii, 4. [29] Act. viii, 15 et seq. [30] Act. xix, 2 et seq. [31] Marc. i, 7. [32] Matth. iii, 11. [33] Marc. i, 7.

(46) Pro ὤνησαν perperam in codd. Regio et Barberino legitur ὧν ἦσαν.

(47) *Οὕτως καὶ τὸ διὰ τοῦ ὕδατος*, etc. Locum hunc profert Basilius libro *De Spiritu sancto*, c. 29. Qui locus, quoniam aliter paulo apud ipsum conceptus est, hic a nobis recitabitur: Ὅς γε (Ὠριγένης) κατὰ τὸ ἕκτον οἶμαι τῶν εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον Ἐξηγητικῶν, καὶ προσκυνητὸν αὐτὸ (Πνεῦμα ἅγιον) φανερῶς ἀπεφήνατο, οὑτωσὶ γράφων κατὰ λέξιν· Ὅτι τὸ τοῦ ὕδατος λουτρὸν σύμβολον τυγχάνει καθαρσίου ψυχῆς, πάντα ῥύπον τὸν ἀπὸ κακίας ἀποπλυναμένης. Οὐδὲν δὲ ἧττον καὶ καθ' ἑαυτὸ τῷ ἐμπαρέχοντι ἑαυτὸν τῇ θεότητι τῆς προσκυνητῆς Τριάδος διὰ τῆς δυνάμεως τῶν ἐπικλήσεων χαρισμάτων ἀρχὴν ἔχει καὶ πηγήν.

(48) *Παρά*. Ita codex Bodleianus; Regius et Barberinus, περί.

(49) *Εὐαγγελίῳ*. Deest in codd. Regio et Barberino, sed restituitur e codice Bodleiano.

(50) *Εὑρηκέναι*. Legendum videtur cum Ferrario, εἰρηκέναι.

rare non inquirentes singula dicta vel facta. Atque magnum quidem est gestare Jesu calceamenta, sed magnum etiam est illud, procumbentem ad ipsius corporalia deorsum facta, considerandi causa imaginem inferiorem, solvere obscura quæque mysterii incarnationis, quæ velut sunt calceamentorum corrigia : unum enim est obscuritatis vinculum, sicut etiam una scientiæ est clavis, quæ ne ipse quidem major inter natos mulierum ex se solvere vel aperire idoneus est; nempe eo solo ligante aperienteque, qui quibus ipse velit, elargitur solvere et aperire corrigiam calceamentorum atque etiam quæ clausa sunt. Quod si mysticus est calceamentorum locus, ne hunc quidem præterire dignum est. Igitur opinor hominis assumptionem, cum carnem et ossa recipit Dei Filius, alterum esse calceamentorum, alterum autem esse descensum ad infernum, **135** quisquis tandem sit ille infernus, et ad carcerem cum Spiritu iter. Illud de descensu ad infernum scribitur in quinto decimo psalmo [34] : « Non derelinques animam meam in infernum. » Et de itinere cum Spiritu ad carcerem apud Petrum in Catholica Epistola : « Mortificatus» enim, inquit, «carne, sed vivificatus Spiritu : in quo etiam profectus spiritibus, qui erant in carcere, prædicavit : qui inobedientes fuerunt quondam, cum exspectabatur Dei lenitas in diebus Noe, cum apparabatur arca [35]. » Qui itaque, ut dignum est utrisque adventibus, orationem habere potest, corrigiam solvere calceamentorum Jesu idoneus est, etiam ipse mente procumbens, pariterque cum descendente in infernum descendens, et a cœlo et a mysteriis divinitatis Christi descendens ad ipsius apud nos adventum necessario factum, cum hominem ligavit. Porro qui hominem

A δοῦντες τῇ μνήμῃ ἕκαστον τῶν εἰρημένων, ἢ γεγενημένων. Μέγα μὲν οὖν τὸ βαστάσαι τοῦ Ἰησοῦ τὰ ὑποδήματα, μέγα δὲ καὶ τὸ ἐπὶ τὰ σωματικὰ αὐτοῦ κάτω που γεγενημένα, κύψαντα ὑπὲρ τοῦ τὴν εἰκόνα κάτω θεάσασθαι, λῦσαι ἕκαστον τῶν περὶ τοῦ μυστηρίου (51) τῆς ἐνσωματώσεως ἀσαφῶν, οἱονεὶ τὸν ἱμάντα τῶν ὑποδημάτων τυγχάνοντα· εἷς γὰρ ὁ τῆς ἀσαφείας δεσμὸς, ὥσπερ καὶ ἡ μία τῆς γνώσεως κλεὶς, ἅτινα οὐδὲ ὁ μείζων ἐν γεννητοῖς γυναικῶν καθ' αὑτὸν ἱκανὸς λῦσαι, ἢ ἀνοῖξαι, τοῦ δήσαντος καὶ κλείσαντος μόνου δωρουμένου οἷς βούλεται τὸ λῦσαι, καὶ ἀνοῖξαι τὸν ἱμάντα τῶν ὑποδημάτων, καὶ τὰ κεκλεισμένα. Εἰ δὲ μυστικὸς ὁ περὶ τῶν ὑποδημάτων τόπος, οὐδὲ τοῦτον παρελθεῖν ἄξιον (52). Οἶμαι τοίνυν τὴν μὲν ἐνανθρώπησιν, ὅτε σάρκα καὶ
B ὀστέα ἀναλαμβάνει ὁ τοῦ Θεοῦ Υἱὸς, τὸ ἕτερον εἶναι τῶν ὑποδημάτων, τὴν δὲ εἰς ᾅδου κατάβασιν, ὅστις ποτέ ἐστιν ὁ ᾅδης (53), καὶ τὴν εἰς φυλακὴν μετὰ τοῦ Πνεύματος πορείαν, τὸ λοιπόν. Περὶ τῆς εἰς ᾅδου καταβάσεως τό· « Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς τὸν ᾅδην, » ἐν ιε' ψαλμῷ εἴρηται· καὶ περὶ τῆς ἐν φυλακῇ πορείας μετὰ Πνεύματος παρὰ τῷ Πέτρῳ ἐν τῇ καθολικῇ Ἐπιστολῇ· « Θανατωθεὶς γὰρ, φησὶ, σαρκὶ, ζωοποιηθεὶς δὲ Πνεύματι· ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασί ποτε, ὅτε ἅπαξ ἐξεδέχετο (54) ἡ τοῦ Θεοῦ μακροθυμία, ἐν ἡμέραις Νῶε κατασκευαζομένης κιβωτοῦ. » Ὁ τοίνυν κατ' ἀξίαν ἀμφοτέρων τῶν ἐπιδημιῶν τοὺς λόγους παραστῆσαι δυνάμενος,
C τὸν ἱμάντα λύειν τῶν Ἰησοῦ ἱκανός ἐστιν ὑποδημάτων, καὶ αὐτὸς τῷ νοὶ κύπτων, καὶ συγκαταβαίνων τῷ καταβεβηκότι εἰς ᾅδου, καὶ ἀπὸ οὐρανοῦ, καὶ τῶν περὶ τῆς θεότητος Χριστοῦ μυστηρίων καταβαίνων ἐπὶ τὴν ἀναγκαίως γεγενημένην παρ' ἡμῖν

[34] Vers. 10. [35] I Petr. III, 18-20.

(51) *Μυστηρίου*. Eodem modo corrigiam calceamenti interpretatur Origenes in Catena Corderiana *in Joannem*, ad capitis I vers. 27.

(52) *Παρελθεῖν ἄξιον*. Sic codex Bodleianus; Regius et Barberin., παρελθετέον.

(53) *Ὅστις ποτέ ἐστιν ὁ ᾅδης*. Varie quippe veterum Patrum disputationibus agitata fuit ea quæstio. Origenes lib. II *Περὶ ἀρχῶν*, c. 11, p. 106, infernum in aliquo terræ loco statuit, ubi diuturnis exercitationibus purgati homines cœlo succedere mereantur. Tertullianus lib. *De anima*, cap. 55, et alibi sæpe, sanctos itidem et impios sub terram in diversa inferorum loca diem judicii exspectaturos detrudi docet; et superiori quidem inferorum contignationi paradisum assignat, inferiori gehennam. Nec mutavit sententiam, cum lib. *De resurr.*, cap. 43, hæc ait : *Paradiso scilicet, non inferis diversurus*; quasi paradisus et inferi non idem sint : inferos quippe usitato modo et recepto pro gehenna hoc loco usurpavit; licet alias, ex ipsius sententia, ad paradisum et gehennam peræque pertineant. His consentit Hebræorum doctrina, qui paradisum illum appellant גן עדן, et, *paradisum inferiorem*; ut a paradiso superiore, cœlo nimirum, distinguant; eamque sedem assignant animis justorum corpore exutis. Unde Josephus præmia sub terra itidem ut pœnas servari docet. Intra terræ viscera inferos quoque collocarunt reliqui ferme Patres Græci et Latini, Ignatius, Irenæus, Gregorius Nyssenus, Theodoretus, Hieronymus, Victorinus martyr, et alii. At multum hic æstuat Augustinus : duplicem siquidem infernum, superiorem et inferiorem statuit; animas autem diem judicii exspectantes secretis iis latibulis contineri, et piorum quidem in superiore loco : impiorum in inferiore : quibus vix stare deinde potest. Cum autem de inferorum loco non constiterit apud veteres, ita neque de Christi ad inferos descensu certa sententia fuit : at quamvis de inferorum sede inter ipsos non conveniret, neque certo constaret utram inferorum partem Christus adiisset, nemo tamen ad inferos Christum de-
D scendisse negabat. Clara est sententia Origenis, lib. II *Contra Celsum*, p. 419, ubi ait de Christo : γυμνῇ σώματος γενόμενος ψυχῇ ταῖς γυμναῖς σωμάτων ὡμίλει ψυχαῖς· et homil. 15 *in Genes.*, p. 101, ipsum scribit *pro salute mundi usque ad inferna descendisse, et inde protoplastum revocasse*; et homil. 6 *in Exod.*, p. 149 : *Sed et nos puto aliquando terra devoratos in inferni penetralibus retinebat, et propterea Dominus noster descendit non solum usque ad terras, sed usque ad inferiora terræ*; et lib. VI *in Epist. ad Rom.*, cap. VI, n. 6 : *Sed et inferni locus, in quo animæ detinebantur a morte, etiam ipsa mors appellatur*. Sed hæ fluctuationes Ecclesiæ catholicæ definitionibus sopitæ demum ac compositæ sunt; a qua qui dissentiunt, miris expositionibus descensus Christi ad inferos gratiam hodieque elevant. HUETIUS.

(54) *Ἅπαξ ἐξεδέχετο*. Codex Bodleianus, ἀπεξεδέχετο.

αὐτοῦ ἐπιδημίαν, ὅτε τὸν ἄνθρωπον ὑπεδήσατο (55). Ὁ δὲ τὸν ἄνθρωπον ὑποδησάμενος καὶ τὸν νεκρὸν ὑπεδήσατο· « Εἰς τοῦτο γὰρ Ἰησοῦς ἀπέθανε, καὶ ἀνέστη, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ· » καὶ διὰ τοῦτο ζῶντα καὶ νεκρὸν ὑπεδήσατο, τουτέστι τὸν ἐν γῇ, καὶ τὸν ἐν ᾅδου, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Τίς οὖν ἄρα ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν τοιούτων ὑποδημάτων, καὶ λύσας μὴ ἐᾶσαι, ἀλλὰ κατὰ δευτέραν ἱκανότητα ἀναλαβεῖν αὐτὰ, καὶ βαστάσαι, διὰ τοῦ ἐν τῇ μνήμῃ περιφέρειν τὰ νενοημένα;

19. Μὴ ἀνεξέταστον δὲ ἐάσθω τὸ χωρὶς τοῦ « κύψας » ὁμοίως παρὰ τῷ Λουκᾷ καὶ Ἰωάννῃ εἰρημένον. Καὶ τάχα ἐνδέχεται μὲν κύψαντα λῦσαι κατὰ τὸ προειρημένον· δυνατὸν δὲ καὶ, τὸ ἀνάστημα τοῦ ἀπὸ τοῦ Λόγου ἐπάρματος φυλάττοντα, εὑρεῖν τὴν λύσιν τῶν ἐν τῷ ζητεῖσθαι δεδεμένων ὑποδημάτων· ἵνα, τὰ αὐτά τις λύσας τῶν χωριστῶν ὑποδημάτων, ἴδῃ Λόγον γυμνὸν τῶν ὑποδεεστέρων καθ' αὑτὸν Υἱὸν τοῦ Θεοῦ.

20. Οὐ ταυτὸν δὲ τὸ « μὴ εἶναι ἱκανὸν » τῷ « μὴ εἶναι ἄξιον, » ἀναγράφει ὁ Ἰωάννης· δυνατὸν γὰρ μὴ ὄντα ἄξιον γενέσθαι ἱκανόν· δυνατὸν δὲ καὶ ἄξιον ὄντα μηδέπω εἶναι ἱκανόν. Εἰ γὰρ καὶ πρὸς τὸ συμφέρον δίδοται τὰ χαρίσματα, καὶ οὐ μόνον κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, φιλανθρώπου ἂν εἴη Θεοῦ ἔργον, προορωμένου βλάβην ἀπὸ οἰήματος ἐπακολουθήσοντος, ἢ φυσιώσεως, τὸ καὶ τῷ ἀξίῳ ποτὲ μὴ διδόναι τὴν ἱκανότητα. Οἰκεῖον δὲ τῆς χρηστότητος τοῦ Θεοῦ νικᾷν ἐν τῷ εὐεργετεῖν τὸν εὐεργετούμενον προλαμβάνοντα τὸν ἐσόμενον ἄξιον, καὶ πρὶν γένηται ἄξιος κοσμοῦντα αὐτὸν τῇ ἱκανότητι, ἵνα μετὰ τὴν ἱκανότητα ἔλθῃ ἐπὶ τὸ γενέσθαι ἄξιος, καὶ μὴ πάντως (57) ἀπὸ τοῦ εἶναι ἄξιος φθάνων τὸν δωρούμενον, καὶ προλαβὼν αὐτοῦ τὰς χάριτας, ἔλθῃ ἐπὶ τὸ γενέσθαι ἱκανός. Ὁ τοίνυν Ἰωάννης φησὶ παρὰ μὲν τοῖς τρισὶν οὐκ εἶναι ἱκανὸς, παρὰ δὲ τῷ Ἰωάννῃ οὐκ εἶναι ἄξιος. Οὐκ ἀποκλείεται δὲ ὅς γε ἔλεγεν οὐδέπω ὢν ἱκανὸς γεγονέναι ἱκανὸς, εἰ καὶ μὴ ἄξιός πω ἦν· καὶ πάλιν ὅτε ἔλεγεν οὐκ εἶναι ἄξιος οὐκ ὢν ἄξιος, ἐφθακέναι ἐπὶ τὸ γεγονέναι ἄξιος· εἰ μὴ ἄρα τις ἐρεῖ ἐπὶ τὸ κατ' ἀξίαν τῆς λύσεως καὶ βαστάξεως (58) αὐτῶν, μὴ χωροῦσαν τὴν θνητὴν φύσιν ἥκειν ποτὲ, ἀληθευόμενον ἔχειν τὸ μηδέποτε γενέσθαι ἱκανὸν λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων, καὶ ἄξιον τοῦ αὐτοῦ· ὅσα δὲ ἐὰν χωρήσωμεν, ἔτι ὑπολείπεται τὰ μηδέπω νενοημένα· « Ἐπεὶ ὅταν συντελέσῃ ἄνθρωπος, τότε ἄρχεται· καὶ ὅταν παύσῃ (59), τότε ἀπορηθήσεται, » κατὰ τὴν Ἰησοῦ υἱοῦ Σειρὰχ Σοφίαν.

A ligavit, etiam mortuum ligavit: « In hoc enim Jesus mortuus est, et resurrexit, ut et mortuis et viventibus dominetur [36]; » [(56) ob eamque causam et vivum et mortuum ligavit, id est et eum qui in terra, et eum qui est apud inferos, ut et in vivis dominetur et in mortuis.] Quis ergo idoneus est procumbens solvere corrigiam talium calceamentorum, eaque soluta non dimittere, sed ex altera idoneitate ea recipere et gestare, eo quod circumferat in memoria quæ intellexerit?

19. Nec illud sinatur intactum, Lucam, similiterque Joannem vocem, « procumbens [37], » omisisse. Et fortassis quidem contingit ut qui procubuerit, solvat, juxta id quod est dictum; sed facile factu B est etiam ut qui observat altitudinem intervalli et spatii exsistentis a Λόγῳ [Filio Dei,] inveniat calceamentorum solutionem, quæ, cum quis ea quærit, ligata apparent, ut ea quis cum solverit calceamenta, quæ separabilia sunt, videat Λόγον [Dei Filium] per se nudum rebus inferioribus.

136 20. Perscribit autem Joannes [38]: « Non sum ego dignus, » quod idem non est cum illis verbis [39]: « Non sum ego idoneus; » fieri enim potest ut qui dignus non sit, sit idoneus; contra qui dignus sit, nondum sit idoneus. Si enim etiam ad id quod expedit data sunt dona [40], nec id tantum ex proportione fidei, Dei humanum genus amantis officium erit prævidentis nocumentum ex elatione vel C inflatione insecutura, ne digno quidem aliquando idoneitatem dare. Accommodatum est autem ad naturam bonitatis Dei, vincere in conferendis beneficiis eum in quem beneficia conferuntur, anticipareque eum, qui dignus futurus est, atque ornare idoneitate, ut post idoneitatem assequatur esse dignus: ne talis dignus omnino cum fuerit, præveniens Deum munera largientem, ipsiusque gratias anticipans, ad hoc pertingat ut sit idoneus. Ergo apud tres evangelistas se non esse idoneum inquit Baptista, apud Joannem autem non esse dignum. Nec profecto qui dixit se nondum exsistere idoneum, excluditur, qui factus fuerit postea idoneus, etiam si nondum dignus esset; qui vicissim cum dixit se non esse dignum, cum non esset dignus, non ex- D cluditur, quin ad hoc non pertigerit ut esset dignus. Nisi forte quis dicturus est, eo quod mortalis natura non capax sit neque possit illo pertingere aliquando ut calceamenta ipsa solvere atque gestare possit, ut dignum est ipsis, Joannem vera narrantem habere illud, ut nunquam fuerit idoneus ac ne dignus quidem solvere corrigiam calceamentorum pro dignitate ipsius Christi; quia, quamvis multa cognitione percepimus, adhuc relinquantur tamen

[36] Rom. xiv, 9. [37] Marc. i, 7. [38] Joan. i, 27. [39] Marc. i, 7. [40] Rom. xii, 6.

(55) *Ὑπεδήσατο*. In codice Bodleiano legitur ὑπεδύσατο, sicque legit Ferrarius; vertit enim *subinduit*; male, nam alluditur ad ὑποδήματα Idem codex Bodleianus mox habet ὑποδησάμενος, et paulo post bis ὑπεδύσατο.

(56) Hæc a Ferrario prætermissa, e Perionio supplevimus.

(57) *Πάντως*. Codex Bodleianus, πάντα.

(58) *Καὶ βαστάξεως*. In codd. Regio et Barberino deest *καί*.

(59) Codex Bodleianus, παύσηται.

multa nondum intellecta: « Quoniam cum absolverit homo, tunc incipit: et cum quieverit, tunc incertus erit, » juxta Jesu filii Sirach Sapientiam [41].

21. Adhuc de calceis hunc in modum apud tres A evangelistas nominatis disseramus, illos conferentes cum illo calceo qui apud discipulum Joannem numero singulari nominatur: « Non sum » enim « ego, » inquit, « dignus, ut solvam ejus corrigiam calceamenti [42]. » Fortassis igitur victus a Dei gratia munus accepit (nondum alioqui, quantum in se erat, dignus exsistens) solvendi corrigiam alterius calceamentorum, cum perspexisset illius inter homines adventum, de quo et testificatur. Sed quoniam deficiebat illi comprehensio rerum quæ secuturæ erant, nescienti an Jesus esset etiam illo venturus quo futurum erat ut ipse ex carcere decollatus accederet, an alium oporteret exspectare, ob hanc causam dubitationem illam, quæ nobis postea apertius declaratur, etiam innuens, inquit illud: « Non B sum ego dignus, **137** ut solvam ejus corrigiam calceamenti. » Quod si quis existimarit curiosius hoc a nobis dictum fuisse, is in idem congregabit quod dictum est de calceamentis et calceamento, ut veluti dicat: Haudquaquam dignus sum solvere corrigiam, ne in principio quidem, unius calcei; vel etiam hunc in modum in unum adduci possunt quæ quatuor evangelistæ dixerunt. Si enim Joannes intelligebat quæ pertinent ad adventum Christi ad nos, dubitabatque de rebus sequentibus, vera narrat dicens se non idoneum qui solvat corrigiam calceamentorum; nec enim utraque solvit qui unum solverit. Vera etiam narrat dicens, « corrigiam calceamenti, » quoniam, ut prædictum est, etiamnum C dubitat de eo, an ipse sit ille venturus, et etiam ille exspectandus, an alter.

21. Ἔτι περὶ τῶν ὑποδημάτων τῶν παρὰ τοῖς τρισὶν οὕτως ὀνομασθέντων εὐαγγελισταῖς διαλάβωμεν, συγκρίνοντες ἐκεῖνα τῷ παρὰ τῷ μαθητῇ Ἰωάννῃ ἑνικῶς ὀνομασθέντι· « Οὐκ εἰμὶ » γάρ, φησίν, « ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. » Τάχα οὖν νικώμενος ὑπὸ τῆς τοῦ Θεοῦ χάριτος δωρεὰν εἴληφε, (μηδέπω ὅσον ἐφ' ἑαυτῷ ἄξιος ὢν λῦσαι τὸν ἱμάντα τοῦ ἑτέρου τῶν ὑποδημάτων,) νοήσας αὐτοῦ τὴν ἐν ἀνθρώποις ἐπιδημίαν, περὶ ἧς καὶ μαρτυρεῖ. Ἐπεὶ δὲ ἔλειπεν αὐτῷ ἡ περὶ τῶν ἑξῆς κατάληψις, οὐκ εἰδότι πότερον Ἰησοῦς ἐστιν ὁ κἀκεῖ ἐρχόμενος, ὅπου ἀπὸ τῆς φυλακῆς γίνεσθαι ἔμελλεν ἀποκεφαλισθείς, ἢ ἕτερον προσδοκᾷν ἐχρῆν, διὰ τοῦτο τὴν σαφέστερον ὕστερον ἐπαπόρησιν ἡμῖν δηλουμένην καὶ νῦν αἰνιττόμενος, φησὶ τό· « Οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. » Ὁ δὲ οἰόμενος περιεργότερον τοῦτο εἰρῆσθαι, εἰς ταυτὸν συνάξει τὸ τῶν ὑποδημάτων καὶ τοῦ ὑποδήματος, ἵνα οἱονεὶ λέγῃ· Οὐδαμῶς ἄξιός εἰμι λῦσαι τὸν ἱμάντα, οὐδὲ κατὰ τὴν ἀρχήν, κἂν τοῦ ἑνὸς ὑποδήματος· ἢ καὶ οὕτως δυνατὸν εἰς ἓν συνάγεσθαι τὰ παρὰ τοῖς τέσσαρσιν (60) εἰρημένα. Εἰ γὰρ ὁ Ἰωάννης συνίει μὲν τὰ περὶ τῆς ἐνταῦθα αὐτοῦ ἐπιδημίας, ἐπηπόρει (61) δὲ περὶ τῶν ἑξῆς, ἀληθεύει λέγων καὶ τὸ μὴ εἶναι ἱκανὸν λύειν τὸν ἱμάντα τῶν ὑποδημάτων· οὐ γὰρ λύει ἀμφότερα λύσας τοῦ ἑνός. Ἀληθεύει δὲ λέγων καὶ « τὸν ἱμάντα τοῦ ὑποδήματος, » ἐπεί, ὡς προείρηται, ἔτι διαπορεῖ περὶ τοῦ, πότερον αὐτός ἐστιν ἐρχόμενος, ἢ ἕτερος, ὁ κἀκεῖ προσδοκητέος.

22. Quin, quod ad id attinet; « In medio vestri stat, quem vos nescitis [43], » hæc disserenda sunt de Filio Dei Λόγῳ, per quem omnia facta sunt, subsistente substantialiter secundum subjectum, et idem exsistente cum sapientia. Hic enim per universam orbis machinam permeat, ut quæ semper fiunt, per ipsum fiant: et de universis, quæcunque protuleris, semper verum erit: « Omnia per ipsum facta sunt, et sine ipso factum est nihil [44]; » et illud: « Omnia in sapientia fecisti [45]. » Quod si per omnem creationem atque universam mundi fabricam permeat, in medio scilicet etiam eorum stat qui interrogabant: « Quid ergo baptizas, si tu non es ille D Christus, neque Elias, neque propheta ille [46]? » In medio, inquam, stat Λόγος ipse, [hoc est ratio,] et Filius Dei a Patre firmatus ubique. Vel verba ea, « in medio vestri stat, » sic intelligantur, quia homines vos estis rationis compotes, idcirco « in medio vestri stat, » eo quod in medio sit totius corporis ea animæ pars præstantissima, principatum quam vocant, Scripturis inviolatæ fidei ostendentibus

22. Καὶ περὶ τοῦ δέ· « Μέσος (62) ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε, » ταῦτα διαληπτέον περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ Λόγου, δι' οὗ τὰ πάντα γέγονεν, ὑφεστηκότος οὐσιωδῶς κατὰ τὸ ὑποκείμενον τοῦ αὐτοῦ ὄντος τῇ σοφίᾳ. Οὗτος γὰρ δι' ὅλης πεφοίτηκε τῆς κτίσεως, ἵνα ἀεὶ τὰ γινόμενα δι' αὐτοῦ γένηται, καὶ περὶ παντὸς οὑτινοσοῦν ἀεὶ ἀληθὲς ἦν τό· « Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν· » καὶ τό· « Πάντα ἐν σοφίᾳ ἐποίησας. » Εἰ δὲ δι' ὅλης τῆς κτίσεως πεφοίτηκε, δῆλον, ὅτι καὶ τῶν πυνθανομένων· « Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὐδὲ Ἠλίας, οὐδὲ ὁ προφήτης; » Μέσος ἕστηκεν ὁ αὐτὸς καὶ βέβαιος ὢν Λόγος, ὑπὸ τοῦ Πατρὸς ἐστηριγμένος πανταχοῦ. Ἢ τό· « Μέσος ὑμῶν ἕστηκεν, » ἀκουέσθω, ὅτι ὑμῶν τῶν ἀνθρώπων, διὰ τὸ εἶναι ὑμᾶς λογικούς, « μέσος ὑμῶν ἑστώς, » τῷ τοῦ παντὸς σώματος ἐν μέσῳ εἶναι τὸ ἡγεμονικὸν ἀποδείκνυται κατὰ τὰς Γραφὰς ἐν τῇ καρδίᾳ τυγχάνον. Οἱ τοίνυν ἔχοντες τὸν Λόγον ἐν μέσῳ ἑαυτῶν, μὴ διαλαμβάνοντες δὲ περὶ τῆς φύσεως αὐτοῦ, μηδὲ ἀπὸ ποίας πηγῆς καὶ ἀρχῆς ἐλή-

[41] Eccli. xviii, 6. [42] Joan. i, 27. [43] Joan. i, 26. [44] ibid. 3. [45] Psal. ciii, 24. [46] Joan. i, 25.

(60) Codex Regius, perperam, περὶ τοῦ τέσσαρσιν.

(61) Codex Bodleianus, ἐνηπόρει.

(62) Idem, Περὶ δὲ τοῦ· Μέσος, etc.

λύσεις, μηδ' ὅπως ποτὲ συνέστησεν αὐτοῖς (63), οὗτοι A μέσον αὐτὸν ἔχοντες οὐκ ἴσασιν· ὁ δὲ Ἰωάννης αὐτὸν οἶδε. Τὸ γάρ· « Ὃν ὑμεῖς οὐκ οἴδατε, » ὀνειδιστικῶς λεγόμενον (64) πρὸς τοὺς Φαρισαίους, ἐμφαίνει τῷ λόγῳ τὸ ἐπιμελῶς ἐγνωκέναι τὸν ὑπ' ἐκείνων (65) ἀγνοούμενον. Δι' ὃ καὶ γινώσκων αὐτὸν ὁ Βαπτιστὴς, οἶδεν ὀπίσω αὐτοῦ ἐρχόμενον, τὸν ἐν μέσῳ τυγχάνοντα, τουτέστι μεθ' αὐτὸν καὶ τὴν ὑφ' αὐτοῦ ἐν τῷ βαπτίσματι διδασκαλίαν ἐπιδημοῦντα τοῖς κατὰ Λόγον ἀπολουσαμένοις. Οὐ ταὐτὸν δὲ σημαίνεται ἐκ τῆς « ὀπίσω » φωνῆς ἐνθάδε, καὶ ὅταν ὁ Ἰησοῦς πέμπῃ ἡμᾶς ὀπίσω ἑαυτοῦ· ἐκεῖ μὲν γὰρ, ἵνα κατ' ἴχνη βαίνοντες αὐτοῦ φθάσωμεν πρὸς τὸν Πατέρα, ὀπίσω αὐτοῦ γίνεσθαι κελευόμεθα· ἐνθάδε δὲ (66), ἵνα δηλωθῇ τὸ μετὰ τὰς Ἰωάννου διδασκαλίας (ἐπεὶ ἐλήλυθεν οὗτος, « ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ ») B τοῖς προευτρεπισαμένοις ἐπιδημεῖν, προκεκαθαρμένοις διὰ τῶν ἡττόνων, πρὸς (67) τὸν τέλειον λόγον. Προηγουμένως μὲν οὖν ἕστηκεν ὁ Πατὴρ ἄτρεπτος, καὶ ἀναλλοίωτος ὤν· ἕστηκε δὲ καὶ ὁ Λόγος αὐτοῦ ἀεὶ ἐν τῷ σώζειν, κἂν γένηται σὰρξ, κἂν μέσος ᾖ ἀνθρώπων, οὐ καταλαμβανόμενος, ἀλλ' οὐδὲ βλεπόμενος· ἕστηκε δὲ καὶ διδάσκων, προκαλούμενος πάντας ἐπὶ τὸ πίνειν ἀπὸ τῆς ἀφθόνου πηγῆς αὐτοῦ· « Εἱστήκει » γὰρ « ὁ Ἰησοῦς, καὶ ἔκραξε λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. »

A eam in corde exsistere. Qui igitur in sui ipsorum medio Λόγον [hoc est rationem] habent, cum interim non disserant vel de ipsius natura, vel a quo fonte et principio venerit, neque tandem quomodo confirmaverit ipsos, hi in medio sui ipsorum Λόγον [et rationem] se habere nesciunt. At Joannes ipsum novit: hoc enim, « quem vos nescitis, » contumeliose dictum ad Pharisæos, ostendit Joannem accurate agnovisse quem illi ignorarent. Quam ob causam etiam Baptista, ipsum agnoscens, novit post se venturum, in medio exsistentem, hoc est post se, et post doctrinam a se in baptismo datam, advenientem ad eos qui secundum Sermonem [seu **138** rationem] abluti fuerint. Non idem autem significatur hoc in loco per vocem « post » et quando Jesus mittit nos B post seipsum; illic enim post ipsum esse jubemur, ut incedentes per ipsius vestigia, perveniamus ad Patrem; hoc vero in loco, ut declararetur Jesum post Joannis doctrinas (quandoquidem hic venit, « ut omnes crederent per ipsum [86] ») accedere ad eos qui antea præparati fuissent atque purificati per inferiora ad perfectum λόγον [seu rationem]. Præcipue itaque stat Pater immutabilis et inalterabilis exsistens: stat autem et Sermo ipsius semper, dum servat, etiam si fiat caro, etiamsi in medio sit hominum, non comprehensus, sed neque visus: stat autem et docens, invitans omnes ad bibendum a fonte suo abundanti: « Stabat enim Jesus, et clamabat dicens: Si quis sitit, veniat ad me, et bibat [87]. »

23. Ὁ δὲ Ἡρακλέων τό· « Μέσος ὑμῶν ἕστηκε, » C φησὶν, ἀντὶ τοῦ « Ἤδη πάρεστι, καὶ ἔστιν ἐν τῷ κόσμῳ, καὶ ἐν ἀνθρώποις, » καὶ ἐμφανής ἐστιν ἤδη πᾶσιν ὑμῖν· διὰ τούτων δὲ περιαιρεῖ τὸ (68) παρασταθὲν περὶ τοῦ διαπεφοιτηκέναι αὐτὸν δι' ὅλου τοῦ κόσμου. Λεκτέον γὰρ πρὸς αὐτόν· Πότε γὰρ οὐ πάρεστι; πότε δ' οὐκ ἔστιν ἐν τῷ κόσμῳ; καὶ ταῦτα τοῦ Εὐαγγελίου λέγοντος· « Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω (69). » Καὶ διὰ τοῦτο καὶ οὗτοι, πρὸς οὓς ὁ λόγος, ὁ « ὃν ὑμεῖς οὐκ οἴδατε, » οὐκ οἴδασιν αὐτὸν, ἐπεὶ οὐδέπω τοῦ κόσμου ἐξεληλύθασιν, ὁ δὲ κόσμος αὐτὸν οὐκ ἔγνω. Ποῖον δὲ χρόνον διέλειπε τοῦ ἐν ἀνθρώποις εἶναι; Ἢ οὐκ ἐν Ἡσαΐᾳ ἦν λέγοντι· « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με· » καί· « Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ζητοῦσι; » D Λεγέτωσαν δὲ εἰ μὴ καὶ ἐν Δαυῒδ ἦν, οὐκ ἀφ' αὐτοῦ λέγοντι· « Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ· » καὶ ὅσα ἐκ προσώπου Χριστοῦ ἐν Ψαλμοῖς ἀναγέγραπται; Καὶ τί με δεῖ καθ' ἕκαστον ἀποδεικνύναι δυσεξαρίθμητον ὄντως (70) παραστῆσαι ἐναργῶς δυνάμενον, ὅτι ἀεὶ

23. At Heracleon, « In medio vestri stat, » interpretatur: « Jam adest, et est in mundo, et inter nos omnes homines » jam visibilis est: qua interpretatione tollit quod docuimus, nempe quod ipse discurrat ac permeet per totum mundum. Dicendum enim ad illum: Quando enim non adest? quando autem non est in mundo? præsertim Evangelio dicente: « In mundo erat, et mundus per ipsum factus est, [et mundus eum non cognovit [88].] » Et ob hanc causam hi etiam ad quos est sermo ille, « quem vos nescitis, » nesciunt eum, quoniam nondum e mundo egressi fuerant, mundus vero eum non cognovit. Sed quo tempore cessavit inter homines esse? An non erat in Isaia dicente: « Spiritus Domini super me, propterea quod unxit me [89]; » et: « Manifestus factus sum in his qui me non quærebant [90]? » Rursus dicant an in Davide non erat, non a semetipso dicente: « Ego autem constitutus sum rex ab eo super Sion montem sanctum ejus [91], » et quæcunque in Psalmis ex persona Christi scripta sunt? Cumque evidenter docere queam Jesum semper inter homines esse, ad convincendum non

[86] Joan. I, 7. [87] Joan. VII, 37. [88] Joan. I, 10. [89] Isai. LXI, 1. [90] Isai. LXV, 1. [91] Psal. II, 6.

(63) *Συνέστησεν αὐτοῖς*. Legendum vel συνέστησεν αὐτοὺς, vel συνέστηκεν αὐτοῖς.

(64) Codex Bodleianus, recte, λεγόμενον. Regius, male, γενόμενον.

(65) Editio Huetii habet, ἐμφαίνει τὸν λόγον, τῷ ἐπιμελῶς ἐγνωκέναι τὸ ὑπ' ἐκείνων, sed codex Bodleianus ut in nostro textu.

(66) *Ἐνθάδε δέ*. Sic codex Bodleianus; Regius, ἐνθάδε.

(67) *Πρός*. Ita codex Bodleianus; male Regius, καί.

(68) *Περιαιρεῖ τό*. Sic codex Bodleianus; Regius, περιῃρεῖτο.

(69) *Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω*. Hæc verba, quæ in codice Regio omissa sunt, restituuntur e codice Bodleiano.

(70) Codex Bodleianus, δυσεξαριθμήτου ὄντος.

recte Heracleonem exponendo, « in medio vestri stat, » exposuisse, « Jam adest, et est in mundo, et in homine, » quid opus est me singulatim argumenta congerere, cum ea vix enumerari queant? Non absurde tamen apud eum dicitur, quod verba illa, « qui post me venturus est, » declarant Joannem præcursorem Christi exsistere: vere enim non secus atque servus præcurrit Dominum. **139** Longe vero simplicius ea verba interpretatus est: « Non sum ego dignus, ut solvam ejus corrigiam calceamenti [92], » perinde quasi fateatur Baptista his verbis se neque dignum qui ultima officia in Christum conferat. Attamen post hanc expositionem satis probabiliter subjunxit: Non sum ego idoneus ut mei gratia descendat a magnitudine et carnem accipiat, ceu calceamentum, de qua rationem reddere ego non valeo, neque enarrare, vel solvere de ipsa dispensationem. Rursus minus prudenter atque animosius Heracleon ipse, cum per calceum interpretatus esset mundum, ad rem magis impiam transit, nempe ad enuntiandum, hæc omnia intelligi etiam oportere de mundi Fabricatore, intelligendo per Joannem, personam Fabricatoris mundi. Existimat enim mundi Opificem inferiorem Christo exsistentem, hoc per hæc verba fateri, quod est omnium impiissimum. Nam Pater qui misit illum, viventium Deus (ut etiam ipse Jesus testatur [93]), nempe Abraham, Isaac et Jacob, et idcirco Dominus cœli et terræ, quod ea fecerit, hic etiam solus bonus [94] et major est misso [95]. Quod si minus prudenter, ut antea diximus, ab Heracleone excogitatum est, omnem etiam mundum calceamentum esse Jesu, non arbitror oportere ut illi assentiamur. Quomodo enim cum tali intelligentia servabitur illud: « Cœlum mihi sedes est, terra autem subsellium pedum meorum [96], » quod testimonium sic sumit Jesus perinde quasi Pater id dixerit? « Non enim juraveritis, inquit, per cœlum, quoniam sedes est Dei; neque per terram, quoniam subsellium pedum ejus est [97]. » Proinde quomodo, si docuerimus totum mundum intelligendum esse calceamentum Jesu, illud intelligetur: « Nonne cœlum, et terram ego impleo, dicit Dominus [98]? » Verumtamen dignum est ut inspiciamus utrum quia Sermo et Sapientia, hoc est Filius Dei, per totum mundum permeet, Pater vero sit in Filio, ut apposuimus; verba intelligenda sint an præcipue circumcingens omnem creaturam, propterea quod Filius sit in ipso, donaverit Servatori, quasi post se secundo, et Deo Λόγῳ exsistenti, per totam creaturam permeare. Ac potissimum his qui

A ἐν ἀνθρώπῳ (71) ἦν, πρὸς τὸ ἐλέγξαι οὐχ ὑγιῶς εἰρημένον τό· « Ἤδη πάρεστι, καὶ ἔστιν ἐν κόσμῳ, καὶ ἐν ἀνθρώπῳ, » εἰς διήγησιν παρὰ τῷ Ἡρακλέωνι τοῦ· « Μέσος ὑμῶν ἕστηκεν; » Οὐκ ἀπιθάνως δὲ παρ' αὐτῷ λέγεται, ὅτι τὸ, « ὀπίσω μου ἐρχόμενος, » τὸ πρόδρομον εἶναι τὸν Ἰωάννην τοῦ Χριστοῦ δηλοῖ· ἀληθῶς γὰρ ὡσπερεὶ οἰκέτης ἐστὶ προτρέχων τοῦ Κυρίου. Πολὺ δὲ ἁπλούστερον τό· « Οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος, » ἐξείληφεν, ὅτι οὐδὲ τῆς ἀτιμοτάτης ὑπηρεσίας τῆς πρὸς τὸν Χριστὸν ἄξιος εἶναι διὰ τούτων ὁ Βαπτιστὴς ὁμολογεῖ. Πλὴν μετὰ ταύτην τὴν ἐκδοχὴν οὐκ ἀπιθάνως ὑποβέβληκε τό· Οὐκ ἐγώ εἰμι ἱκανὸς, ἵνα δι' ἐμὲ κατέλθῃ ἀπὸ μεγέθους, καὶ σάρκα λάβῃ, ὡς ὑπόδημα, περὶ ἧς ἐγὼ λόγον ἀποδοῦναι οὐ δύναμαι, οὐδὲ διηγήσασθαι,
B ἢ ἐπιλῦσαι τὴν περὶ αὐτῆς οἰκονομίαν. Ἁδρότερον δὲ καὶ μεγαλοφυέστερον ὁ αὐτὸς Ἡρακλέων κόσμον τὸ ὑπόδημα ἐκδεξάμενος, μετέστη ἐπὶ τὸ ἀσεβέστερον ἀποφήνασθαι ταῦτα πάντα δεῖν ἀκούεσθαι καὶ περὶ τοῦ προσώπου τούτου (72) διὰ τοῦ Ἰωάννου νοουμένου. Οἴεται γὰρ τὸν Δημιουργὸν τοῦ κόσμου ἐλάττονα ὄντα τοῦ Χριστοῦ, τοῦτο ὁμολογεῖν διὰ τούτων τῶν λέξεων, ὅπερ ἐστὶ πάντων ἀσεβέστατον· ὁ γὰρ πέμψας αὐτὸν Πατὴρ, ὁ τῶν ζώντων Θεὸς, ὡς αὐτὸς Ἰησοῦς μαρτυρεῖ, τοῦ Ἀβραὰμ, καὶ τοῦ Ἰσαὰκ, καὶ τοῦ Ἰακὼβ, ὁ διὰ τοῦτο Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι πεποίηκεν αὐτὰ, οὗτος καὶ μόνος ἀγαθὸς, καὶ μείζων τοῦ πεμφθέντος (73). Εἰ δὲ καὶ, ὡς προειρήκαμεν, ἁδρότερον νενόηται καὶ
C πᾶς ὁ κόσμος ὑπόδημα εἶναι τοῦ Ἰησοῦ τῷ Ἡρακλέωνι, ἀλλ' οὐκ οἶμαι δεῖν συγκατατίθεσθαι. Πῶς γὰρ μετὰ τῆς τοιαύτης ἐκδοχῆς σωθήσεται τό· « Οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου, » μαρτυρούμενον ὡς περὶ τοῦ Πατρὸς εἰρημένον ὑπὸ τοῦ Ἰησοῦ; « Μὴ γὰρ ὀμόσητε, φησὶ, τὸν οὐρανὸν, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ, μηδὲ τὴν γῆν, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ. » Πῶς δὲ, μετὰ τοῦ τὸν ὅλον κόσμον ὑπόδημα νοεῖσθαι τοῦ Ἰησοῦ παραστῆσαι, νοήσεται τό· « Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; » Πλὴν ἄξιον ἐπιστῆσαι πότερον, τῷ τὸν Λόγον καὶ τὴν Σοφίαν διαπεφοιτηκέναι δι' ὅλου τοῦ κόσμου, τὸν δὲ Πατέρα ἐν τῷ Υἱῷ εἶναι, ὡς παρεθέμεθα τὰ ῥητὰ δεῖ νοῆσαι· ἢ ὁ προηγουμένως περιζωσάμενος πᾶσαν τὴν κτίσιν, παρὰ τὸ
D τὸν Υἱὸν εἶναι ἐν αὐτῷ, ἐχαρίσατο τῷ Σωτῆρι ὡς μετ' αὐτὸν δευτέρῳ, καὶ Θεῷ Λόγῳ τυγχάνοντι, δι' ὅλης ἐφθακέναι (74) τῆς κτίσεως. Καὶ μάλιστα τοῖς δυναμένοις κατανοεῖν τὴν τοῦ τηλικούτου οὐρανοῦ ἀδιάλειπτον κίνησιν, ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς συμπεριάγοντος (75) ἑαυτῷ τὸ τοσοῦτο τῶν ἀστέρων πλῆθος, ἄξιον ἔσται ζητήσεως περὶ τοῦ, τίς ἡ ἐνυπάρ-

[92] Joan. I, 27. [93] Matth. XXII, 32. [94] Luc. XVIII, 19. [95] Joan. XIV, 28. [96] Isai. LXVI, 1. [97] Matth. V, 34, 35. [98] Jerem. XXIII, 24.

(71) Idem cod., ἀνθρώποις.

(72) *Καὶ περὶ τοῦ προσώπου τούτου*, etc. Sic habent codices mss. Regius, Barberinus et Bodleianus, a quibus non recessit Perionius; aliter tamen legendum esse suadet ipse orationis contextus et Ferrarii interpretatio. Huetius sic emendavit: Καὶ περὶ τοῦ δημιουργοῦ τοῦ κόσμου, τοῦ προσώπου τούτου διὰ τοῦ Ἰωάννου νοουμένου.

(73) *Οὗτος καὶ μόνος ἀγαθὸς, καὶ μείζων τοῦ πεμφθέντος* Joan. XIV, 28: Πορεύομαι πρὸς τὸν Πατέρα· ὅτι ὁ Πατήρ μου μείζων μου ἐστί. Adi *Origeniana*.

(74) *Ἐφθακέναι*. Forte legendum πεφοιτηκέναι.

(75) *Συμπεριάγοντος*. Sic codex Bodleianus; editio Huetii, συμπεριάγοντα.

χουσα δύναμις τοσαύτη, καὶ τηλικαύτη τῷ παντὶ A κόσμῳ. Ἕτερον γὰρ παρὰ τὸν (76) Πατέρα καὶ τὸν Υἱὸν ταύτην τολμῆσαι εἰπεῖν, μήποτε οὐκ ἔστιν εὐσεβές.

dispicere queunt tanti cœli indeficientem motum, ut quod circumducat ab oriente in occidentem usque tantam stellarum multitudinem, dignum erit quæsitu quænam sit ea vis tanta et talis in 140 toto mundo exsistens. Nam aliud hanc dicere audere præter Patrem et Filium, fortasse non est pium.

24. *Ταῦτα ἐν Βηθαρᾷ* (77) *ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων.* Ὅτι μὲν σχεδὸν ἐν πᾶσι τοῖς ἀντιγράφοις κεῖται· « Ταῦτα ἐν Βηθανίᾳ ἐγένετο, » οὐκ ἀγνοοῦμεν, καὶ ἔοικε τοῦτο καὶ ἔτι πρότερον γεγονέναι· καὶ παρὰ Ἡρακλέωνι γοῦν Βηθανίαν ἀνέγνωμεν. Ἐπείσθημεν δὲ μὴ δεῖν « Βηθανίᾳ » ἀναγινώσκειν, ἀλλὰ Βηθαβαρᾷ, γενόμενοι ἐν τοῖς τόποις (78) ἐπὶ ἱστορίαν τῶν ἰχνῶν Ἰησοῦ, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ τῶν προφητῶν. B Βηθανία γάρ, ὡς ὁ αὐτὸς εὐαγγελιστής φησι, ἡ πατρὶς Λαζάρου, καὶ Μάρθας, καὶ Μαρίας, ἀπέχει τῶν Ἱεροσολύμων σταδίους δεκαπέντε· ἧς πόῤῥω ἐστὶν ὁ Ἰορδάνης ποταμός, ὡς ἀπὸ σταδίων πλατεῖ λόγῳ ρπ'· ἀλλ' οὐδὲ ὁμώνυμος τῇ Βηθανίᾳ τόπος ἐστὶν περὶ τὸν Ἰορδάνην. Δείκνυσθαι δὲ λέγουσι παρὰ τῇ ὄχθῃ τοῦ Ἰορδάνου τὰ Βηθαρᾶ, ἔνθα ἱστοροῦσι τὸν Ἰωάννην βεβαπτικέναι· ἔστι τε ἡ ἑρμηνεία τοῦ ὀνόματος ἀκόλουθος τῷ βαπτίσματι τοῦ ἑτοιμάζοντος Κυρίῳ λαὸν κατεσκευασμένον· μεταλαμβάνεται γὰρ εἰς *οἶκον κατασκευῆς*· ἡ δὲ Βηθανία εἰς *οἶκον ὑπακοῆς*. Ποῦ γὰρ ἀλλαχόσε ἐχρῆν βαπτίζειν τὸν ἀποσταλέντα ἄγγελον πρὸ προσώπου τοῦ Χριστοῦ κατασκευάσαι τὴν ὁδὸν αὐτοῦ ἔμπροσθεν αὐτοῦ, ἢ εἰς τὸν τῆς κατασκευῆς οἶκον; Ποία δὲ οἰκειοτέρα C πατρὶς τῇ τὴν ἀγαθὴν μερίδα ἐκλεξαμένῃ μὴ ἀφαιρουμένην αὐτῆς Μαριάμ, καὶ τῇ περισπωμένῃ διὰ τὴν Ἰησοῦ ὑποδοχὴν Μάρθᾳ, καὶ τῷ τούτων ἀδελφῷ, φίλῳ ὑπὸ τοῦ Σωτῆρος εἰρημένῳ, Λαζάρῳ, ἢ Βηθανία ὁ τῆς ὑπακοῆς οἶκος; Οὐ καταφρονητέον οὖν τῆς περὶ τὰ ὀνόματα ἀκριβείας τῷ ἀπαραλείπτως βουλομένῳ συνιέναι τὰ ἅγια γράμματα. Τὸ μέντοιγε ἡμαρτῆσθαι ἐν τοῖς Ἑλληνικοῖς ἀντιγράφοις τὰ περὶ τῶν ὀνομάτων πολλαχοῦ, καὶ ἀπὸ τούτων ἄν τις πεισθείη ἐν τοῖς Εὐαγγελίοις· ἡ περὶ τοὺς ὑπὸ τῶν δαιμονίων καταχρημνιζομένους καὶ ἐν τῇ θαλάσσῃ συμπνιγομένους χοίρους οἰκονομία ἀναγέγραπται γεγονέναι ἐν τῇ χώρᾳ τῶν Γερασηνῶν. Γέρασα δὲ τῆς Ἀραβίας ἐστὶ πόλις, οὔτε θάλασσαν οὔτε λίμνην πλησίον D ἔχουσα. Καὶ οὐκ ἂν οὕτως προφανὲς ψεῦδος καὶ εὐέλεγκτον οἱ εὐαγγελισταὶ εἰρήκεσαν, ἄνδρες ἐπιμελῶς γινώσκοντες τὰ περὶ τὴν Ἰουδαίαν. Ἐπεὶ δὲ

24. *Hæc in Bethabara facta sunt, trans Jordanem, ubi erat Joannes baptizans* [99]. Quod in omnibus fere exemplaribus ponatur: « Hæc in Bethania facta sunt, » non ignoramus, et videtur hoc etiam antea factum fuisse: unde apud Heracleonem etiam Bethaniam legimus. Sed persuasi sumus non « Bethania, » sed « Bethabara » esse legendum, cum ad loca pervenissemus, ut Jesu discipulorumque ejus ac prophetarum vestigia inspiceremus. Bethania namque, ut ipse inquit evangelista [1], patria Lazari, et Mariæ, et Marthæ, quindecim stadiis a Hierosolymis distat, qua Jordanes fluvius, lato computo, abest stadiis circiter octoginta supra centum, sed neque locus est circa Jordanem qui nomen commune habeat cum Bethania. Dicunt autem ostendi circa tumulos Jordanis Bethabara, ubi historiæ dicunt Joannem baptizasse; estque nominis interpretatio consequens baptismati præparantis Domino populum instructum [2]. Est enim, si interpreteris, *domus instructionis*: Bethania vero, *domus obedientiæ*. Nam profecto ubi baptizare opus erat ei qui missus fuerat ante faciem Christi ad præparandum viam ipsius coram ipso [3], quam in domo instructionis? Quænam vero magis propria est patria ipsi Mariæ, quæ elegerat bonam partem a se non auferendam [4], et Marthæ in diversa distractæ propter suscipiendum Jesum [5], atque ipsarum fratri Lazaro, qui a Servatore amicus dicitur [6], quam Bethania obedientiæ domus? Itaque contemnenda non est accurata circa nomina diligentia ei qui voluerit probe intelligere sanctas litteras. Peccatum equidem frequenter fuisse in gentilium exemplaribus, indeque errata in Evangeliis translata facile quis credat. Dispensatio namque circa porcos e rupe præcipitatos, et in mari suffocatos a dæmoniis scribitur facta [7] fuisse in loco Gerasenorum. Gerasa autem urbs est Arabiæ, neque mare neque stagnum in propinquo habens. Nec mendacium adeo apertum, quodque facile redargui posset, dixissent evangelistæ, viri diligenter agnoscentes regionem Judææ. Quoniam 141 vero in paucis exemplaribus

[99] Joan. I, 28. [1] Joan. I, 1, 18. [2] Luc. I, 17. [3] ibid. 76. [4] Luc. X, 41. [5] ibid. 43. [6] Joan. XI, 11; Matth. VIII, 28, 32. [7] Marc. V, 1, 13; Luc. VIII, 26, 33, 37.

(76) Editio Huetii, περὶ τὸν, etc., male.

(77) *Ταῦτα ἐν Βηθαρᾷ*. Origenes in Catena quadam Regia *in Joan.* I, 28: Χρὴ δὲ γινώσκειν, ὅτι τὰ ἀκριβῆ τῶν ἀντιγράφων Βηθαβαρᾷ περιέχει. Ἡ γὰρ Βηθανία οὐχὶ πέραν τοῦ Ἰορδάνου, ἀλλ' ἐγγύς που τῶν Ἱεροσολύμων ἐστίν. Infra scriptum aliquando reperias, Βηθαραβᾶ, aliquando Βηθαβαρᾶ, quæ vera lectio est, et quam secutum esse Origenem certum est, juxta codicum Græcorum fidem Joann. I, 28. Hanc enim vocem vertit, οἶκος κατασκευῆς. a בית et ברא, quod aliquando redditur κατασκευάζειν, ut Isaiæ XL, 28, בורא קצות ארץ LXX verterunt: ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς. Ita et Isaiæ XLIII, 7. Quod si scripsisset Βηθαραβᾶ, exposuisset, « domus humilis, » vel « domus vesperæ, » quemadmodum exponit Hieronymus in libro *De locis Hebraicis*. Vertit utrobique Ferrarius, *Bethabara*, adeo ut sic ipsius habuisse codicem dubium non sit, inquit Huetius. Veruntamen in codice Bodleiano nec non in codice Barberino utrobique legitur Βηθαρᾶ, non Βηθαβαρᾶ.

(78) *Γενόμενοι ἐν τοῖς τόποις*, etc. Id tum primum videtur contigisse, cum Alexandria pulsus Cæsareæ domicilium statuit. HUETIUS.

invenimus, « in locum Gadarenorum, » ad hoc etiam est dicendum, Gadaram quidem civitatem esse Judææ, circa quam celeberrima balnea sunt, haudquaquam vero in ea esse stagnum vel mare præcipitiis adjacens. At Gergesa, a qua Gergesæi, urbs est antiqua juxta stagnum quod nunc Tiberiadis vocamus, juxta quam rupes est stagno adjacens, e qua ostenditur porcos a dæmonibus in præceps delatos fuisse. Interpretatur autem Gergesa *habitatio ejicientium*, fortasse cognomentum sortita propheticæ illius rei, quam locorum cives erga Servatorem fecerunt obsecrantes eum ut e finibus suis excederet [8]. Tale subinde erratum in lege et prophetis circa nomina licet cernere, ut accurate perspeximus ab Hebræis edocti, cum ipsorum exemplaribus nostra comparantes, quæ testimonium habent ab editionibus Aquilæ, et Symmachi, et Theodotionis, quæ nondum sunt depravatæ. Pauca igitur apponemus in studiosorum gratiam, quo in his diligentius versentur. Unus filiorum Levi primus in pluribus exemplaribus Geson nominatus est [9], pro eo quod est Gerson, ejusdem nominis exsistens cum primogenito Moysis, nomine vere utrisque posito, quod geniti fuissent in terra aliena habitantes. Rursus Judæ secundus apud nos quidem Aunan esse dicitur [10], apud Hebræos vero Onan, quod est, Labor ipsorum. Ad hæc in profectionibus filiorum Israel in Numerorum libro invenimus [11], quod profecti sunt ex Sochoth, et castra fixerunt in Buthan, cum Hebraicum pro Buthan Æman habeat. Et quid me opus est tardantem plura apponere, cum veritatem, quæ est in nominibus, cuivis volenti tum inquirere, tum agnoscere sit in promptu? Sed in primis ea Scripturarum loca suspecta habere debemus, ubi pariter complurium nominum est enarratio, veluti in libro Jesu Nave sunt quæ ad divisionem hæreditatis pertinent: et in primo Paralipomenon a principio per ordinem

A ἐν ὀλίγοις εὕρομεν « εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, » καὶ πρὸς τοῦτο λεκτέον· Γάδαρα γὰρ πόλις μέν ἐστι τῆς Ἰουδαίας, περὶ ἣν τὰ διαβόητα θερμὰ τυγχάνει, λίμνη δὲ κρημνοῖς παρακειμένη οὐδαμῶς ἐστιν ἐν αὐτῇ ἢ θάλασσα (79). Ἀλλὰ Γέργεσα, ἀφ' ἧς οἱ Γεργεσαῖοι, πόλις ἀρχαία περὶ τὴν νῦν καλουμένην Τιβεριάδα λίμνην, περὶ ἣν κρημνὸς παρακείμενος τῇ λίμνῃ, ἀφ' οὗ δείκνυται τοὺς χοίρους ὑπὸ τῶν δαιμόνων καταβεβλῆσθαι. Ἑρμηνεύεται δὲ ἡ Γέργεσα (80) *παροικία ἐκβεβληκότων*, ἐπώνυμος οὖσα τάχα προφητικῶς οὗ περὶ τὸν Σωτῆρα πεποιήκασι παρακαλέσαντες αὐτὸν μεταβῆναι ἐκ τῶν ὁρίων αὐτῶν οἱ τῶν χοίρων (81) πολῖται. Τὸ δ' ὅμοιον περὶ τὰ ὀνόματα σφάλμα πολλαχοῦ τοῦ νόμου καὶ τῶν προφητῶν ἔστιν ἰδεῖν, ὡς ἠκριβώσαμεν ἀπὸ Ἑβραίων μαθόν-B τες, καὶ τοῖς ἀντιγράφοις αὐτῶν τὰ ἡμέτερα συγκρίναντες, μαρτυρηθεῖσιν ὑπὸ τῶν μηδέπω διαστραφεισῶν ἐκδόσεων Ἀκύλου, καὶ Θεοδοτίωνος, καὶ Συμμάχου. Ὀλίγα τοίνυν παραθησόμεθα ὑπὲρ τοῦ τοὺς φιλομαθεῖς ἐπιστρεφεστέρους γενέσθαι περὶ ταῦτα. Εἷς τῶν υἱῶν Λευῒ ὁ πρῶτος Γεσὼν ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων ὠνόμασται, ἀντὶ τοῦ Γηρσὼν, ὁμώνυμος τυγχάνων τῷ πρωτοτόκῳ Μωϋσέως, ἑκατέρων διὰ τὴν παροικίαν (82) ἐν γῇ ἀλλοτρίᾳ γεννηθέντων τοῦ ὀνόματος ἑτοίμως κειμένου. Πάλιν τῷ Ἰούδᾳ παρ' ἡμῖν μὲν ὁ δεύτερος Αὐνὰν εἶναι λέγεται, παρὰ δὲ Ἑβραίοις Ὠνάν ἐστι, Πόνος αὐτῶν (83). Πρὸς τούτοις ἐν ταῖς ἀπάρσεσι τῶν υἱῶν Ἰσραὴλ ἐν τοῖς Ἀριθμοῖς εὕρομεν, ὅτι ἀπῆραν ἐκ Σοχὼθ, καὶ παρενέβαλον εἰς Βουθάν· τὸ δὲ (84) Ἑβραϊκὸν, ἀντὶ C Βουθὰν, Αἰμὰν λέγει. Καὶ τί με δεῖ διατρίβοντα πλείονα παρατίθεσθαι, παρόντος τῷ βουλομένῳ τοῦ ἐξετάζειν καὶ γινώσκειν τὰ κατὰ τὰ ὀνόματα ἀληθῆ; Μάλιστα δὲ ὑποπτευτέον τοὺς τόπους τῶν Γραφῶν, ἔνθα κατάλογός ἐστιν ἅμα ὀνομάτων πλειόνων, ὡς ἐν τῷ Ἰησοῦ τὰ περὶ τῆς κληροδοσίας, καὶ ἐν τῇ πρώτῃ τῶν Παραλειπομένων ἀρχῆθεν ἑξῆς μέχρι τοῦ ἐγγύς που ὑπὲρ τὸν Λαῦ (85) ... Ὁμοίως δὲ καὶ ἐν

[8] Matth. III, 34; Marc. v, 17; Luc. VIII, 37. [9] Gen. XLVI, 11; Exod. VI, 16; Num. III, 17; XXVI, 57; I Paral. VI, 1, 16; Exod. II, 22; I Paral. XXIII, 15. [10] Gen. XXXVIII, 4; XLVI, 12; Num. XXVI, 19; I Paral. II, 3. [11] Num. XXXIII, 6.

(79) *Ἐν αὐτῇ ἡ θάλασσα.* Editio Huetii in textu habet ἐν αὐτῇ θάλασσα. Cæterum Origenis observationi adde Gadara civitatem fuisse Judæorum, quibus ut vetitum erat porcos edere, ita superfluum fuisset alere.

(80) *Ἑρμηνεύεται δὲ ἡ Γέργεσα.* Infra tom. x *in Joann.*, num. 10: Ὥσπερ τὰ Γέργεσα, ἔνθα παρεκάλεσαν αὐτὸν μεταβῆναι ἐκ τῶν ὁρίων αὐτῶν οἱ τῶν χοίρων πολῖται, ἑρμηνεύεται, Παροικία ἐκβεβληκότων. Quasi ex hac expulsione id nominis tum primum sortita fuerit. Vocabulum illud derivat Origenes a גור, unde מגור, « habitatio, » et גרש, « expulit: » unde fieri debuit, « Gergeresa, » non « Gergesa. » At Matth. VIII, 28, τὴν χώραν τῶν Γεργεσηνῶν reperio; « Gergesa » autem nusquam reperio. HUETIUS.

(81) *Χοίρων*. Ita codex Regius et reliqui, cum Perionio; et infra tom. x *in Joann.*, num. 10, οἱ τῶν χοίρων πολῖται. Ferrarius utrobique χωρίων, quod malim. HUETIUS.

(82) *Διὰ τὴν παροικίαν*, etc. A גר « peregrinus, » et שם « ibi. » Exod. II, 22: « Quæ peperit ei filium, quem vocavit Gersam, dicens: Advena fui in terra aliena. » Hieronymus *De nomin. Hebraic.*: « Gerson, ejectio eorum, sive, advena ibi, aut advena pupillæ. » ID.

(83) *Παρὰ δὲ Ἑβραίοις Ὠνάν ἐστι, Πόνος αὐ-* D *τῶν*. Ab און, cum affixo plurali feminino. Hieronymus *De nomin. Hebraic.*: « Onan, mœror eorum. »

(84) *Παρενέβαλον εἰς Βουθάν· τὸ δέ*, etc. Hic hariolatus est Perionius pro Βουθάν scribendum Αἰθάν. Sed omnino retinendum Βουθάν, quod editiones omnes τῶν Ο' præferunt, Num. XXXIII, 6, ex Hebraico באתם, *in Etham*. Itaque pro Αἰμάν, quod sequitur apud Origenem, legendum videtur Αἰθάμ, id enim Hebraici codices perpetuo consensu habent. HUETIUS.

(85) *Ἐγγύς που ὑπὲρ τὸν Λαῦ.* Postremam hanc vocem non reddit Ferrarius, sive quod ex ipsius abfuerit codice, sive quod vocem nihili quomodo redderet non habuerit. Quid si legamus: ὑπὲρ τὸν Σαούλ, vel ὑπὲρ τὸν Δᾶδ, contracte pro Δαυΐδ. Sensus erit: Suspecta debent esse loca, ubi complura nomina recensentur: velut in Jesu Nave, et in primo Paralipomenωn, ab initio libri ad eum circi-

τῷ Ἔσδρᾳ. Καὶ οὐ καταφρονητέον τῶν ὀνομάτων, πραγμάτων σημαινομένων ἀπ' αὐτῶν χρησίμων τῇ τῶν τόπων ἑρμηνείᾳ. Οὐκ εὔκαιρον δὲ νῦν τὸν περὶ τῆς θεωρίας τῶν ὀνομάτων ἐξετάσαι λόγον, ἀφέμενον τῶν προκειμένων.

25. Ἴδωμεν τοίνυν τὰ τῆς εὐαγγελικῆς λέξεως. Ἰορδάνης μὲν ἑρμηνεύεται (86) *κατάβασις αὐτῶν*. Τούτῳ δὲ, ἵν' οὕτως εἴπω, γειτνιᾷ τὸ ὄνομα τοῦ Ἰαρὲδ, ὃ καὶ αὐτὸ ἑρμηνεύεται *καταβαίνων*, ἐπειδήπερ γεγένηται τῷ Μαλελεὴλ, ὡς ἐν τῷ Ἐνὼχ γέγραπται (87) (εἴ τῳ φίλον παραδέχεσθαι ὡς ἅγιον τὸ βιβλίον), ταῖς ἡμέραις τῆς τῶν υἱῶν τοῦ Θεοῦ καταβάσεως ἐπὶ τὰς θυγατέρας τῶν ἀνθρώπων· ἥντινα κατάβασιν αἰνίσσεσθαί τινες ὑπειλήφασι τὴν τῶν ψυχῶν κάθοδον ἐπὶ τὰ σώματα, θυγατέρας ἀνθρώπων τροπικώτερον τὸ γήϊνον σκῆνος λέγεσθαι ὑπειληφότες. Εἰ δὴ τοῦθ' οὕτως ἔχει, τίς ἂν εἴη ποταμὸς κατάβασις αὐτῶν, ἐφ' ὃν ἐρχόμενον καθαίρεσθαι δεῖ οὐκ ἰδίαν κατάβασιν καταβεβηκότα, ἀλλὰ τὴν τῶν ἀνθρώπων, ἢ ὁ Σωτὴρ ἡμῶν διορίζων τοὺς ὑπὸ Μωϋσέως κληροδοτουμένους ἀπὸ τῶν διὰ Ἰησοῦ τὰς οἰκείας ἀπολαμβανόντων μερίδας; Τούτου δὴ τοῦ διὰ τοῦ καταβεβηκότος ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσιν, ὡς ἐν Ψαλμοῖς εὕρομεν, τὴν πόλιν τοῦ Θεοῦ τὴν αἰσθητὴν Ἱερουσαλὴμ (οὐ γὰρ ἔχει παρακείμενον ποταμὸν), ἀλλὰ τὴν ἄμωμον τοῦ Θεοῦ Ἐκκλησίαν, οἰκοδομουμένην ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ τῶν προφητῶν, ὄντος ἀκρογωνιαίου Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. Ἰορδάνην μέντοιγε νοητέον τοῦ Θεοῦ Λόγον τὸν γενόμενον σάρκα, καὶ σκηνώσαντα ἐν ἡμῖν, Ἰησοῦν δὲ τὸν κληροδοτήσαντα ὃ ἀνείληφεν ἀνθρώπινον· ὅπερ ἐστὶ καὶ ἀκρογωνιαῖος λίθος, ὃ καὶ αὐτὸς ἐν τῇ θεότητι τοῦ Υἱοῦ τοῦ Θεοῦ γενόμενος, τῷ ἀνειλῆφθαι ὑπ' αὐτοῦ λούεται, καὶ τότε χωρεῖ τὴν ἀκέραιον καὶ ἄδολον περιστερὰν τοῦ Πνεύματος, συνδεδεμένην αὐτῷ, καὶ μηκέτι ἀποπτῆναι δυναμένην· « Ἐφ' ὃν γὰρ, φησὶν, ἐὰν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ. » Διὰ τοῦτο λαβὼν τὸ Πνεῦμα μένον ἐπ' αὐτὸν Ἰησοῦν, ἐν αὐτῷ μείναντι βαπτίζειν τοὺς προσερχομένους (88) αὐτῷ δυνηθῇ. Πέραν δὲ τοῦ Ἰορδάνου, κατὰ τὰ ἔξω τῆς Ἰουδαίας νεύοντα κλίματα, ἐν τῇ Βηθαραβᾷ (89) βαπτίζει ὁ Ἰωάννης, πρόδρομος ὢν τοῦ ἐληλυθότος καλέσαι οὐ δικαίους, ἀλλὰ ἁμαρτωλοὺς, διδάσκοντος μὴ χρείαν ἔχειν τοὺς ἰσχύοντας ἰατροῦ (90), ἀλλὰ τοὺς κακῶς ἔχοντας·

A usque ad ea quæ in principio sunt super... Similiter autem in Esdra. **142** Nec vero parvipendenda sunt nomina, cum res utiles ex eis significentur locorum interpretatione. Cæterum haud est nunc opportunum instituere sermonem de ratione nominum, omittendo quæ sunt proposita.

25. Quamobrem videamus quæ ad evangelicam lectionem spectant. Jordanes quidem interpretatur *descensus ipsorum*. Huic autem, ut ita dicam, vicinum est nomen Iared, quod et ipsum interpretatur *descendens*, quoniam genitus est Malaleeli, ut in libro Enoch est scriptum (si cui placet admittere librum ut sanctum), his diebus, cum filii Israel descenderent ad filias hominum : quo descensu quidam suspicati sunt innui animarum ad corpora B descensum ; filias hominum metaphorice terrenum habitaculum dici existimantes. Si igitur hoc sic se habet, quis erit fluvius descensus ipsorum, ad quem non descendentem proprio descensu, sed descensu hominum, quicunque venerit, purificatione egeat, nisi Servator noster, disterminans eos qui a Moyse hæreditatem acceperint, ab his qui proprias partes acceperunt per Jesum? Hujus igitur impetus, qui sunt per fluvium descendentem, lætificant, ut in Psalmis est scriptum [12], civitatem Dei, non Jerusalem sub sensum cadentem (nec enim Jerusalem habet adjacentem fluvium), sed inculpatam Dei Ecclesiam ædificatam super fundamentum apostolorum et prophetarum, summo angulari lapide Christo Jesu exsistente Domino nostro [13]. Jordanes C itaque intelligendus est ille Dei Sermo qui factus est caro et habitavit in nobis [14]; Jesus, inquam, qui quidquid assumpsit humanum, hæreditarium fecit : quod est etiam summus angularis lapis, quod etiam ipsum in divinitate Filii Dei factum, ex eo quod ab ipso assumptum fuerit, lavatur, et tum capit simplicem et sine dolo columbam Spiritus, sibi colligatam, nec amplius avolare valentem : « Super quem enim, inquit, videris Spiritum descendentem, et manentem super eum, hic est qui baptizat in Spiritu sancto [15]. » Propter hoc, qui acceperit Spiritum manentem super ipsum Jesum, baptizare poterit ad se accedentes, Spiritu sancto in ipso permanente. Sed trans Jordanem, in partiD bus extra Judæam vergentibus, in Bethabara baptizat Joannes, præcursor illius exsistens qui venit **143** non justos, sed peccatores ad resipiscentiam

[12] Psal. XLV, 5. [13] Ephes. II, 20. [14] Joan I, 14. [15] ibid. 33.

ter locum ubi res Saulis vel res Davidis commemorantur : hoc est, ad caput usque decimum ; ab hoc enim loco infrequentiores sunt prolixæ illæ nominum propriorum enumerationes. HUETIUS.

(86) *Ἰορδάνης μὲν ἑρμηνεύεται*, etc. A ירד, « descendit. » Hieronymus *De nominib. Hebraic* : « Jarden, descensio eorum, vel, vide Judicium. » Alii dictum putant Jordanem a duobus fontibus Jor et Dan, unde hic amnis profluit ; quo modo nomina sua adepti sunt Dordona et Tamesis. ID.

(87) *Ὡς ἐν τῷ Ἐνὼχ γέγραπται*, etc. Locus habetur libro primo Enochi, *Περὶ τῶν ἐγρηγόρων*, e quo fragmentum profert Scaliger ad Euseb. En verba : Καὶ ἐγένετο, ὅτε ἐπληθύνθησαν οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐγεννήθησαν αὐτοῖς θυγατέρες ὡραῖαι, καὶ ἐπεθύμησαν αὐτὰς οἱ ἐγρήγοροι... Ἦσαν δὲ οὗτοι σ', οἱ καταβάντες ἐν ταῖς ἡμέραις Ἰαρέδ. Hunc librum Græce scriptum habuit Scaliger, aliaque ejusdem auctoris falsa et supposita, quemadmodum discimus ex Scaligerianis. ID.

(88) *Προσερχομένους*. Ita codex Bodleianus ; Regius, ἐρχομένους.

(89) *Βηθαραβᾷ*. Codex Barberinus, Βηθαρᾷ, sed omnino legendum ut supra Βηθαβαρᾷ.

(90) *Ἰατροῦ*. Sic codex Bodleianus ; Regius ἰατρῶν.

vocaturus [16], quippe docet non opus sanis medico, sed male habentibus [17]. Etenim in remissionem peccatorum datur lavacrum [18].

A καὶ γὰρ εἰς ἄφεσιν ἁμαρτιῶν τὸ λουτρὸν δίδοται.

26. Cæterum probabile est aliquem, qui non intellexerit diversas de Servatore notiones, offensum iri pro explicata Jordanis interpretatione, eo quod Joannes dicat: « Ego baptizo in aqua: sed qui post me venturus est, is est me fortior: ipse vos baptizabit in Spiritu sancto [19]. » Ad quem sic est dicendum: quod ut sermo Dei potabilis exsistens, aliquibus quidem aqua, aliquibus vero vinum lætificans cor hominis [20], nonnullis etiam sanguis est propter illud: « Nisi biberitis sanguinem meum, non habebitis in vobis ipsis vitam [21]; » quin cibus dictus, non eadem ratione consideratur panis vivens et caro; sic ipsum exsistere aliquibus quidem aquæ baptisma, et spiritus, et ignis, aliquibus etiam baptisma sanguinis. De quo ultimo baptismate inquit, ut quidam dixerunt, hoc: « Baptismate ego baptizari habeo, et aliquomodo coarctor, donec illud perfectum fuerit [22]! » Huic consona discipulus Joannes scripsit in Epistola [23], dicens, spiritum, aquam et sanguinem tria esse quæ facta fuerint unum. Cumque viam et ostium se esse fateatur [24], palam est omnino cum non esse ostium cui sit via, nec amplius viam esse illi cui sit ostium. Quotquot ergo initiantur primis elementis sermonum Dei, accedentes ad vocem « clamantis in deserto: Dirigite viam Domini [25]; » accedentes, inquam, trans Jordanem, ad vocem exsistentem apud domum præparationis, diligenter præparent se, ut præcedenti præparatione percipere queant spiritualem sermonem, qui imprimitur per illuminationem spiritus. Continenter igitur rei propositæ colligentes quæ ad Jordanem pertinent, accuratius consideremus fluvium. Deus igitur per Moysen traducit populum per mare Rubrum [26], cum fecisset ut aqua ipsis murus esset a dextris et a sinistris. Jesus vero traducit eum per Jordanem [27]. Cum legisset autem Scripturam Paulus, non amplius secundum carnem illi militans (noverat enim legem spiritualem esse) spiritualiter docet nos interpretari quæ contigerunt in transitu maris Rubri, dicens in priore ad Corinthios Epistola [28]: « Nolo vos ignorare, fratres, omnes patres nostros sub nube fuisse, omnesque per mare transisse, et omnes in Moyse baptizatos fuisse in nube, et in mari, et omnes eumdem cibum **144** spiritualem comedisse, et omnes eumdem potum spiritualem bibisse: bibebant enim ex spirituali sequente eos petra: at vero illa petra erat Christus. » Quibus consequenter petamus etiam nos ut a Deo accipiamus intelligentiam spiritualem transitus Jordanis per Jesum, dicentes de hoc etiam dicere potuisse Paulum: Nolo vos ignorare, fratres, quod omnes patres nostri per Jordanem transierunt, et omnes in Jesu baptizati fuerunt

26. Εἰκὸς δέ τινα τὰς διαφόρους ἐπινοίας τοῦ Σωτῆρος μὴ νενοηκότα προσκόψειν τῇ ἀποδοθείσῃ τῇ περὶ τοῦ Ἰορδάνου ἑρμηνείᾳ, διὰ τὸ λέγειν τὸν Ἰωάννην· « Ἐγὼ βαπτίζω ἐν ὕδατι· ὁ δὲ ἐρχόμενος μετ' ἐμὲ ἰσχυρότερός μου ἐστίν· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ. » Πρὸς ὃν λεκτέον ὅτι ὥσπερ ποτὸν τυγχάνων ὁ τοῦ Θεοῦ Λόγος, οἷς μὲν ἐστιν ὕδωρ, ἑτέροις δὲ οἶνος εὐφραίνων καρδίαν ἀνθρώπου, ἄλλοις δὲ αἷμα διὰ τό· « Ἐὰν μὴ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· » ἀλλὰ καὶ τροφὴ λεγόμενος οὐ κατὰ τὸ αὐτὸ νοεῖται ἄρτος ζῶν καὶ σάρξ· οὕτως ὁ αὐτός ἐστι βάπτισμα ὕδατος, καὶ πνεύματος,
B καὶ πυρὸς, τισὶ δὲ καὶ αἵματος. Περὶ δὲ τοῦ τελευταίου βαπτίσματος, ὥς τινες, φησὶν ἐν τῷ· « Βαπτίσματι δὲ ἔχω (91) βαπτισθῆναι, καὶ πῶς συνέχομαι, ἕως ὅτου τελεσθῇ! Τούτῳ τε συμφώνως ἐν τῇ Ἐπιστολῇ ὁ μαθητὴς Ἰωάννης τὸ πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα ἀνέγραψε τὰ τρία εἰς ἓν γινόμενα. Καὶ ὁδὸς δήπου καὶ θύρα εἶναι ὁμολογῶν, σαφής ἐστι μηδέπω τυγχάνων θύρα ᾧ ἔτι ὁδός ἐστι, καὶ μηκέτι ὁδὸς ᾧ δὴ θύρα. Πάντες οὖν οἱ στοιχειούμενοι τῇ ἀρχῇ τῶν λογίων τοῦ Θεοῦ, τῇ φωνῇ « τοῦ ἐν τῇ ἐρήμῳ βοῶντος· Εὐθύνατε τὴν ὁδὸν Κυρίου, » προσιόντες, πέραν τοῦ Ἰορδάνου τυγχανούσῃ παρὰ τῷ οἴκῳ τῆς κατασκευῆς, εὐτρεπιζέσθωσαν πρὸς τὸ δυνηθῆναι διὰ τῆς προετοιμασίας χωρῆσαι τὸν πνευματικὸν λόγον, ἐγγινόμενον διὰ τοῦ φωτισμοῦ τοῦ πνεύ-
C ματος. Ἐχομένως δὴ τοῦ προκειμένου τὰ περὶ τοῦ Ἰορδάνου συνάγοντες ἀκριβέστερον τὸν ποταμὸν νοήσωμεν. Ὁ Θεὸς τοίνυν διὰ Μωσέως διαβιβάζει τὸν λαὸν τὴν Ἐρυθρὰν θάλασσαν, αὐτὸ τὸ ὕδωρ αὐτοῖς ποιήσας τεῖχος ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, διὰ δὲ τοῦ Ἰησοῦ τὸν Ἰορδάνην. Ἐντυχὼν δὲ τῇ Γραφῇ ὁ Παῦλος, οὐκέτι κατὰ τὴν σάρκα στρατευόμενος αὐτῆς (ᾔδει γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστι)· πνευματικῶς διδάσκει ἡμᾶς ἐξειληφέναι τὰ τῆς κατὰ τὴν Ἐρυθρὰν θάλασσαν διόδου, λέγων ἐν τῇ πρὸς Κορινθίους προτέρᾳ· « Οὐ θέλω γὰρ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ,
D καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ πνευματικὸν ἔπινον πόμα· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ πέτρα δὲ ἦν ὁ Χριστός. » Οἷς ἀκολούθως καὶ ἡμεῖς αἰτήσωμεν λαβεῖν ἀπὸ τοῦ Θεοῦ τὸ νοῆσαι πνευματικῶς τὴν διὰ Ἰησοῦ δίοδον τοῦ Ἰορδάνου, λέγοντες, ὅτι εἶπεν ἂν καὶ περὶ ταύτης ὁ Παῦλος· Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες διὰ τοῦ Ἰορδάνου διῆλθον, καὶ πάντες εἰς τὸν Ἰησοῦν ἐβαπτίσαντο ἐν τῷ πνεύματι, καὶ τῷ ποταμῷ. Τύπος δὲ ὁ διαδεξάμενος ἦν Μωσῆν Ἰησοῦς τοῦ διαδεξαμένου τὴν διὰ τοῦ νόμου οἰκονομίαν τῷ

[16] Matth. IX, 12. [17] ibid. 13. [18] Marc. I, 4; Luc. III, 3. [19] Matth. III, 11. [20] Psal. CIII, 15. [21] Joan. VI, 54. [22] Luc. XII, 50. [23] I Joan. V, 8. [24] Joan. X, 9, et XIV, 6. [25] Joan. I, 23. [26] Exod. XIV, 22. [27] Jos. III, 15, 16. [28] Cap. X, vers. 1 seq.

(91) *Βαπτίσματι δὲ ἔχω*. Ita Bodleianus codex; Regius pro βαπτίσματι habet βάπτισμα.

εὐαγγελικῷ κηρύγματι Ἰησοῦ τοῦ Χριστοῦ· διόπερ, εἰ καὶ πάντες ἐκεῖνοι εἰς Μωσῆν βαπτίζονται ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, πικρὸν μέν τι ἔχει καὶ ἁλμυρὸν τὸ ἐκείνων βάπτισμα, ἔτι φοβουμένων τοὺς ἐχθροὺς παρ' αὐτῶν, καὶ ἀναβοώντων πρὸς τὸν Κύριον καὶ τῷ Μωσῇ λεγόντων· « Παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς θανατῶσαι ἐν τῇ ἐρήμῳ· τί τοῦτο ἐποίησας ἡμῖν, ἐξαγαγὼν ἐξ Αἰγύπτου; » Τὸ δὲ εἰς Ἰησοῦν βάπτισμα, ἐν τῷ ἀληθῶς γλυκεῖ καὶ ποτίμῳ ποταμῷ, πολλὰ ἔχει παρ' ἐκεῖνο ἐξαίρετα, ἤδη τρανουμένης καὶ πρέπουσαν τάξιν λαμβανούσης τῆς θεοσεβείας· κιβωτὸς γὰρ τῆς Διαθήκης Κυρίου τοῦ Θεοῦ ἡμῶν καὶ ἱερεῖς καὶ Λευῖται πορεύονται, τοῦ λαοῦ ἑπομένου τοῖς θεραπευταῖς τοῦ Θεοῦ, κἀκείνου δὲ τοῖς χωροῦσι τὴν περὶ ἁγνείας ἐντολήν. Ἰησοῦς δὲ λέγει τῷ λαῷ (91*)· « Ἁγνίσασθε εἰς τὴν αὔριον, ποιήσει ἐν ἡμῖν Κύριος θαυμάσια· » καὶ τοῖς ἱερεῦσι μετὰ τῆς κιβωτοῦ τῆς Διαθήκης κελεύει προπορεύεσθαι ἔμπροσθεν τοῦ λαοῦ, ὅτε καὶ τὸ μυστήριον τῆς τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν (92) οἰκονομίας ἐμφαίνεται, ὑπερυψούμενον ὑπ' αὐτοῦ διδόντος χάρισμα, « ἵν' ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. » Διὰ γὰρ τούτων δηλοῦται ἐν τῷ *Ἰησοῦ* ἀναγεγραμμένῳ ταῦτα· « Καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· Ἐν τῇ ἡμέρᾳ ταύτῃ ἄρξομαι ὑψῶσαί σε κατενώπιον τῶν υἱῶν Ἰσραήλ· » καὶ ἀκουστέον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ λέγοντος τοῖς υἱοῖς Ἰσραήλ· « Προσάγετε ὧδε, καὶ ἀκούσετε τὸ ῥῆμα Κυρίου τοῦ Θεοῦ ἡμῶν· ἐν τούτῳ γνώσεσθε, ὅτι Θεὸς ζῶν ἐν ὑμῖν ἐστιν. Ἐν γὰρ τῷ βαπτίσασθαι εἰς Ἰησοῦν γνωσόμεθα, ὅτι Θεὸς ζῶν ἐν ἡμῖν ἐστι. Κἀκεῖ μὲν τὸ Πάσχα ποιήσαντες, ἐν Αἰγύπτῳ, ἀρχὴν τῆς ἐξόδου ποιοῦνται· παρὰ δὲ τῷ Ἰησοῦ μετὰ τὴν δίοδον τοῦ Ἰορδάνου, τῇ δεκάτῃ τοῦ πρώτου μηνὸς κατεστρατοπέδευσαν ἐν Γαλγάλοις, ὅτε πρῶτον ἔδει λαβόντα τὸ πρόβατον (93) ἐπονομάσαι τοὺς εὐωχηθησομένους μετὰ τὸ Ἰησοῦ βάπτισμα. Καὶ τῇ ἀκροτόμῳ πέτρᾳ (94) ὑπὸ Ἰησοῦ οἱ υἱοὶ Ἰσραὴλ, ὅσοι ποτὲ ἀπερίτμητοι ἦσαν τῶν ἐξεληλυθότων ἐξ Αἰγύπτου, περιτέμνονται· τὸν δὲ ὀνειδισμὸν τῆς Αἰγύπτου ἀφελεῖν Κύριος ὁμολογεῖ τῇ ἡμέρᾳ τοῦ εἰς Ἰησοῦν βαπτίσματος, ὅτε Ἰησοῦς περιεκάθαιρεν τοὺς υἱοὺς Ἰσραήλ. Γέγραπται γάρ· « Καὶ εἶπε Κύριος τῷ Ἰησοῦ υἱῷ Ναυῆ· Ἐν τῇ σήμερον ἡμέρᾳ ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ' ὑμῶν. » Τότε ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς πολλῷ τοῦ ἐν Αἰγύπτῳ ἱλαρώτερον, ὅτε καὶ ἔφαγον ἀπὸ τοῦ σίτου τῆς ἁγίας γῆς ἄζυμα,

A in spiritu et in fluvio. At Jesus Moysi succedens figura fuit Jesu Christi, qui evangelica prædicatione illi œconomiæ, quæ per legem erat, successit; quam ob causam, etiamsi omnes in Moyse baptizantur in nube et in mari, amarum attamen nonnihil et falsum habet illorum baptisma, adhuc timentium inimicos ab ipsis, et clamantium ad Dominum dicentiumque Moysi [29]: « Propterea quod non essent monumenta in Ægypto, eduxisti nos, ut interficeres in eremo: [quid hoc facere voluisti, ut educeres nos ex Ægypto? »] At vero baptisma in Jesu, in fluvio vere dulci et potabili, multa eximia præ illo baptismate habet, nimirum quia jam clareret acciperetque decentem ordinem Dei cultus. Arca enim Testamenti Domini Dei nostri, et sacerdotes et levitæ B præcedunt, sequente populo, sequenteque illo cultores Dei. Cæterum his qui percipiunt mandatum de sanctificatione, dicit Jesus, nempe populo [30]: « Sanctificamini in crastinum, faciet in vobis Dominus mirabilia. » Quin sacerdotibus etiam præcipit cum arca Testamenti præcedere coram populo, quando etiam mysterium ostenditur œconomiæ Patris ad Filium superexaltatum ab ipso, qui dedit illi hoc munus, « ut in nomine Jesu omne genu flectatur, cœlestium, terrestrium et infernorum, et omnis lingua confiteatur quod Jesus Christus Dominus est ad gloriam Dei Patris [31]. » Per hæc enim declarantur illa, quæ sunt in libro qui inscriptus est *Jesu Nave*: « Et dixit Dominus ad Jesum: In die C hac incipiam exaltare te coram filiis Israel [32]. » Et audiendus est Dominus noster dicens filiis Israel [33]: « Accedite huc, et audietis verbum Domini Dei nostri: in hoc agnoscetis Deum viventem in vobis esse. » Cum enim baptizamur in Jesu, agnoscimus Deum viventem in nobis esse. Et illic quidem, nempe in Ægypto, facientes Pascha, principium exitus faciunt; at vero apud Jesum post transitum Jordanis [34] decima primi mensis castrametati sunt in Galgalis: **145** quando primum oportebat, qui accepisset ovem, convocare convivaturos post baptisma Jesu. Petra autem acutissima circumciduntur filii Israel a Jesu [35], nimirum quod omnes filii eorum qui egressi fuerant ex Ægypto, incircumcisi essent, et opprobrium Ægypti fatetur Dominus se D auferre in die baptismatis in Jesu, quando Jesus undequaque purificavit filios Israel. Scriptum est enim [36]: « Et dixit Dominus ad Jesum filium Nave: In die hac devolvi a vobis probrum Ægypti. » Tunc fecerunt filii Israel pascha quartadecima die mensis [37], longe quam in Ægypto hilarius, quando etiam

[29] Exod. xiv, 11. [30] Jos. iii, 5, 6. [31] Philipp. ii, 9, 11. [32] Jos. iii, 7. [33] ibid. 9, 10. [34] Jos. iv, 19. [35] Jos. v, 2, 8. [36] ibid. 9. [37] ibid. 10-12.

(91*) Paraphrastice interpres vertit hunc locum, qui sic ad litteram reddi potest: ... *et Levitæ præcedunt, sequente populo cultores Dei, sequenteque illo eos qui percipiunt mandatum de sanctificatione: Dicit autem Jesus populo* EDIT.

(92) *Υἱόν*. Ita codex Bodleianus; Regius, Ἰησοῦν.

(93) *Ὅτε πρῶτον ἔδει λαβόντα τὸ πρόβατον*, etc. Pascha intelligit, Jos. v, 10.

(94) *Καὶ τῇ ἀκροτόμῳ πέτρᾳ*. Et Jos. v, 2, et Exod. iv, 25, habetur צר, quæ vox et *petram* et *gladium* sonat. Quem autem intellectum hic habeat, grammatici certant. Varius quidem est hodie circumcisionis ritus apud Judæos, sed ferro fere utuntur. At silicem tamen olim adhibuisse negare non ausim. HUETIUS.

comederunt e frumento terræ sanctæ azyma, et novum cibum meliorem manna. Neque enim cum terram promissionis acceperint, vilioribus cibat eos Deus; neque duce tali Jesu inferiorem panem assequuntur. Hoc etiam perspicuum erit consideranti veram sanctamque terram, nimirum supernam Jerusalem. Hanc ob causam in illo etiam Evangelio illud ponitur [38]: « Patres vestri in deserto manducaverunt manna, et mortui sunt. Qui hunc vero panem manducaverit, is victurus est in æternum. » Manna etenim illud, etiamsi erat panis a Deo datus, erat tamen panis profectus et augmenti, his suppeditatus qui etiamnum indigerent pædagogis, eratque panis convenientissimus his qui sub tutoribus et curatoribus erant [39]. At vero panis recens demessus, mediatore Jesu, in terra sancta e frumento terræ, ea quæ alii laboraverunt metentibus ipsius discipulis [40], illo pane longe vitalior erat: qui distribuitur iis qui recipere possunt paternam hæreditatem propter perfectionem. Quocirca, qui etiamnum illo pane eruditur et instituitur rationabiliter mortem suscipere potest; at vero qui pertigerit ad panem illo posteriorem manducaveritque ipsum, is profecto in æternum vivet. Hæc autem omnia non intempestive apposita fuisse reor, inquirentes de baptismate quod efficiebatur a Joanne apud Jordanem in Bethabara.

A καὶ νέᾳ τροφῇ τοῦ μάννα κρείττονα. Οὐ γὰρ ὅτε τὴν κατ' ἐπαγγελίαν γῆν ἀπειλήφασι, τοῖς ἐλάττοσιν αὐτοὺς ἑστιᾷ Θεός· οὐδὲ διὰ τοῦ τηλικούτου Ἰησοῦ ὑποδεεστέρου ἄρτου τυγχάνουσι. Τό τ' ἔσται σαφὲς τῷ τὴν ἀληθῆ ἁγίαν νοήσαντι γῆν, καὶ τὴν ἄνω Ἱερουσαλήμ. Διὰ τοῦτο καὶ ἐν τῷ αὐτῷ Εὐαγγελίῳ κεῖται· « Οἱ πατέρες [ὑμῶν] ἐν τῇ ἐρήμῳ ἔφαγον τὸ μάννα, καὶ ἀπέθανον· ὁ φαγὼν τοῦτον τὸν ἄρτον, ζήσει εἰς τὸν αἰῶνα. » Τὸ μὲν γὰρ μάννα, εἰ καὶ ἀπὸ τοῦ Θεοῦ διδόμενος, ἄρτος ἦν προκοπῆς, ἄρτος τοῖς ἔτι παιδαγωγουμένοις χορηγούμενος, ἄρτος τοῖς ὑπὸ (95) ἐπιτρόπους καὶ οἰκονόμους ἁρμονιώτατος. Ὁ καὶ ἐν τῇ ἁγίᾳ γῇ νέος ἀπὸ τοῦ σίτου τῆς γῆς, Ἰησοῦ προξενοῦντος, θεριζόμενος, ἄλλων μὲν κεκοπιακότων (96), τῶν δὲ μαθητῶν αὐτοῦ θεριζόντων, ἄρτος ἦν ἐκείνου
B ζωτικώτερος, τοῖς τὴν πατρῴαν κληρονομίαν διὰ τὴν τελειότητα ἀπολαβεῖν (97) δυναμένοις ἀποδιδόμενος. Διόπερ ὁ μὲν ἐκείνῳ ἔτι παιδευόμενος (98) τῷ ἄρτῳ, τῷ λόγῳ θάνατον δέξασθαι δύναται· ὁ δὲ φθάσας ἐπὶ τὸν μετ' ἐκεῖνον ἄρτον, φαγὼν αὐτὸν, ζήσεται εἰς τὸν αἰῶνα. Ταῦτα δὲ πάντα οὐκ ἀκαίρως οἶμαι παρατεθεῖσθαι, τοῦ παρὰ τῷ Ἰορδάνῃ βαπτίσματος, ἐν Βηθαρᾷ (99) ὑπὸ τοῦ Ἰωάννου γινομένου, ἐξεταζομένου.

27. Sed hoc etiam observandum est, quod Elias subvehendus turbine in cœlum, acceptum pallium suum involvens, percusserit aquam, quæ huc et huc divisa est; et transierunt ambo, ipse scilicet, et Eliseus [41], aptior enim qui subveheretur, factus est baptizatus in Jordane, quoniam transitum per aquam admirabiliorem, vocavit Paulus [42], ut superius posuimus, baptisma. **146** Propter hunc igitur ipsum Jordanem capit Eliseus per Eliam donum illud quod cupierat accipere dicens: « Sit, quæso, duplex portio spiritus tui super me [43]. » Et fortassis hanc ob causam duplex accepit donum in spiritu Eliæ super se ipsum, quoniam bis transivit Jordanem: semel quidem cum Elia [44], secundo autem cum accepto pallio Eliæ « percussit aquam, et dixit: Ubi est Deus Eliæ etiam ipse? Et percussit aquas, et divisit huc et huc [45]. »

27. Ἔτι δὲ καὶ τοῦτο παρατηρητέον, ὅτι μέλλων ἀναλαμβάνεσθαι Ἠλίας ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανὸν, λαβὼν τὴν μηλωτὴν αὐτοῦ, καὶ εἱλήσας
C ἐπάταξε τὸ ὕδωρ, ὅπερ διῃρέθη ἔνθα καὶ ἔνθα· καὶ διέβησαν ἀμφότεροι, δηλονότι αὐτὸς καὶ ὁ Ἐλισσαῖος· ἐπιτηδειότερος γὰρ πρὸς τὸ ἀναληφθῆναι γεγένηται ἐν τῷ Ἰορδάνῃ βαπτισάμενος, ἐπεὶ τὴν δι' ὕδατος παραδοξοτέραν διάβασιν βάπτισμα, ὡς προπαρεθέμεθα, ὠνόμασεν ὁ Παῦλος. Διὰ τὸν αὐτὸν δὴ τοῦτον Ἰορδάνην χωρεῖ ὃ βεβούληται χάρισμα διὰ Ἠλίου ὁ Ἐλισσαῖος λαβεῖν, εἰπών· « Γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ' ἐμέ. » Καὶ τάχα διὰ τοῦτο διπλοῦν ἔλαβε τὸ χάρισμα ἐν πνεύματι Ἠλίου ἐφ' ἑαυτὸν, ἐπεὶ δὶς (1) διῆλθε τὸν Ἰορδάνην, ἅπαξ μὲν μετὰ τοῦ Ἠλίου, δεύτερον δὲ ὅτε λαβὼν τὴν μηλωτὴν τοῦ Ἠλίου « ἐπάταξε τὸ ὕδωρ, καὶ εἶπε· Ποῦ ὁ Θεὸς Ἠλίου ἄφφω (2); καὶ ἐπάταξε τὰ ὕδατα, καὶ διεῖλεν ἔνθα καὶ ἔνθα. »

28. At si quis offendatur hoc dicto, « percussit aquam, » propter ea quæ superius a nobis sunt tradita de Jordane, nempe quod Jordanis figura fuerit sermonis Filii Dei, qui humilem se reddidit æque ac nos; dicendum est perspicuum esse apud Apostolum, quod Christus sit petra, quæ bis percutitur virga, ut bibere possint e spirituali sequente eos petra [46]. Est igitur ille verbero qui in dubitatione, antequam discat quod quæritur, contraria

D 28. Ἐὰν δέ τις προσκόπτῃ τῷ, « ἐπάταξε τὸ ὕδωρ, » διὰ τὰ παραδεδομένα ἡμῖν περὶ τοῦ Ἰορδάνου, ὃς τύπος ἦν τοῦ τὴν κατάβασιν ἡμῶν καταβάντος λόγου· λεκτέον, ὅτι παρὰ τῷ Ἀποστόλῳ σαφῶς ἡ πέτρα Χριστὸς ἦν, ἥτις τῇ ῥάβδῳ δὶς πλήσσεται, ἵνα δυνηθῶσι πιεῖν ἀπὸ τῆς πνευματικῆς ἀκολουθούσης πέτρας. Ἔστιν οὖν τις καὶ ἀγαπώντων πληγὴ ἐν τῷ ἐπαπορήσει, πρὶν μαθεῖν τὸ ζητούμενον, τὰ ἐναντία

[38] Joan. VI, 49, 52. [39] Galat. IV, 2. [40] Joan. IV, 38. [41] IV Reg. II, 8, 11. [42] I Cor. X, 2. [43] IV Reg. II, 9. [44] ibid. 8. [45] ibid 14. [46] I Cor. X, 4; Num. XX, 11.

(95) *Ὑπό*. Ita codex Bodleianus; Regius, ἀπό.
(96) *Κεκοπιακότων*. Sic codex Bodleianus: Regius, κεκληκότων.
(97) *Ἀπολαβεῖν*. In codice Regio legitur δεῖ ἀπολαβεῖν, sed δεῖ omnino superfluum est et παρέλκει.
(98) *Ἔτι παιδευόμενος*. Sic codex Bodleianus; Regius, ἐπιπαιδευόμενος.
(99) *Βηθαρᾷ*. Legendum, ut supra, Βηθαβαρᾷ.
(1) *Δίς*. Deest in editione Huetii, sed restituitur e codice Bodleiano.
(2) *Ποῦ ὁ Θεὸς Ἠλίου ἄφφω;* Non asseculi sunt hæc contextus Hebraici verba LXX Senes, אף הוא, «etiam ipse.» Ita Deus Levit. XXVI, 16, 24, 41, de se ipse dicit: אף אני, «etiam ego.»

προφερομένων τῷ τοῦ λόγου συμπεράσματι, ὧν ἀπαλλάττων ἡμᾶς ὁ Θεὸς, ὅπου μὲν διψῶσι δίδωσι ποτὸν, ὅπου δὲ τὸ ἄβατον (3) ἡμῖν καὶ ἀχώρητον διὰ τὸ βάθος, διόδευτον τῇ διαιρέσει τοῦ λόγου παρασκευάζει, τῶν πλείστων τῷ διαιρετικῷ λόγῳ ἡμῖν σαφηνιζομένων. Ἔτι δὲ εἰς τὸ παραδέξασθαι τὴν περὶ τοῦ ποτιμωτάτου καὶ χαριστικωτάτου Ἰορδάνου ἑρμηνείαν, χρήσιμον παραθέσθαι τόν τε ἀπὸ τῆς λέπρας καθαριζόμενον Ναιμὰν τὸν Σύρον, καὶ τὰ λεγόμενα περὶ τῶν παρὰ τοῖς πολεμίοις τῆς θεοσεβείας ποταμῶν. Περὶ μὲν οὖν Ναιμὰν γέγραπται, ὅτι ἦλθεν ἵππῳ καὶ ἅρματι, καὶ ἔστη ἐπὶ θύραις οἴκου Ἐλισαιὲ, καὶ ἀπέστειλεν Ἐλισαιὲ ἄγγελον πρὸς αὐτὸν, λέγων· « Πορευθεὶς λοῦσαι ἑπτάκις ἐν τῷ Ἰορδάνῃ, καὶ ἐπιστρέψει ἡ σάρξ σου σοὶ, καὶ καθαρισθήσῃ (4). » Ὅτε καὶ θυμοῦται Ναιμὰν οὐ νοῶν, ὅτι ὁ Ἰορδάνης ἡμῶν ἐστιν ὁ ἀπολύων τοὺς διὰ τὴν λέπραν ἀκαθάρτους τῆς ἀκαθαρσίας καὶ ἰώμενος, οὐχὶ δὲ ὁ προφήτης· προφήτου γὰρ ἔργον πέμψαι ἐπὶ τὸ θεραπεῦον. Μὴ συνιεὶς τοίνυν τὸ τοῦ Ἰορδάνου μέγα μυστήριον ὁ Ναιμάν φησιν· « Ἰδοὺ δὴ ἔλεγον (5), ὅτι πάντως ἐξελεύσεται πρὸς μὲ, καὶ στήσεται, καὶ ἐπικαλέσεται ἐν ὀνόματι Κυρίου Θεοῦ αὐτοῦ, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν τόπον, καὶ ἀποσυνάξει τὸ λεπρόν· » τὸ γὰρ ἐπιθεῖναι τὴν χεῖρα τῇ λέπρᾳ, καὶ καθαρίσαι, μόνου τοῦ Κυρίου μου Ἰησοῦ ἔργον ἦν, οὐ μόνον εἰπόντος τῷ μετὰ πίστεως ἀξιώσαντι· « Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι, » τό· « Θέλω, καθαρίσθητι. » Πρὸς γὰρ τῷ λόγῳ καὶ ἥψατο αὐτοῦ, καὶ ἐκαθαρίσθη ἀπὸ τῆς λέπρας αὐτοῦ. Ἔτι δὴ πλανώμενος ὁ Ναιμὰν, καὶ οὐχ ὁρῶν ὅσον ἀπολείπονται οἱ ἕτεροι τοῦ Ἰορδάνου ποταμοὶ πρὸς θεραπείαν τῶν πεπονθότων, ἐπαινεῖ τοὺς τῆς Δαμασκοῦ ποταμοὺς Ἀρβανὰ (6) καὶ Φαρφὰ, λέγων· « Οὐχὶ ἀγαθὸς Ἀρβανὰ καὶ Φαρφὰ ποταμοὶ Δαμασκοῦ ὑπὲρ πάντα τὰ ὕδατα Ἰσραήλ; Οὐχὶ πορευθεὶς, λούσομαι ἐν αὐτοῖς, καὶ καθαρισθήσομαι; » Ὥσπερ γὰρ οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεὸς ὁ Πατὴρ, οὕτως ἐν ποταμοῖς οὐδεὶς ἀγαθὸς εἰ μὴ ὁ Ἰορδάνης, καὶ λέπρας ἀπαλλάξαι δυνάμενος τὸν μετὰ πίστεως τὴν ψυχὴν λουόμενον εἰς τὸν Ἰησοῦν. Οἶμαι δὲ διὰ τοῦτον κλαίειν ἀναγεγράφθαι πᾶσι τοῖς Βαβυλῶνος ποταμοῖς καθεζομένους τοὺς μνησθέντας τῆς Σιών· ἄλλων γὰρ ὑδάτων γευσάμενοι μετὰ τὸν ἅγιον Ἰορδάνην οἱ διὰ τὴν κακίαν αἰχμαλωτευθέντες, εἰς ὑπόμνησιν καὶ ποθὴν ἔρχονται (7) τοῦ οἰκείου καὶ σωτηρίου ποταμοῦ. Διόπερ ἐπὶ τῶν ποταμῶν Βαβυλῶνός φασιν· « Ἐκεῖ ἐκαθίσαμεν » (καὶ δῆλον ὅτι διὰ τὸ μὴ δύνασθαι στῆναι) « καὶ ἐκλαύσαμεν. » Καὶ ὁ Ἱερεμίας δὲ ἐπιπλήσσει τοῖς θέλουσιν Αἰγύπτιον ὕδωρ πιεῖν, καὶ καταλείπουσι τὸ ἐξ οὐρανοῦ καταβαῖνον, καὶ ἐπώνυμον τῆς καταβάσεως τυγχάνον, τὸν Ἰορδάνην, λέγων· « Τί σοὶ καὶ τῇ ὁδῷ Αἰγύπτου τοῦ πιεῖν ὕδωρ Γηῶν, καὶ τοῦ

A profert sermonis conclusioni, a quibus liberans nos Deus interdum quidem sitientibus dat potum, interdum vero quod invium nobis et imperceptibile est propter profunditatem, pervium illud præparat divisione sermonis, cum quamplurima ex ratione dividendi nobis manifestentur. Ad hæc ut admittamus interpretationem de potabilissimo et gratiarum pleno Jordane, utile nobis erit apponere Naaman illum Syrum a lepra mundatum, et quæ dicuntur de fluminibus apud hostes cultus divini. Atque de Naaman quidem scriptum est [47], quod venerit cum equitatu et curru, et steterit ante fores domus Elisei, quodque miserit Eliseus nuntium ad illum, dicens: « Profectus lavare in Jordane septies, et restituetur tibi caro tua, et mundaberis [48]. » B Quando etiam commovetur indignatione Naaman [49], non intelligens quod Jordanis noster is sit qui immundos ob lepram liberat ab immunditia sanatque, non ille propheta; quandoquidem prophetæ officium est mittere ad illud quod sanitatem affert. Non intelligens igitur Jordanis magnum mysterium, Naaman inquit [50]: « En quidem cogitaram: Omnino exibit ad me, et stans invocabit nomen Domini Dei sui, imponetque manum suam ad locum et curabit lepram. » Etenim manum lepræ imponere et curare solius Domini mei Jesu officium est, qui non tantum dixit cum fide pronuntianti: « Si vis, potes me mundare, » — « Volo, mundus esto [51]: » præterquam quod enim locutus est, **147** tetigit etiam eum, et mundatus C fuit a lepra sua. Errans etiam Naaman, nec videns quantum cæteri fluvii Jordane sint inferiores quantum attinet ad curandum eos qui morbo affecti sunt, laudat Damasci fluvios, Arbana, et Pharpha, dicens [52]: « Annon bonus est Arbana, et Pharpha fluvii Damasci præ omnibus aquis Israelis? Nonne profectus lavabor in eis et mundabor? » Ut enim nullus bonus, nisi unus, nempe Deus Pater [53], sic inter fluvios nullus est bonus, nisi Jordanis, etiam a lepra liberare valens eum qui cum fide lavat animam in Jesu. Proinde meum est judicium, scriptum fuisse omnes sedentes super flumina Babylonis [54] propter hunc flere, memoria repetentes Sion. Deducti enim ob vitium in captivitatem, cum alias degustassent aquas post sanctum Jordanem, in memoriam D desideriumque veniunt proprii et salutaris fluvii. Propterea de fluviis Babylonis inquiunt: « Illic sedimus » (nimirum stare nequentes) « et flevimus. » Quando etiam Jeremias minatur volentibus Ægyptiam aquam bibere, et relinquentibus aquam e cœlo descendentem, et descensus agnomen habentem Jordanem, dicens [55]: « Nunc igitur quid est tibi in via Ægypti, ut bibas aquam

[47] IV Reg. v, 9. [48] ibid. 10. [49] ibid. 11. [50] ibid. 17; Marc. x, 18; Luc. viii, 19. [54] Psal. cxxxvi, 1.
[51] Matth. viii, 2. [52] IV Reg. v, 12. [53] Matth. xix, [55] Jerem. ii, 18.

(3) Editio Huetii, ἅμα, codex Bodleianus, ἄβατον, sicque legit Ferrarius.

(4) Editio Huetii, καθαρισθῇ, codex Bodleianus, καθαρισθήσῃ.

(5) *Δὴ ἔλεγον*. Sic codex Bodleianus; Regius, διέλεγον.

(6) Codex Bodleianus bis habet Ἀρβανά, Regius utrobique, Ἀβανά.

(7) *Εἰς ὑπόμνησιν καὶ ποθὴν ἔρχονται.* Sic recte habet codex Bodleianus, atque ita legit Ferrarius; Perionius vero, ex perversa codicis Regii scriptura, ποθέν.

Geon, et ut bibas aquam fluviorum? » vel, ut He- A braicum habet, « bibere aquam Seor, » de qua nunc propositum non est dicere.

29. Quod autem non de his fluminibus, quæ sensu percipiuntur, præcipuus sit sermo Spiritui loquenti in Scripturis a Deo inspiratis, id licet etiam cernere ex his quæ ab Ezechiel prophetantur ad Pharaonem regem Ægypti [56], [quæ sic habent: « En ego ad te, o Pharao, rex Ægypti,] draconem magnum, sedentem in medio fluviorum, te ipsumque alloquentem: *Mihi sunt fluvii, et ego feci eos*, et dabo laqueos in maxillas tuas, et agglutinabo pisces fluvii [(10) cum pennis tuis, teque e medio flumine tuo reducam, et omnes pisces fluminis,] et dejiciam te celeriter: et omnes pisces fluvii coram facie terræ tuæ cadent, et **148** non congre- B gaberis, et non ornaberis. » Quem serpentem corporalem, in corporali Ægypti fluvio visum fuisse prodiderunt unquam historiæ? Proinde vide ne forte fluvius Ægypti locus sit draconis inimici nostri, qui ne Moysen quidem puerum interficere quivit. Ut autem draco est in Ægypti fluvio, sic Deus est in fluvio lætificante civitatem Dei [57]; nam Pater est in Filio [58]. Hanc ob causam qui ad ipsum pergunt ut laventur, probrum deponunt ex Ægypto ductum, aptioresque fiunt ut subvehantur, et mundantur a lepra, duplicationemque donorum ac-

πιεῖν ὕδωρ ποταμῶν; » ἤ, ὡς τὸ Ἑβραϊκὸν ἔχει, « τοῦ πιεῖν ὕδωρ Σιὼν (8), » περὶ οὗ οὐ νῦν πρόκειται λέγειν.

29. Ὅτι δὲ οὐ περὶ αἰσθητῶν ποταμῶν ὁ προηγούμενος λόγος ἐστὶ τῷ ἐν ταῖς θεοπνεύστοις Γραφαῖς λαλοῦντι Πνεύματι, καὶ ἀπὸ τῶν ἐν τῷ Ἐζεκιὴλ ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου προφητευομένων ἔστιν ἰδεῖν, οὕτως ἐχόντων· « Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, Φαραὼ, βασιλεῦ Αἰγύπτου (9), τὸν δράκοντα τὸν μέγαν, τὸν ἐγκαθήμενον ἐν μέσῳ ποταμῶν, αὐτὸν λέγοντα· *Ἐμοί εἰσιν οἱ ποταμοὶ, καὶ ἐγὼ ἐποίησα αὐτούς*· καὶ ἐγὼ δώσω παγίδας εἰς τὰς σιαγόνας σου, καὶ προσκολλήσω τοὺς ἰχθύας τοῦ ποταμοῦ πρὸς τὰς πτέρυγάς σου, καὶ ἀνάξω σε ἐκ μέσου τοῦ ποταμοῦ σου, καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ, καὶ καταβαλῶ σε ἐν τάχει· καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ ἐπὶ προσώπου τοῦ πεδίου σου πέσῃ, καὶ οὐ μὴ συναχθῇς, καὶ οὐ μὴ περισταλῇς. » Ποῖος γὰρ σωματικὸς δράκων (11) ἐν τῷ σωματικῷ τῆς Αἰγύπτου ποταμῷ ὀφθεὶς ἱστόρηταί ποτε; Ἀλλὰ μήποτε χωρίον ἐστὶ (12) τοῦ ἐχθροῦ ἡμῶν δράκοντος ὁ τῆς Αἰγύπτου ποταμὸς, μηδὲ παιδίον ἀποκτεῖναι Μωϋσέα δυνηθείς. Ὥσπερ δὲ δράκων ἐν τῷ Αἰγυπτίῳ ἐστὶ ποταμῷ, οὕτως ὁ Θεὸς ἐν τῷ εὐφραίνοντι τὴν πόλιν τοῦ Θεοῦ ποταμῷ· ὁ Πατὴρ γὰρ ἐν τῷ Υἱῷ. Διὰ τοῦτο οἱ γενόμενοι ἐν αὐτῷ ἐπὶ τῷ λούσασθαι τὸν ὀνειδισμὸν ἀποτίθενται τῆς Αἰγύπτου, καὶ ἐπιτηδειότεροι πρὸς τὸ ἀναλαμβάνεσθαι γίνονται,

[56] Ezech. XXIX, 3 et seq. [57] Psal. XLV, 5. [58] Joan. X, 38 et XIV, 10.

(8) *Ἤ, ὡς τὸ Ἑβραϊκὸν ἔχει, τοῦ πιεῖν τὸ ὕδωρ Σιών*. Varietas hæc lectionis pertinet ad illud: τοῦ πιεῖν ὕδωρ Γηῶν, non ad hoc, τοῦ πιεῖν ὕδωρ ποταμῶν. Codices Regius, Bodleianus, Barberinus et Perionius habent Σιών, ita ut nos edidimus: at Ferrarius, « bibere aquam Seor, » recte, Hebraice enim est שחור, unde Σῖρις, quo nomine Nilus appellatur, ab aquarum nigrore, unde a Græcis quibusdam Μέλας proprio nomine dictus est. LXX reddiderunt Γηῶν, ex vetusto errore, jam inde ab antiquis deducto temporibus, quo Phison et Gehon Ganges esse et Nilus existimabantur. At accuratioribus recentiorum hominum studiis compertum est quatuor capita fluvii paradisum irrigantis ea fuisse Tigrim et Euphratem, tum alveos illos duos, per quos Euphrates Tigridi permistus in sinum Persicum erumpit. Adi Josephi Scaligeri *De emendat. temp.* librum quintum, et epist. 441, qui Calvinum sententiæ hujus auctorem et inventorem laudat. Vulgata: « Ut bibas aquam turbidam? » quod factum videtur ex Græco τῶν Θ', apud quos pro ὕδωρ Γηῶν, perperam fortasse lectum est, ὕδωρ Γήϊον HUETIUS.

(9) *Προφητευομένων ἔστιν ἰδεῖν οὕτως ἐχόντων· Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, Φαραὼ, βασιλεῦ Αἰγύπτου*. Hæc desiderantur in codice Regio, sed restituuntur e codice Bodleiano.

(10) Hæc ex interpretatione Perionii supplevimus.

(11) *Ποῖος γὰρ σωματικὸς δράκων*, etc. Origenes lib. IV *contra Celsum*, num. 50, p. 542: Τίς δ' ἀναγιγνώσκων δράκοντα ἐν τῷ Αἰγυπτίῳ ποταμῷ ζῶντα, καὶ τοὺς ἰχθύας ἐμφωλεύοντας αὐτοῦ ταῖς φολίσιν, ἢ ἀπὸ τῶν προχωρημάτων τοῦ Φαραὼ πληρούμενα τὰ Αἰγύπτου ὄρη, οὐ προάγεται αὐτόθεν πρὸς τὸ ζητῆσαι, τίς ὁ τοσούτων δυσωδῶν προχωρημάτων αὐτοῦ πληρῶν τὰ Αἰγυπτίων ὄρη· καὶ τίνα τὰ τῶν Αἰγυπτίων ὄρη· καὶ τίνες οἱ ἐν Αἰγύπτῳ ποταμοὶ, περὶ ὧν αὐχῶν λέγει ὁ προειρημένος Φαραώ· « Ἐμοί εἰσιν οἱ ποταμοὶ, καὶ ἐγὼ ἐποίησα αὐτούς· » καὶ τίς ὁ ἀνάλογον τοῖς ἀποδειχθησομένοις ἀπὸ τῆς ἑρμηνείας πο- C ταμοῖς δράκων· καὶ τίνες οἱ ἐν ταῖς φολίσιν αὐτοῦ ἰχθύες; Καὶ τί με δεῖ ἐπὶ πλείονα κατασκευάζειν τὰ μὴ δεόμενα κατασκευῆς; ἐφ' οἷς λέγεται τό· « Τίς σοφὸς, καὶ συνήσει ταῦτα; ἢ συνετὸς, καὶ ἐπιγνώσεται αὐτά; » Ezech. XXIX, 3, et XXXII, 2, pro eo quod LXX reddunt δράκων, Hebraice habetur התנים, quod non dracones solum, sed cete etiam, grandiores pisces et serpentes significat. In his recensetur crocodilus, quem hoc loco designavit Ezechiel. Hæc autem bellua Ægypti regem expressit, quemadmodum eadem Ægyptiaci regni postmodum typus fuit et symbolum. Certe post adjectam Romano imperio Ægyptum, nummis suis crocodilum Augustus appingi voluit. Quid quod *Pharaonem* Ægyptiace crocodilum significare conjici ex eo potest, quod פרעון apud Arabes, qui multa ab Ægyptiis cum ipsa significatione vocabula mutuati sunt, crocodilum sonet. Nam quod scribit Josephus, *Antiq.* lib. VIII, cap. 2, « Pharaonem, » apud Ægyptios regem si- D gnificare, vix cuiquam probet qui animadvertit, quam sæpe « rex Pharao » in sacris libris legatur. Nec simile est « Abba pater, » quod exstat Marc. XIV, 36, Rom. VIII, 15, et Galat. IV, 6. Id enim geminarunt Hebræi Græca utentes loquela, ut majorem affectus vim ea voce declararent, quam pueri patrem appellantes usurpant. Verius non est quod dant nominis illius etymon Philo *Allegor.* 2, Origenes *homil.* 6 *in Genes.* n. 2, p. 77, et Hieronymus *De nominib Hebraic.*, ab Hebræo nempe פרע, cum « Pharao, » reddunt, σκεδαστής, « exterminator dissipans: » hujus enim vocis veriloquium ab Ægyptiis petendum est, non ab Hebræis. Addit Ezechiel: הרבץ בתוך יאריו, « cubans in medio fluminum suorum: » in undis enim fere quietem capere solitus est crocodilus; Ammianus lib. XXII: « Noctibus quiescens per undas, diebus humi vescitur. » HUETIUS.

(12) *Ἀλλὰ μήποτε χωρίον ἐστὶ*, etc. Origenes homil. 5 *in Isaiam*, n. 3, p. 115, a: « Vivit Rex malignus in pectore nostro, quandiu vivit Pharao Zabulus. »

καὶ ἀπὸ τῆς μιαρωτάτης λέπρας καθαρίζονται, καὶ A διπλασιασμὸν χωροῦσι χαρισμάτων, καὶ ἕτοιμοι πρὸς Πνεύματος ἁγίου παραδοχὴν γίνονται, ἄλλῳ ποταμῷ οὐκ ἐφιπταμένης τῆς πνευματικῆς περιστερᾶς. Διόπερ θεοπρεπέστερον νοήσαντες τὸν Ἰορδάνην, καὶ τὸ ἐν αὐτῷ λουτρὸν, καὶ τὸν Ἰησοῦν ἐν αὐτῷ λουόμενον, καὶ τὸν τῆς κατασκευῆς οἶκον, ὅσον δεόμεθα τῆς τοιαύτης ὠφελείας ἀπὸ τοῦ ποταμοῦ ἀρυσώμεθα.

30. *Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν.* Πρότερον ἡ μήτηρ τοῦ Ἰησοῦ, ἅμα τῷ συλλαβεῖν αὐτὸν, τῇ μητρὶ τοῦ Ἰωάννου καὶ αὐτῇ ἐγκύμονι τυγχανούσῃ, ἐπεδήμει, ὅτε μορφούμενος τῷ μορφουμένῳ ἀκριβέστερον τὴν μόρφωσιν χαρίζεται, σύμμορφον ἐνεργῶν αὐτὸν γενέσθαι τῇ δόξῃ αὐτοῦ, ὥστε διὰ τὸ κοινὸν τῆς μορφῆς (13) Ἰωάννην τε B Χριστὸν ὑπονοεῖσθαι τυγχάνειν, καὶ Ἰησοῦν Ἰωάννην ἀναστάντα ἐκ νεκρῶν νομίζεσθαι, παρὰ τοῖς μὴ διακρίνουσι τὴν εἰκόνα ἀπὸ τοῦ κατὰ τὴν εἰκόνα· νῦν δὴ ὁ Ἰησοῦς μετὰ τὰ προεξετασθέντα μαρτύρια Ἰωάννου περὶ αὐτοῦ, αὐτὸς βλέπεται ὑπὸ τοῦ Βαπτιστοῦ ἐρχόμενος πρὸς αὐτόν. Παρατηρητέον δὲ, ὅτι ἐκεῖ μὲν διὰ τὴν τοῦ Μαρίας ἀσπασμοῦ φωνὴν ἐληλυθυῖαν εἰς τὰ ὦτα τῆς Ἐλισάβετ, σκιρτᾷ τὸ βρέφος Ἰωάννης ἐν τῇ κοιλίᾳ τῆς μητρὸς, τότε, ὡς ἀπὸ τῆς γῆς (14), λαμβανούσης Πνεῦμα ἅγιον· « Ἐγένετο γὰρ, φησὶν, ὡς ἤκουσε τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε κραυγῇ μεγάλῃ, καὶ εἶπεν. » Ἔνθα δὲ « Βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ C λέγει· Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· » ἀκοῇ δὲ τῇ περὶ τῶν κρειττόνων πρότερόν τις παιδεύεται, καὶ μετὰ ταῦτα αὐτόπτης αὐτῶν γίνεται. Ὅτι μέντοιγε εἰς τὴν μόρφωσιν ὠφέληται ὁ Ἰωάννης ἀπὸ τοῦ ἔτι μορφουμένου τοῦ Κυρίου, γενομένου ἐν τῇ μητρὶ πρὸς τὴν Ἐλισάβετ, τῷ κεκρατηκότι τῶν εἰρημένων περὶ τοῦ φωνὴν μὲν εἶναι τὸν Ἰωάννην, λόγον δὲ τὸν Ἰησοῦν, δῆλον ἔσται· μεγάλη γὰρ φωνὴ γίνεται ἐν τῇ Ἐλισάβετ πληρωθείσῃ Πνεύματος ἁγίου διὰ τὸν ἀσπασμὸν τῆς Μαρίας, ὡς αὐτὴ ἡ λέξις παρίστησιν οὕτως ἔχουσα· « Καὶ ἀνεφώνησε κραυγῇ μεγάλῃ, » δῆλον ὅτι ἡ Ἐλισάβετ, « καὶ εἶπεν. » Ἡ γὰρ φωνὴ τοῦ ἀσπασμοῦ τῆς Μαρίας, γενομένη ἐν τοῖς ὠσὶ τῆς Ἐλισάβετ, ἐπλήρωσε τὸν D Ἰωάννην ἑαυτῆς· διόπερ σκιρτᾷ ὁ Ἰωάννης, καὶ οἱονεὶ στόμα τοῦ υἱοῦ καὶ προφῆτις ἡ μήτηρ γίνεται, ἀναφωνοῦσα κραυγῇ μεγάλῃ, καὶ λέγουσα· « Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. » Ἤδη οὖν δύναται δῆλος ἡμῖν γίνεσθαι καὶ ἡ μετὰ σπουδῆς πορεία τῆς Μαρίας εἰς τὴν ὀρεινὴν, καὶ ἡ εἴσοδος εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ὁ ἀσπασμὸς ὃν ἀσπάζεται τὴν Ἐλισάβετ. Ἵνα γὰρ μεταδῷ ἀφ' ἧς ἔχει, ἐξ οὗ συνείληφε, δυνάμεως τῷ

cipiunt, atque etiam fiunt ad Spiritus sancti receptionem parati, nimirum ad aliud flumen non advolante columba. Quamobrem magnificentius considerato Jordane, ipsiusque lavacro ac Jesu qui in ipso lavatur, tum [Bethabara hoc est] domo instructionis, tantum utilitatis a fluvio hauriamus, quantum egemus.

30. *Postero die videt Joannes Jesum venientem ad se* [59]. Prius Jesu mater, simul atque ipsum concepit, ad Joannis matrem, eamque uterum ferentem pergit, quando qui formatur accuratiorem formationem donat ei qui formabatur, conformem illum efficiens suæ gloriæ, adeo ut ob formam communem, Joannes crederetur esse Christus, et item Christus Joannes esse a mortuis excitus putaretur [60] apud eos qui non discernunt inter imaginem et inter eum qui est secundum imaginem; nunc autem ipse Jesus post ea, quæ antea accurate examinavimus, testimonia Joannis de ipso, videtur a Baptista veniens ad illum. Sed obiter observandum est quod illic per vocem salutationis Mariæ, quæ pervenit ad aures Elisabeth, exsilit Joannes infans in utero matris, tum veluti a sancta Maria sumentis Spiritum sanctum : « Evenit enim, inquit [61], ut audivit salutationem Mariæ Elisabeth, **149** subsilivit infans in utero ejus, et repleta est Spiritu sancto Elisabeth, et exclamavit voce magna, et dixit. » Hic autem « Videt Joannes Jesum ad se ipsum venientem, et dicit : Ecce ille Agnus Dei, qui tollit peccatum mundi [62] : » in rebus etenim præstantibus, per auditum primum quis eruditur, deinde oculatus testis ipsarum rerum fit. Sed profecto adjuvari Joannem ad formationem a Domino, qui adhuc cum formaretur perrexit in matre ad Elisabetham, ei perspicuum erit qui tenuerit quæ disseruimus, dum diceremus Joannem esse vocem, Jesum vero sermonem : magna enim vox fit in Elisabeth repleta Spiritu sancto ob Mariæ salutationem, ut lectio ipsa docet hunc in modum habens : « Et exclamavit voce magna [63], » scilicet Elisabeth, « et dixit. » Vox enim salutationis Mariæ, quæ pervenit ad aures Elisabeth, replevit Joannem se ipsa; quam ob causam subsilit Joannes, materque veluti os filii et prophetissa efficitur, voce magna exclamans ac dicens : « Benedicta tu inter mulieres, et benedictus ille fructus ventris tui [64]. » Jam vero a nobis aperte perspici potest tum Mariæ iter ad montana cum festinatione [65], tum ingressus in domum Zachariæ, ac deinde salutatio qua salutat Elisabeth. Hæc enim omnia eveniunt, ut Maria faciat participem Joannem (etiamnum in utero matris exsistentem) ejus potentiæ quam habet ab eo

[59] Joan. I, 29. [60] Luc. III, 15; Matth. XIV, 2; Marc. VI, 14, 16; Luc. IX, 8. [61] Luc. I, 41, 42. [62] Joan. I, 29. [63] Luc. I, 42. [64] ibid. [65] ibid. 39, 40.

(13) Pro μορφῆς codex Bodleianus habet Γραφῆς, male.

(14) Ἀπὸ τῆς γῆς. In margine codicis Bodleiani legitur : Οὕτω καὶ ἐν τῷ ἀντιγράφῳ γράφεται, γῆς. Alia manu : τάχα ἀπὸ τῆς ἁγίας Μαρίας. Quam conjecturam secutus est in sua interpretatione Ferrarius.

quem conceperat, qui quidem Joannes et ipse participem facturus erat matrem illius gratiæ propheticæ quam acceperat. Et decentissime profecto in montana tales dispensationes perficiuntur, cum nihil magni capi possit ab his hominibus qui valles ob humilitatem vocandi sunt. Ideo hoc in loco, post Joannis testimonia, primum quidem quod dicitur a Joanne clamante ac theologum agente [66], alterum vero ad sacerdotes et levitas ab Hierosolymis a Judæis missos [67], tertium ad eos qui ex Pharisæis exsistentes acerbius interrogarunt [68], Jesus jam videtur ab eo qui testimonium perhibuerat venienti ad se, adhuc proficientem melioremque evadentem; cujus profectus et ad meliora progressus, nota est ea dies, quæ postera dicitur; veluti enim in sequenti illuminatione et in postera die propter ea quæ præcesserant, Jesus venit, non tantum ignotus [69], tanquam qui in medio steterit etiam nescientium, sed jam etiam veniens conspicuus ei qui hæc antea annuntiarat. Prima ergo die testimonia **150** fiunt. Altera Jesus ad Joannem venit [70]. Tertia autem [71] Joannes (cum staret cum duobus discipulis, intuitusque esset Jesum ambulantem, ac dixisset : « Ecce Agnus ille Dei ») præsentes admonet, uti sequantur Filium Dei. Jam in quarta die [72], cum exire vellet in Galilæam, ille qui exiit ad quærendum quod perierat [73], invenit Philippum, et dicit ei : « Sequere me [74]. » Die vero tertia, post quartam, quæ sexta est in earum numero quas a principio recensuimus, nuptiæ fiunt in Cana Galilææ [75], de quibus videbimus cum ad locum hunc pervenerimus. Illud etiam obiter observandum quod Maria illa præstantior venit ad Elisabeth inferiorem, et Filius Dei ad Baptistam, ex quibus id utilitatis capimus ut impigri simus ad ferendam opem inferioribus et ad mediocritatem conservandam.

31. Quoniam autem apud Joannem discipulum, unde ad Baptistam Joannem veniat Servator, non dicitur, hoc discimus ex his quæ Matthæus scripsit [76] : « Tunc advenit Jesus a Galilæa ad Jordanem ad Joannem, ut baptizaretur ab illo. » At Marcus etiam locum Galilææ addidit dicens : « Et evenit in diebus illis ut veniret Jesus a Nazareth Galilææ, et baptizaretur a Joanne in Jordane [77]. » Porro Lucas locum quidem reticuit unde Jesus advenit, prætermittendo quæ alii scripserant, sed quod ab illis non didicimus, ipse nos docet [78], quod nempe post baptismum ascendenti ipsi apertum est cœlum, et descendit Spiritus sanctus corporea specie, sicut columba. Rursus dicente Matthæo [79], Dominum prohibitum a Joanne dicente Ser-

A Ἰωάννῃ ἔτι ἐν τῇ μήτρᾳ (15) τυγχάνοντι τῆς μητρὸς ἡ Μαριὰμ, καὶ αὐτῷ μεταδώσοντι τῇ μητρὶ ἀφ' ἧς ἔλαβε χάριτος προφητικῆς, ταῦτα πάντα γίνεται. Καὶ εὐλογώτατά γε ἐν τῇ ὀρεινῇ αἱ τοιαῦται οἰκονομίαι ἐπιτελοῦνται, οὐδενὸς μεγάλου χωρουμένου ὑπὸ τῶν διὰ τὴν ταπεινότητα κοιλάδων κληθησομένων. Καὶ ἔνθα δὲ οὖν μετὰ τὰς Ἰωάννου μαρτυρίας, πρώτην μὲν τὴν ὑπὸ κεκραγότος λεγομένην καὶ θεολογοῦντος· δευτέραν δὲ πρὸς τοὺς ἱερεῖς καὶ Λευΐτας, τοὺς ἀπὸ Ἱεροσολύμων ὑπὸ Ἰουδαίων ἀπεσταλμένους· καὶ τρίτην τὴν πρὸς τοὺς ἐκ τῶν Φαρισαίων πικρότερον ἐρωτήσαντας, Ἰησοῦς ἤδη βλέπεται ὑπὸ τοῦ μαρτυρήσαντος, ἐρχόμενος πρὸς αὐτὸν ἔτι προκόπτοντα καὶ βελτίονα γινόμενον· ἧς προκοπῆς καὶ βελτιώσεως σύμβολον ἡ ὠνομασμένη αὔριον· οἱονεὶ γὰρ ἐν ἑξῆς B φωτισμῷ, καὶ δευτέρᾳ ἡμέρᾳ παρὰ τὰ πρότερον ὁ Ἰησοῦς ἔρχεται, οὐ μόνον γινωσκόμενος (16) ὡς μέσος ἑστηκὼς καὶ τῶν οὐκ εἰδότων, ἀλλ' ἤδη καὶ ὁρώμενος ἥκων τῷ ταῦτα πρότερον ἀποφηναμένῳ. Πρώτῃ οὖν ἡμέρᾳ αἱ μαρτυρίαι γίνονται· καὶ δευτέρᾳ Ἰησοῦς πρὸς Ἰωάννην ἔρχεται. Τρίτῃ δὲ, ἑστὼς ὁ Ἰωάννης μετὰ δύο μαθητῶν, ἐνιδὼν Ἰησοῦ περιπατοῦντι [καὶ] εἰπὼν τό· « Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, » προτρέπει τοὺς παρόντας ἀκολουθῆσαι τῷ Υἱῷ τοῦ Θεοῦ. Καὶ τετάρτῃ θελήσας ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν ὁ ἐξελθὼν ζητῆσαι τὸ ἀπολωλὸς, εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ· « Ἀκολούθει μοι. » Τῇ δὲ ἀπὸ τῆς τετάρτης, ἥτις ἐστὶν (17) ἕκτη τῶν ἀρχῆθεν ἡμῖν κατειλεγμένων, ὁ γάμος γίνεται ἐν Κανᾷ τῆς Γαλιλαίας, περὶ οὗ C εἰσόμεθα γενόμενοι κατὰ τὸν τόπον. Παρατηρητέον δὲ ἔτι καὶ τοῦτο, ὅτι ἡ διαφέρουσα Μαρία πρὸς τὴν ὑποδεεστέραν Ἐλισάβετ ἔρχεται, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ πρὸς τὸν Βαπτιστὴν, δι' ὧν εἰς τὸ ἄοκνον πρὸς τὸ ὠφελεῖν τοὺς ἥττονας, καὶ μετριότητα ὠφελούμεθα.

31. Ἐπεὶ δὲ παρὰ τῷ μαθητῇ Ἰωάννῃ, πόθεν πρὸς τὸν Βαπτιστὴν Ἰωάννην (18) ὁ Σωτὴρ ἔρχεται, οὐ λέγεται, τοῦτο μανθάνομεν ἀπὸ τοῦ Ματθαίου γράψαντος· « Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. » Ὁ δὲ Μάρκος καὶ τὸν τόπον τῆς Γαλιλαίας προσέθηκεν εἰπών· « Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲτ D τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη εἰς τὸν Ἰορδάνην ὑπὸ Ἰωάννου. » Λουκᾶς δὲ τὸν μὲν τόπον ἀπεσιώπησεν, ὅθεν ὁ Ἰησοῦς ἔρχεται, παραχωρήσας τοῖς εἰρηκόσι τὸν λόγον, ὅπερ δὲ ἀπ' ἐκείνων οὐ μεμαθήκαμεν, αὐτὸς ἡμᾶς διδάσκει, ὡς ἄρα μετὰ τὸ βάπτισμα αὐτῷ ἀνερχομένῳ (19) ἀνεῴχθη ὁ οὐρανὸς, καὶ κατέβη τὸ ἅγιον Πνεῦμα σωματικῷ εἴδει, ὡς περιστερά. Πά-

[66] Joan. I, 1 et seq. [67] ibid. 19 et seq. [68] ibid. 24 et seq. [69] ibid. 26. [70] Joan. I, 29 [71] ibid. 35, 36. [72] ibid. 43. [73] Luc. XIX, 10. [74] Joan. I, 43. [75] Joan. II, 1. [76] Matth. III, 13. [77] Marc. I, 9. [78] Luc. III, 21. [79] Matt. III, 14, 15.

(15) *Μήτρᾳ*. Sic codex Bodleianus; editio Huetii cum codice Regio, μητρί.

(16) *Οὐ μόνον γινωσκόμενος*. Aliter legit Ferrarius; vertit enim, « non tantum ignotus. »

(17) *Τῇ δὲ ἀπὸ τῆς τετάρτης, ἥτις ἐστίν*, etc. Ferrarius : « Die vero tertia post quartam; » legebat, Τῇ δὲ ἀπὸ τῆς τετάρτης τρίτῃ, ἥτις ἐστίν.

(18) *Ἰωάννην*. Deest in editione Huetii, sed restituitur e codice Bodleiano.

(19) *Ἀνερχομένῳ*. Sic codex Bodleianus, recte, editio Huetii, προσερχομένῳ.

λιν τὸ Ἰωάννην διακεκωλυκέναι τὸν Κύριον, λέγοντα τῷ Σωτῆρι· « Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός μέ! » τῷ Ματθαίῳ εἰρηκότι οὐδεὶς προσέθηκεν, ἵνα μὴ ταυτολογῶσι. Καὶ τὸ ὑπὸ τοῦ Κυρίου δὲ πρὸς αὐτὸν εἰρημένον· « Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην, » μόνος ἀνέγραψεν ὁ Ματθαῖος.

32. *Καὶ λέγει· Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.* Πέντε ζώων προσφερομένων ἐπὶ τὸ θυσιαστήριον, τριῶν μὲν χερσαίων, πτηνῶν δὲ δύο, ἄξιόν μοι ζητεῖν φαίνεται τί δήποτε ὑπὸ τοῦ Ἰωάννου ὁ Σωτὴρ Ἀμνὸς λέγεται, καὶ οὐδὲν τῶν λοιπῶν· ἀλλὰ καὶ ἐπὶ τῶν χερσαίων καθέκαστον τριῶν ἡλικιῶν προσαγομένων, ἀπὸ τοῦ γένους τῶν προβάτων τὸν ἀμνὸν ὠνόμασε. Πέντε δὲ ζῶα ταῦτά ἐστι, μόσχος, πρόβατον, αἶξ, τρυγὼν, περιστερά. Καὶ τρεῖς ἡλικίαι ἑκάστου τῶν χερσαίων αὗται, μόσχος, βοῦς, μοσχάριον, κριὸς, ἀμνὸς, ἀρνίον, τράγος, αἶξ, ἔριφος· πτηνῶν δὲ, περιστερῶν μὲν (21) ζεῦγος νεοσσῶν μόνων, τρυγόνων ζεῦγος τέλειον. Ζητητέον οὖν τῷ βουλομένῳ ἀκριβῶς τὸν περὶ τῶν θυσιῶν πνευματικὸν καταλαβεῖν λόγον, τίνων ἐπουρανίων ὑποδείγματι καὶ σκιᾷ (22) ταῦτ' ἐγίνετο, καὶ ἕκαστον τῶν ζώων ἐπὶ τίνι νομοθετεῖ ὁ λόγος θύεσθαι, καὶ ἰδίᾳ συνακτέον τὰ περὶ τοῦ ἀμνοῦ. Ὅτι δὲ ὁ περὶ τῶν θυσιῶν λόγος περί τινων οὐρανίων μυστηρίων νοεῖσθαι ὀφείλει, φησί που ὁ Ἀπόστολος· « Οἵτινες ὑποδείγματι, καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων· » καὶ πάλιν· « Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι· αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας. » Τὸ δὲ καθ' ἓν δυνηθῆναι τούτων εὑρόντα ἐκλαβεῖν τὴν διὰ Ἰησοῦ Χριστοῦ γεγενημένην τοῦ πνευματικοῦ νόμου (ἡ ἀλήθεια σφόδρα μείζων τυγχάνουσα (23) τῆς ἀνθρωπίνης φύσεως), οὐδενὸς ἄλλου ἔργον ἢ τοῦ τελείου ἐστὶ, τοῦ διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἔχοντος πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, δυναμένου ἀπὸ διαθέσεως ἀληθευούσης εἰπεῖν· « Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις. » Καὶ ἀληθῶς ἐπὶ τούτων ἔστιν εἰπεῖν, καὶ τῶν τούτοις παραπλησίων· « Ἣν οὐδεὶς τῶν ἀρχόντων τούτου τοῦ αἰῶνος ἔγνωκε. »

33. Πλὴν τὸν ἀμνὸν ἐν ταῖς θυσίαις τοῦ ἐνδελεχισμοῦ εὑρίσκομεν προσφερόμενον. Οὕτω δὲ γέγραπται· « Καὶ ταῦτά ἐστιν, ἃ ποιήσεις ἐπὶ τοῦ θυσιαστηρίου· Ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο τὴν ἡμέραν ἐπὶ τὸ θυσιαστήριον ἐνδελεχῶς, κάρπωμα ἐνδελεχισμοῦ. Τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ πρωῒ, καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινόν· καὶ δέκατον σεμιδάλεως πεφυραμένης ἐλαίῳ κεκομμένῳ τῷ τετάρτῳ τοῦ εἷν οἴνου (24) τῷ ἀμνῷ τῷ ἑνί. Καὶ

A vatori : « Mihi opus est, ut abs te baptizer, et tu venis ad me ! » nullus quidpiam addidit, ne eadem repeterent. Quin etiam [(20) quod ei a Domino responsum est : « Sine modo : sic enim decet nos implere] omnem justitiam, » solus scribit Matthæus.

32. *Et dicit : Ecce Agnus ille Dei, qui tollit peccatum mundi* [80-1]. Jam vero cum quinque animalia offerantur super altare, terrestria tria, alata duo; quæsitu dignum mihi videtur cur tandem a Joanne Servator dicatur Agnus, et nullum cæterorum; atque etiam, cur agnum ex genere ovium appellarit, cum animalia hæc terrestria in unaquaque trium ætatum offerantur.
B Quinque autem animalia hæc sunt, **151** vitulus, ovis, capra, turtur et columba. Sunt etiam ætates cujuslibet animalis terrestris hæ tres, vitulus, bos, vitellus, aries, agnus, agnellus, hircus, capra, hœdus; alatorum vero, columbarum quidem jugum, sed id tantum pullorum, et turturum jugum perfectum. Inquirendum ergo est ei qui accurate spiritalem rationem victimarum comprehendere voluerit, quorum cœlestium exemplari et umbra hæc fiebant, itemque quanam ratione sanciat sermo unumquodque animal sacrificari, privatimque colligenda sunt quæ de agno dicuntur. Quod autem sermo victimarum intelligendus sit de quibusdam mysteriis cœlestibus, docet Apostolus dicens [2] : « Qui exemplari, et umbræ cœlestium deserviunt ; » et
C rursum [3] : « Necesse ergo est ut exemplaria rerum quæ sunt in cœlis, hisce rebus purificentur ; ipsa vero cœlestia mundentur victimis præ his potioribus. » Cæterum in his singulis victimam legis spiritualis per Christum factam posse invenire et enarrare (veritas major, quam pro captu humanæ naturæ), nullius alterius opus est quam perfecti, nempe ejus qui sensus exercitatos habet ad dijudicandum tum bonum, tum malum, quique ex affectu vera narrante dicere potest : « sapientiam autem loquimur inter perfectos [4]. » Et vere de hisce rebus hisque simillimis dicere possumus : « Quam nullus principum sæculi hujus cognovit [5]. »

33. Verumtamen agnum in sacrificiis ἐνδελεχισμοῦ [hoc est jugis oblationis] invenimus oblatum.
D Sic autem scriptum est [6] : « Et hæc sunt quæ facies in altari ; agnos anniculos duos immaculatos per singulos dies super altare jugiter, oblationem endelechismi. Agnum unum offeres mane, et alterum vespere, et decimam partem similaginis mistam oleo contuso cum quarta parte vini in agno uno. Et agnum alterum offeres vespere, juxta sacrificium

[80-1] Joan. i, 29. [2] Hebr. viii, 5. [3] Hebr. ix, 23. [4] I Cor. ii, 6. [5] ibid. 8. [6] Exod. xxix, 38 et seq.

(20) Hic quædam a Ferrario prætermissa, ex Perionio supplevimus.

(21) *Πτηνῶν δὲ, περιστερῶν μέν*. Ita codex Bodleianus; sicque legit Ferrarius. Editio autem Huetii, πτηνῶν μὲν, περιστερᾶς μὲν, etc.

(22) *Ὑποδείγματι καὶ σκιᾷ*. Forte legendum ὑπόδειγμά τι καὶ σκιά.

(23) *Μείζων τυγχάνουσα*. Sic codex Bodleianus; Regius, μεῖζον τυγχάνον.

(24) *Τῷ τετάρτῳ τοῦ εἷν οἴνου*, etc. Scribe, τῷ τετάρτῳ τοῦ εἷν· καὶ σπονδὴν τὸ τέταρτον τοῦ εἷν οἴνου, etc.

primum, et juxta libamen ipsius. Facies odorem fragrantiæ, oblationem Domino, sacrificium endelechismi in generationes vestras ad ostia tabernaculi testimonii coram Domino, in quibus agnoscar tibi illic in tantum, ut loquar ad te : ibique ordinabo filiis Israel, et sanctificabor in gloria mea ; et sanctificatione sanctificabo tentorium testimonii. » Verumenimvero quænam alia intelligibilis **152** victima ἐνδελεχισμοῦ [hoc est jugis oblationis] esse potest λογικῷ [hoc est, ei qui sermoni compos est et sermocinatur] quam sermo floridior, symbolice dictus agnus, qui, simul atque illustratur anima, offertur (hæc enim esse potest matutina endelechismi victima), et offertur etiam cum mens cessat versari in rebus divinioribus ? Non enim potest semper sufficere ut sit in præstantioribus anima, quandiu illi contigerit conjunctam esse huic terreno et aggravanti corpori.

34. Quod si quærat quis quid facturus sit sanctus eo tempore quod est inter mane, et vesperam, transferat sermonem ab hisce rebus quæ ad cultum Mosaicum pertinent, et deinde evangelica potiora sequatur. Ut enim legis veteris sacerdotes principium victimarum offerunt endelechismi victimam, ac deinde ante vespertinam victimam endelechismi, cæteras ex lege (verbi gratia, pro delicto, vel pro his quæ sponte non committuntur, vel pro salute, vel pro precatione, vel pro zelotypia, vel pro Sabbato, vel pro novilunio, et reliquis, quæ longum es: et in præsentia recensere), sic etiam nos a sermone de imagine, qui est Christus, oblationem facere incipientes, de multis hisque utilissimis disserere poterimus. Rursusque in his quæ Christi sunt finientes ad vesperam veluti noctemque perveniemus, venientes ad corpora etiam.

35. Sin vero sermonem exquirimus de Jesu demonstrato a Joanne, juxta id[7] : « Ecce Agnus ille Dei, qui tollit peccatum mundi, » insistentes in ipsa dispensatione corporei adventus Filii Dei ad vitam hominum, agnum non alium existimabimus quam hominem ; hic enim « veluti ovis ad cædem ductus est, et tanquam agnus coram tondente se mutus[8]; » dicens : « Ego tanquam agnus innocens ducor, ut immoler[9]. » Quam ob causam, et in Apocalypsi[10] videtur agnus stans ceu immolatus. Hic igitur agnus occisus purificatio factus est, juxta quasdam rationes occultas, totius mundi, pro quo ob amorem quo Pater humanum genus prosequitur, cædem etiam suscepit, suo ipsius sanguine nos peccatis venditos redimens ab eo qui nos seduxerat. Porro qui agnum hunc ad sacrificium offerebat, Deus in homine erat,

A τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινὸν, κατὰ τὴν θυσίαν τὴν πρώτην (25), καὶ κατὰ τὴν σπονδὴν αὐτοῦ. Ποιήσεις ὀσμὴν εὐωδίας, κάρπωμα Κυρίῳ, θυσίαν ἐνδελεχισμοῦ εἰς τὰς γενεὰς ὑμῶν, ἐπὶ θύραις τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυρίου, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ, ὥστε λαλῆσαί σοι· καὶ τάξομαι ἐκεῖ τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἁγιασθήσομαι (26) ἐν δόξῃ μου· καὶ ἁγιασμῷ ἁγιάσω τὴν σκηνὴν τοῦ μαρτυρίου. » Ποία δὲ ἑτέρα θυσία δύναται ἐνδελεχισμοῦ εἶναι τῷ λογικῷ νοητὴ ἢ λόγος ἀκμάζων, λόγος ἀμνὸς συμβολικῶς (27) καλούμενος, ἅμα τῷ φωτίζεσθαι τὴν ψυχὴν ἀναπεμπόμενος (αὕτη γὰρ ἂν εἴη ἑωθινὴ τοῦ ἐνδελεχισμοῦ θυσία), καὶ πάλιν ἐπὶ τέλει (28) τῆς τοῦ νοῦ ἐν τοῖς θειοτέροις διατριβῆς ἀναφερόμενος; Οὐ γὰρ ἀεὶ δύναται διαρκεῖν τὸ B εἶναι (29) ἐν τοῖς κρείττοσιν, ὅσον κεκλήρωται ἡ ψυχὴ συνεζεῦχθαι τῷ γηΐνῳ καὶ βαροῦντι σώματι.

34. Ἐὰν δέ τις ζητῇ τί ἐν τοῖς μεταξὺ τῆς ἕω καὶ ἑσπέρας ποιήσει ὁ ἅγιος, μεταφερέτω ἀπὸ τῶν κατὰ τὴν λατρείαν τὸν λόγον, ἔπειτα καὶ ἐν τούτοις ἀκολουθεῖ (30). Καὶ γὰρ ἐκεῖ οἱ ἱερεῖς ἀρχὴν μὲν τῶν θυσιῶν προσφέρουσι τὴν τοῦ ἐνδελεχισμοῦ, ἑξῆς δὲ πρὸ τῆς ἑσπερινῆς τοῦ ἐνδελεχισμοῦ τὰς κατὰ τὸν νόμον λοιπάς· οἷον περὶ πλημμελείας, ἢ ἀκουσίων, ἢ σωτηρίου εὐχῆς, ἢ ζηλοτυπίας, ἢ σαββάτου, ἢ νουμηνίας, καὶ τῶν λοιπῶν, ἃ μακρὸν ἂν εἴη ἐπὶ τοῦ παρόντος λέγειν· οὕτω τοίνυν καὶ ἡμεῖς ἀπὸ τοῦ περὶ τῆς εἰκόνος λόγου πεποιημένοι τὴν ἀρχὴν τῆς ἀναφορᾶς, ὅς ἐστιν ὁ Χριστὸς, διαλαμβάνειν περὶ C πολλῶν, καὶ ὠφελιμωτάτων δυνησόμεθα. Καὶ πάλιν ἐν τοῖς περὶ Χριστοῦ καταλήξαντες ἐπὶ τὴν οἱονεὶ ἑσπέραν φθάσομεν καὶ νύκτα, ἐρχόμενοι καὶ ἐπὶ τὰ σωματικά.

35. Ἐὰν δὲ τὸν λόγον ἐξετάζωμεν τὸν περὶ τοῦ δεικνυμένου Ἰησοῦ ὑπὸ τοῦ Ἰωάννου, κατὰ τό· « Οὗτός ἐστιν ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, » ἱστάμενοι ἐπ' αὐτὴν τὴν οἰκονομίαν τῆς σωματικῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ εἰς τὸν τῶν ἀνθρώπων βίον ἐπιδημίας· τὸν ἀμνὸν οὐκ ἄλλον τοῦ ἀνθρώπου ὑποληψόμεθα· οὗτος γὰρ « ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐνώπιον τοῦ κείραντος αὐτὸν ἄφωνος· » λέγων· « Ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι. » Διόπερ καὶ ἐν τῇ Ἀποκα- D λύψει ἀρνίον ὁρᾶται ἑστηκὸς ὡς ἐσφαγμένον. Οὗτος δὴ ὁ ἀμνὸς σφαγεὶς καθάρσιον γεγένηται, κατά τινας ἀποῤῥήτους λόγους, τοῦ ὅλου κόσμου, ὑπὲρ οὗ κατὰ τὴν τοῦ Πατρὸς φιλανθρωπίαν καὶ τὴν σφαγὴν ἀνεδέξατο, ὠνούμενος τῷ ἑαυτοῦ αἵματι ἀπὸ τοῦ ταῖς ἁμαρτίαις ἡμᾶς πιπρασκομένους ἀγοράσαντος (31). Ὁ

[7] Joan. I, 29. [8] Isa. LIII, 7. [9] Jerem. XI, 19. [10] Apoc. V, 6.

(25) Forte legendum πρωϊνὴν, et paulo post εἰς ὀσμήν.

(26) *Σοι ἐκεῖ, ὥστε λαλῆσαί σοι· καὶ τάξομαι ἐκεῖ τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἁγιασθήσομαι.* Hæc desunt in codice Regio, sed restituuntur e codice Bodleiano. Mox post ἁγιασμῷ codex Bodleianus restituit ἁγιάσω, quod deest in codice Regio.

(27) *Συμβολικῶς.* Sic codex Bodleianus; Regius, συμβολικός.

(28) *Ἐπὶ τέλει.* Ita codex Bodleianus recte; Regius, ἐπιτελεῖ, male.

(29) *Τὸ εἶναι.* Legendum videtur Τῷ εἶναι.

(30) *Ἀκολουθεῖ.* Legendum vel ἀκολουθείτω vel ἀκολουθῇ.

(31) Codex Bodleianus in textu διαπράσαντος, in margine vero ἀγοράσαντος.

δὲ προσαγαγὼν τοῦτον τὸν ἀμνὸν ἐπὶ τὴν θυσίαν, ὁ A ἐν τῷ ἀνθρώπῳ ἦν Θεὸς, μέγας ἀρχιερεὺς, ὅστις τοῦτο δηλοῖ διὰ τοῦ· « Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. Ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν. »

36. Καὶ ταύτῃ θυσίᾳ συγγενεῖς εἰσιν αἱ λοιπαὶ, ὧν σύμβολόν εἰσιν αἱ νομικαί· λοιπαὶ δὲ καὶ συγγενεῖς ταύτῃ τῇ θυσίᾳ θυσίαι ἐκχύσεις εἶναί μοι φαίνονται τοῦ τῶν γενναίων μαρτύρων αἵματος, οὐ μάτην ὁρωμένων ἑστάναι ὑπὸ τοῦ μαθητοῦ Ἰωάννου παρὰ τῷ οὐρανίῳ θυσιαστηρίῳ. « Τίς δὲ σοφὸς, καὶ συνήσει ταῦτα; συνετὸς, καὶ ἐπιγνώσεται αὐτά; » Πρὸς δὲ τοῦτο θεωρητικώτερον κἂν ἐπιποσὸν παραδέξασθαι τὸν περὶ τῶν τοιούτων θυσιῶν λόγον, καθαιρουσῶν τοὺς ὑπὲρ ὧν προσάγονται. Κατανοητέον B τὸν λόγον τῆς ὁλοκαυτουμένης θυγατρὸς Ἰεφθάε, διὰ ταύτην εὐχὴν νικήσαντος τοὺς υἱοὺς Ἀμμὼν, ᾗ συνηυδόκησε καὶ ἡ ὁλοκαυτουμένη, λέγουσα πρὸς τὸν πατέρα εἰπόντα· « Ἀνέῳξα τὸ στόμα μου κατὰ σοῦ πρὸς Κύριον· Καὶ εἰ ἀνέῳξας τὸ στόμα σου κατ' ἐμοῦ πρὸς Κύριον, ποίει τὴν εὐχήν σου. » Ἔμφασις μὲν οὖν πολλῆς ὠμότητος διὰ τούτων παρεισφέρεται τοῦ ᾧ (32) τοιαῦται ὑπὲρ σωτηρίας ἀνθρώπων ἐπιτελοῦνται θυσίαι· μεγαλοφυεστέρου δὲ νοῦ, καὶ βλέποντος τὰ λεγόμενα (33) κατὰ τῆς προνοίας λύσιν χρήζομεν, ἵν' ἅμα περὶ πάντων, ὡς ἀποῤῥητοτέρων ὄντων, καὶ ὑπὲρ ἀνθρωπίνην φύσιν ἀπολογώμεθα· « Μεγάλαι γὰρ αἱ κρίσεις τοῦ Θεοῦ καὶ δυσδιήγητοι· διὰ τοῦτο ἀπαίδευτοι ψυχαὶ ἐπλανήθησαν. » Μεμαρ- C τύρηται δὲ καὶ παρὰ τοῖς ἔθνεσιν, ὅτι πολλοί τινες, λοιμικῶν ἐνσκηψάντων ἐν ταῖς ἑαυτῶν πατρίσι (34) νοσημάτων, ἑαυτοὺς σφάγια ὑπὲρ τοῦ κοινοῦ παραδεδώκασι. Καὶ παραδέχεται (35) ταῦθ' οὕτως γεγονέναι οὐκ ἀλόγως πιστεύσας ταῖς ἱστορίαις ὁ πιστὸς Κλήμης, ὑπὸ Παύλου μαρτυρούμενος, λέγοντος· « Μετὰ Κλήμεντος, καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. » Τὴν ὁμοίαν δὲ ἔχει ἀπέμφασιν παρὰ τῷ θέλοντι τῶν τοὺς πολλοὺς λανθανόντων μυστηρίων κατηγορεῖν, καὶ τὰ περὶ τῶν μαρτύρων προστεταγμένα· εὐδοκοῦντος τοῦ Θεοῦ μᾶλλον ἡμᾶς ἀναδέξασθαι πάσας χαλεπωτάτας αἰκίας ἐν τῷ ὁμολογεῖν αὐτοῦ τὴν θειότητα, ἤπερ ἀπαλλαγῆναι τῶν τοσούτων νομιζομένων κακῶν πρὸς βραχὺν χρόνον, λόγῳ συμπεριενεχθέντας τῷ θελή- D ματι τῶν ἐχθρῶν τῆς ἀληθείας. Κατάλυσιν οὖν νομιστέον γίνεσθαι δυνάμεων κακοποιῶν διὰ τοῦ θανάτου τῶν ἁγίων μαρτύρων, οἷον τῆς ὑπομονῆς αὐτῶν, καὶ τῆς (36) ὁμολογίας τῆς μέχρι θανάτου, καὶ τῆς εἰς τὸ εὐσεβὲς προθυμίας, ἀμβλυνούσης τὸ ὀξὺ τῆς ἐκείνων κατὰ τοῦ πάσχοντος ἐπιβουλῆς, ὥστε, ἀμβλυνομένης καὶ ἀτονησάσης τῆς δυνάμεως αὐτῶν, καὶ ἑτέρους πλείονας τῶν νενικημένων ἀνίεσθαι ἐλευ-

magnus sacerdos, qui hoc declarat per ea verba [11]: « Nullus animam meam a me tollit, **153** sed ego a memetipso pono eam. Potestatem habeo ponendi eam, et rursum potestatem habeo sumendi eam. »

36. Et sane hujus victimæ cognatæ sunt cæteræ, quarum notæ sunt legales; per cæteras vero victimas huic victimæ cognatas, effusiones intelligo sanguinis generosorum martyrum, qui non frustra conspiciuntur stare a discipulo Joanne juxta cœleste altare. Sed « quis sapiens, et intelliget hæc? vel prudens, et agnoscet hæc [12]? » Ad hæc altioris contemplationis est vel tantillum exsequi rationem de hujuscemodi victimis, quæ purgant eos pro quibus offeruntur. Consideranda ergo est ratio sacrificatæ filiæ Jephte, qui propter hanc filios Ammon vicit, cui quidem voto propensa fuit ea etiam, quæ offerebatur, ad patrem dicentem: « Apertum est os meum adversum te ad Dominum [13], » respondens: « Et si aperuisti os tuum adversum me ad Dominum, fac votum tuum [13']. » Atque simulacrum quidem multæ credulitatis per hæc producitur illius, cui tales pro hominum salute perficiuntur victimæ; sed profecto mente generosiore, quæ calleat solvere quæ dicuntur contra providentiam, egemus, ut simul de omnibus quæ veluti secretiora sunt et supra humanam naturam, nos excusemus: « Magna enim judicia » Dei, « eaque ægre, nec facile narrantur, » atque « ob hanc causam rudes animæ erraverunt [14]. » Relatum autem atque testatum est apud gentiles, multos cædi pro communi hominum salute seipsos tradidisse, cum pestilentes morbi suam patriam invasissent. Et hæc ita evenisse admittit non sine causa historiis credens Clemens ille fidelis, de quo hunc in modum testificatur Paulus, dicens [15]: « Cum Clemente et reliquis coadjutoribus meis, quorum nomina sunt in libro vitæ. » Similem habent dissimilitudinem apud eum qui velit mysteria quæ multos latent incusare, quæ de martyribus traduntur; Deo magis approbante ut vel asperrima supplicia subire eligamus, dum confitemur illius divinitatem, quam a tot rebus, quæ mala existimantur, liberari ad breve tempus, sermone nostro ubique sequentes voluntatem inimicorum veritatis. Quamobrem existimare debemus destructionem fieri potentiarum maleficarum per mortem sanctorum martyrum, veluti tolerantia eorum et confessione usque ad mortem, atque erga **154** pietatem promptitudine, hebetantibus et mitigantibus feritatem insidiarum tyrannorum illorum, contra tot cruciatus patientem, ut hebetata et debili reddita potentia ipsorum, alii etiam plures victi, dimitterentur liberati eo onere,

[11] Joan. x, 18. [12] Ose. xiv, 10. [13] Judic. xi, 35. [13'] ibid. 36. [14] Sap. xvii, 1. [15] Philipp. iv, 3.

(32) *Παρεισφέρεται τοῦ ᾧ*, etc. Sic in margine codicis Bodleiani restituitur lacuna quæ est in codice Regio, sed restituitur e cod. Bodleiano.

(33) *Τὰ λεγόμενα*. Scribendum, τῶν λεγομένων.

(34) *Ἐν ταῖς ἑαυτῶν πατρίσι*. Deest in codice Regio, sed restituitur e cod. Bodleiano.

(35) *Καὶ παραδέχεται*, etc. Vide epistolam priorem Clementis, cap. 55, et notas Cotelerii.

(36) *Καὶ τῆς*, etc. Sic recte habet codex Bodleianus; editio autem Huetii, κατὰ τῆς, etc.

quo potentiæ male instantes eos gravabant et lædebant. Quin etiam martyres ipsi qui passi sunt, postea non incidunt in supplicia, quamvis non debilitatis ac delassatis his qui alios malis afficiunt, nimirum quia is qui talem victimam obtulit, vicit hanc contrariam potentiam, tanquam si ex parte hac uterer similitudine utili ad ea de quibus agitur: Qui interficit aut carmine sopit animal venenatum, aut ipsum vi quapiam vacuum reddit a veneno, is in multos beneficia confert, qui in posterum aliquid passuri erant, nisi interfectum illud vel sopitum fuisset vel veneno evacuatum. Atque etiam si alicui morso manifestum fiat, et liberatus ille a nocumento per morsum contracto, defigat oculos in mortuum qui læsit, vel inscendat mortuum, vel attingat mortuum, vel gustet hujus partem, fiet sane antea passo medicina, et beneficium ab eo qui interfecisset id quod lædebat. Simile quiddam fieri morte piissimorum martyrum existimandum est, multis ex ipsorum morte indicibili quadam vi adjumentum sumentibus.

37. Cæterum multum immorati sumus de martyribus verba facientes, atque enarrantes de his qui perierunt ob pestilentes constitutiones, ut videremus excellentiam illius qui ductus est velut ovis ad cædem, quique sicut agnus coram tondente fuit mutus [16]. Namque si aliqua gentibus non falso historiis mandata sunt, aliqua vero tum de martyribus sunt dicta, qui fuerunt mundi purgamenta [17], tum de apostolis, qui omnium rejectamenta ob hanc causam dicuntur, quid et quantum sentiendum est de Agno illo Dei, qui ob hanc causam sacrificatur, ut tollat peccatum, non paucorum, sed totius mundi, pro quo et passus est? « Quamvis enim peccet aliquis, advocatum habemus apud Patrem Jesum Christum justum; **155** et ipse propitiatio est pro peccatis nostris: non pro nostris autem tantum, sed etiam pro totius mundi [18]; » quoniam « Servator est omnium hominum, et maxime fidelium [19]: » qui suo ipsius sanguine « chirographum, quod adversus nos erat, delevit, et illud sustulit e medio, et affixit cruci [20], » ut ne vestigia quidem peccatorum perpetratorum inveniantur: qui « exspolians principatus ac pote-

A θερουμένους τοῦ βάρους, οὗ πονηραὶ δυνάμεις ἐπικείμεναι ἐφόρτιζον (37) καὶ ἔδλαπτον. Ἀλλὰ καὶ οἱ παθόντες ἂν, μὴ ἀτονησάντων τῶν ἐνεργησάντων εἰς ἑτέρους τὰ χείρονα, οὐκέτι περιπίπτουσι τῷ πάθει, νικήσαντος τοῦ τὴν τοιαύτην θυσίαν προσαγαγόντος τήνδε τὴν ἀντικειμένην δύναμιν, ὡς εἰ ἀπὸ μέρους ἐχρησάμην εἰκόνι χρησίμῳ πρὸς τὰ προκείμενα τοιαύτῃ· Ὅ τι ἀναιρῶν τὸ ἰοδόλον, ἢ κατακοιμίζων ἐπῳδῇ ἢ δυνάμει τινὶ, κενῶν αὐτὸ τοῦ ἰοῦ, πολλοὺς εὐεργετεῖ τῶν ὕστερον πεισομένων τι ἀπ' αὐτοῦ, εἰ μὴ ἀνῄρητο, ἢ κατακεκοίμιστο, ἢ τοῦ ἰοῦ κεκένωτο. Εἰ δὲ καὶ τῶν δηχθέντων τινὶ φανερὸν γένοιτο περὶ τῆς ἐπὶ τῷ δήγματι βλάβης, ἀπαλλαγείς τε ἐνατενίσαι ἀποθανόντι τῷ βλάψαντι, ἢ ἐπιβαίη νεκροῦ, ἢ ἐφάψαιτο τεθνηκότος (38), ἢ γεύσαιτο μέ-B ρους τοῦδε, γένοιτ' ἂν καὶ τῷ προπεπονθότι ἴασις καὶ εὐεργεσία ἀπὸ τοῦ τὸ βλάψαν ἀνῃρηκότος· τοιοῦτόν τι δὴ νοητέον τῷ θανάτῳ τῶν εὐσεβεστάτων μαρτύρων γίνεσθαι, πολλῶν ἀφάτῳ τινὶ δυνάμει ὠφελουμένων ἀπὸ τοῦ θανάτου αὐτῶν.

37. Προσδιετρίψαμεν δὲ, ὑπὲρ τοῦ τὸ (39) ἐξαίρετον ἰδεῖν τοῦ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντος, καὶ ὡς ἀμνοῦ ἐνώπιον τοῦ κείραντος ἀφώνου, τῷ περὶ τῶν μαρτύρων λόγῳ, καὶ τῷ ὑπὲρ τῶν τεθνηκότων διὰ λοιμικὰ καταστήματα διηγήματι. Εἰ γὰρ τάδε μὲν ὑπὸ Ἑλλήνων οὐ μάτην ἱστόρηται, τὰ δὲ καλῶς περὶ τῶν μαρτύρων εἴρηται περικαθαρμάτων τοῦ κόσμου γινομένων καὶ πάντων περίψημα λεγομένων διὰ ταῦτα τῶν ἀποστόλων, τί ὑποληπτέον καὶ πηλί-C κον περὶ τοῦ Ἀμνοῦ τοῦ Θεοῦ, διὰ τοῦτο θυομένου, ἵνα ἄρῃ ἁμαρτίαν οὐκ ὀλίγων, ἀλλ' ὅλου τοῦ κόσμου, ὑπὲρ οὗ καὶ πέπονθε; « Κἂν γάρ τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐκ ἐπὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου· » ἐπεὶ « Σωτήρ ἐστι πάντων ἀνθρώπων, καὶ μάλιστα πιστῶν· ὁ ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον » τῷ ἑαυτοῦ αἵματι, « καὶ ἄρας αὐτὸ ἐκ τοῦ μέσου, » ἵνα μηδὲ ἴχνη κἂν ἀπαληλιμμένων τῶν ἁμαρτημάτων εὑρίσκηται, « καὶ προσηλώσας τῷ σταυρῷ· » — ὃς ἀπεκδυσάμενος τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν τῇ παῤῥησίᾳ θριαμβεύσας

[16] Isa. L, III, 7. [17] I Cor. IV, 13. [18] I Joan. II, 1, 2. [19] I Tim. IV, 10. [20] Colos. II, 14.

(37) *Ἐφόρτιζον*. Sic codex Bodleianus; Regius, ἐφοίτιζον.

(38) *Ἐφάψαιτο τεθνηκότος*. Ita cod. Bodleianus; Regius, ἐφάψαι τοῦ τεθνηκότος.

(39) *Προσδιετρίψαμεν δὲ, ὑπὲρ τοῦ τό*, etc. Ex his verbis Tillemontius aliquid supra deesse suspicatur, ubi tum de martyribus, tum de peste quadam quæ nullibi in historia reperitur, quæque, inquit, circa annum 232 fortassis grassata est, Origenes multa verba fecerat. Verum id non satis assequor, unde conjicere potuerit eruditissimus vir. Utrumque enim hic exsequitur Origenes, et de martyribus, et de iis qui perierunt ob pestilentiarum constitutiones superius verba faciens. Unde minime detruncatus putandus est ille locus. Deinde vero hic non agitur de iis qui nova quadam peste consumpti perierint, sed de iis qui antiquitus apud gentiles, cum pestilentes morbi grassarentur, seipsos in victimas pro patria tradiderunt. Quod evidenter liquet ex eo quod supra ait ipse Orige-D nes: Μεμαρτύρηται δὲ καὶ παρὰ τοῖς ἔθνεσιν, ὅτι πολλοί τινες, λοιμικῶν ἐνσκηψάντων ἐν ταῖς ἑαυτῶν πατρίσι νοσημάτων, ἑαυτοὺς σφάγια ὑπὲρ τοῦ κοινοῦ παραδεδώκασι. Καὶ παραδέχεται ταῦθ' οὕτω γεγονέναι, οὐκ ἀλόγως πιστεύσας ταῖς ἱστορίαις ὁ πιστὸς Κλήμης, ὑπὸ Παύλου μαρτυρούμενος. « Relatum autem ac testatum etiam apud gentiles est, multos, cum pestilentes morbi grassarentur, seipsos in victimas pro patria tradidisse. Atque hæc ita evenisse admittit, non sine causa historiis credens Clemens ille fidelis, cui testimonium tribuitur a Paulo. » Similia profert in iisdem Commentariis, tom. XXVIII, num. 13, et lib. IV *in Epistolam ad Romanos*, cap. 5, num. 4; atque lib. I *contra Celsum*, num. 31. Nihil porro notius iis quæ referuntur de Menœceo, Codro, Macaria, Protogenia et Pandora, Philænis fratribus, Lei filiabus, Curtio, Deciis aliisque, qui se ultro morti pro communi civium salute obtulerunt.

A ἐν τῷ ξύλῳ. » Καὶ θαῤῥεῖν γοῦν θλιβόμενοι ἐν τῷ κόσμῳ διδασκόμεθα, τὴν αἰτίαν τοῦ θαῤῥεῖν μανθάνοντες ταύτην εἶναι τὸ νενικῆσθαι τὸν κόσμον, καὶ δηλονότι ὑποτετάχθαι τῷ νικήσαντι αὐτόν. Διὰ τοῦτο πάντα τὰ ἔθνη, ἀνεθέντα ἀπὸ τῶν πρότερον ἐπικρατούντων δουλεύουσιν αὐτῷ, « ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου » διὰ τοῦ ἰδίου πάθους, « καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός (40). » Οὗτος δὴ ὁ Σωτὴρ, ταπεινώσας συκοφάντην, διὰ τοῦ ἑαυτὸν τεταπεινωκέναι, συμπαραμένει τῷ νοητῷ ἡλίῳ πρὸ τῆς λαμπροτάτης Ἐκκλησίας, τροπικώτερον Σελήνης λεγομένης, τυγχάνων γενεῶν γενεαῖς. Ἀνελὼν δὲ διὰ τοῦ πάθους τοὺς πολεμίους ὁ ἐν πολέμῳ δυνατὸς καὶ κραταιὸς Κύριος, καθαρσίου δεόμενος τοῦ ἀπὸ μόνου τοῦ Πατρὸς αὐτῷ δοθῆναι ἐπὶ τοῖς ἀνδραγαθήμασι δυναμένου, B κωλύει αὐτὸν ἅψασθαι τὴν Μαρίαν, λέγων· « Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα· ἀλλὰ πορεύου, καὶ εἰπὲ τοῖς ἀδελφοῖς μου· Πορεύομαι πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. » Ὅτε δὲ πορεύεται νικηφόρος καὶ τροπαιοφόρος μετὰ (41) τοῦ ἐκ νεκρῶν ἀναστάντος σώματος, (πῶς γὰρ ἄλλως δεῖ νοεῖν τὸ, « Οὔπω ἀναβέβηκα πρὸς τὸν Πατέρα μου; » καὶ τὸ, « Πορεύομαι δὲ πρὸς τὸν Πατέρα μου; ») τότε μέν τινες λέγουσι δυνάμεις· « Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδὼμ, ἐρύθημα ἱματίων ἐκ Βοσὸρ, οὕτως ὡραῖος (42); » οἱ δὲ προπέμποντες αὐτὸν τοῖς ἐπὶ τῶν οὐρανίων πυλῶν τεταγμένοις φασὶ τό· « Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. » C Ἔτι δὲ πυνθάνονται, οἱονεὶ, εἰ δεῖ οὕτως εἰπεῖν, ᾑμαγμένην (43) αὐτοῦ βλέποντες τὴν δεξιὰν, καὶ ὅλον πεπληρωμένον τῶν ἀπὸ τῆς ἀριστείας ἔργων· « Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀποπάτημα ληνοῦ πλήρους καταπεπατημένης; » ὅτε καὶ ἀποκρίνεται· « Κατέθλασα αὐτούς. » Ἀληθῶς γὰρ ἐπὶ τούτοις δεδέηται τοῦ πλῦναι « ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. » Τὰς γὰρ ἀσθενείας ἡμῶν λαβὼν, καὶ τὰς νόσους βαστάξας, παντός τε τοῦ κόσμου ἄρας τὴν ἁμαρτίαν, καὶ τοὺς τοσούτους εὐεργετήσας, τάχα τότε βάπτισμα εἴληφε τὸ παντὸς τοῦ ὑπονοηθέντος ἂν παρὰ τοῖς ἀνθρώποις μεῖζον, περὶ οὗ οἶμαι αὐτὸν εἰρηκέναι· « Βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι, ἕως οὗ (44) τελεσθῇ! » D Ἵνα γὰρ τολμηρότερον βασανίζων τὸν λόγον σου πρὸς τὰ ὑπὸ τῶν πλείστων ὑπονοούμενα, λεγέτωσαν ἡμῖν οἱ τὸ βάπτισμα τὸ μέγιστον, ὑπὲρ ὃ ἄλλο οὐκ ἔστι νοῆσαι βάπτισμα, νομίσαντες αὐτοῦ εἶναι τὸ μαρτύριον, τί δήποτε μετὰ τοῦτο λέγει τῇ Μαριάμ· « Μή μου ἅπτου; » ἐχρῆν γὰρ μᾶλλον ἑαυτὸν ἐμπαρέχειν τῇ ἀφῇ, ἅτε τὸ τέλειον βάπτισμα διὰ

states ostentavit palam triumphans in ligno [21]. » Itaque afflicti in mundo docemur confidere, confidendi causam hanc esse edocti quia mundus sit victus, quem perspicuum est victori subjectum fuisse. Unde etiam omnes gentes, absolutæ ab his qui ante prævaluerant, serviunt ipsi, « quoniam liberavit mendicum a potente, » per propriam passionem, « et pauperem, cui nullus erat adjutor [22]. » Hic igitur Servator, humiliato calumniatore [23] (eo quod seipsum humiliaverit), cum intelligibili Sole permanet, coram splendidissima Ecclesia (quæ tropice luna dicitur) a generatione in generationem. Et cum hostes per passionem sustulisset potens et fortis in bello Dominus [24], poculo purificatorio indigens (quod a solo Patre ob recte facta dari sibi potest), prohibet Mariam seipsum tangere, dicens [25]: « Ne me tangas, nondum enim ascendi ad Patrem meum; sed vade, et dic fratribus meis: Vado ad Patrem meum, et Patrem vestrum, et Deum meum, et Deum vestrum. » Cæterum cum pergit victoriis tropæisque onustus, cum corpore quod ex mortuis resurrexerat, (quomodo enim aliter intelligere oportet illud: « Nondum ascendi ad Patrem meum? » et illud: « Vado ad Patrem meum? ») nunc aliquæ quidem potentiæ dicunt: « Quis est iste qui accedit ex Edom, rubra vestimenta habens ex Bosor, adeo speciosus [26]? » Qui vero præibant illum, illis qui præfecti erant portis cœlestibus inquiunt: « Tollite portas, principes, vestras, et elevamini, portæ æternales, et introibit rex gloriæ [27]. » Propterea vero interrogant, veluti aspectu ipso, ut ita dicam, ipsius dexteram videntes cruentatam, cumque totum repletum operibus strenue gestis: « Quare rubra sunt vestimenta tua sicut calcatio torcularis pleni uva calcata [28]? » quando et respondet: « Calcavi eos [29]. » Vere ob hæc indiguit, ut lavaret « in vino stolam suam, et **156** vestimentum suum in sanguine uvæ. » Infirmitates enim nostras cum sumpsisset, ægritudinesque portasset [30], totiusque mundi peccatum cum sustulisset et in tot beneficia contulisset, fortassis tum baptismum accepit quovis alio, qui apud homines excogitari potest, majorem, de quo reor eum dixisse: « Baptismo autem habeo baptizari, et quomodo coarctor, donec perfectum fuerit [31]! » Ut enim audacius orationem explorans instem ad ea quæ plurimi sentiunt, dicant nobis qui martyrium ipsius baptismum existimant maximum esse, supra quem alium excogitare baptismum non liceat, cur tandem post hoc dicat Mariæ: « Ne me tangas [32], » oportebat enim seipsum magis exhibere tangendum, tanquam qui per mysterium passionis baptismum sumpsisset perfe-

[21] ibid. 15. [22] Psal. LXXI, 12. [23] ibid. 4, 5. [24] Psal. XXIII, 8. [25] Joan. XX, 17. [26] Isai. LXIII, 1. [27] Psal. XXIII, 7. [28] Isai. LXIII, 2. [29] ibid. 3. [30] Isai. LIII, 4. [31] Luc. XII, 50. [32] Joan. XX, 17.

(40) *Ὧ οὐχ ὑπῆρχε βοηθός*. Sic codex Bodleianus cum Barberino, recte; Regius male, ὡς ὑπῆρχε βοηθός.

(41) *Μετά*. Ita recte codices Bodleianus et Barberinus; editio Huetii, κατά, male.

(42) *Ὡραῖος*. Sic codd. Bodleianus et Barberinus; editio Huetii, perperam, ὁραῖος.

(43) Codices Bodleianus et Barberinus, οἱονεὶ ἐν εἴδει εἰπεῖν ᾑμαγμένην.

(44) *Οὗ*. Sic codex Bodleianus; Regius, ὅπου.

cium. Sed quoniam, ut prædiximus, rebus adversus adversarios præclare gestis, opus habebat lavare « in vino stolam suam, et in sanguine uvæ vestimentum suum [33], » ascendit ad agricolam veræ illius vitis [34], nempe Patrem, ut illic lotus, postquam ascendisset in altum, captivata captivitate [35], descenderet, varia ferens charismata, nempe divisas apostolis linguas veluti igneas, atque etiam ad futuros in omni actione sanctos angelos, liberaturos ipsos. Ante has enim dispensationes purificati nondum cum essent, capaces non erant angelorum ad se adventus, fortassis ne angelis quidem ipsis adesse volentibus his, qui nondum optime instituti purificatique a Jesu fuissent. Solius enim Jesu benignitatis erat cum peccatoribus, et publicanis manducare et bibere [36], atque suos ipsius pedes præbere lacrymis resipiscentis peccatricis [37], et ad mortem usque pro impiis descendere, non rapinam arbitrantem se esse æqualem Deo, et inanientem semetipsum, servi forma sumpta [38]. Hæc autem omnia perficiens, Patris magis voluntatem ipsum tradentis pro impiis perficiebat quam suam ipsius. Bonus etenim est Pater; Servator vero imago est bonitatis ipsius [39]: porro toti mundo officia conferens, quoniam Deus in Christo mundum sibi ipsi reconciliat [40], antea propter malitiam inimicum factum, tum via, tum ordine officia confert his rebus in quas ipse beneficia confert, non subito accipiens scabellum pedum, nempe inimicos omnes. Dicit enim ad ipsum uniuscujusque nostri Dominum Pater: « Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum [41]. » Et hæc fiunt quoad ultimus **157** inimicus, nempe mors, ab ipso destructus fuerit [42]. Si vero consideraverimus quid sit subjici Christo (idque maxime ex illis verbis: « Cum autem ipsi omnia subjecta fuerint, tunc ipse Filius subjicietur ei qui omnia sibi subjecit [43], ») ut dignum est bonitate Dei universorum, intelligemus Agnum Dei, tollentem peccatum mundi. Verum non omnium peccatum ab Agno aufertur, nempe eorum qui non dolent quique non affliguntur donec ablatum fuerit. Spinæ namque non tantum infixæ, sed etiam altius radicatæ in manibus cujuscunque per vitium temulenti, quique sobrietatem perdiderit, juxta illud quod in Proverbiis dicitur: « Spinæ nascuntur in manu temulenti [44], » quantum doloris parient in eo qui tales plantas admiserit in corpus suæ ipsius animæ, jam dicere difficillimum est. Nam abscindatur oportet a sermone Dei viventis, penetrantiore quovis gladio utrinque incidente, et efficaci [45], et

A τοῦ μυστηρίου τοῦ πάθους εἰληφότα. Ἀλλ' ἐπεὶ, ὡς προείπομεν, τὰ κατὰ τῶν ἀντικειμένων ἀνδραγαθήματα πεποιηκὼς, ἐδεῖτο τοῦ πλῦναι « ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ, » ἀνήει πρὸς τὸν γεωργὸν τῆς ἀληθινῆς ἀμπέλου Πατέρα, ἵν' ἐκεῖ ἀποπλυνάμενος, μετὰ τὸ ἀναβῆναι εἰς ὕψος, αἰχμαλωτεύσας τὴν αἰχμαλωσίαν, καταβῇ φέρων τὰ ποικίλα χαρίσματα, τὰς διαμεμερισμένας τοῖς ἀποστόλοις γλώσσας ὡσεὶ πυρὸς, καὶ τοὺς παρεσομένους ἐν πάσῃ πράξει ἁγίους ἀγγέλους, καὶ ῥυσομένους αὐτούς. Πρὸ γὰρ τούτων τῶν οἰκονομιῶν, ἅτε μηδέπω κεκαθαρμένοι οὐκ ἐχώρουν ἀγγέλων παρ' αὐτοῖς ἐπιδημίαν, τάχα οὐδ' αὐτῶν βουλομένων πω τοῖς μὴ εὐτρεπισαμένοις καὶ κεκαθαρμένοις ὑπὸ τοῦ Ἰησοῦ παρεῖναι. Τῆς γὰρ
B Ἰησοῦ μόνου φιλανθρωπίας ἦν μετὰ ἁμαρτωλῶν καὶ τελωνῶν ἐσθίειν, καὶ πίνειν, καὶ παρέχειν ἑαυτοῦ τοὺς πόδας τοῖς δακρύοις τῆς μετανοούσης ἁμαρτωλοῦ, καὶ μέχρι θανάτου καταβαίνειν ὑπὲρ ἀσεβῶν, οὐχ ἁρπαγμὸν ἡγουμένου (45) τὸ εἶναι ἴσα Θεῷ, καὶ κενοῦν ἑαυτὸν τὴν τοῦ δούλου λαμβάνοντος μορφήν. Ταῦτα δὲ πάντα ἐπιτελῶν, μᾶλλον τὸ θέλημα τοῦ Πατρὸς τοῦ παραδόντος ἑαυτὸν ὑπὲρ ἀσεβῶν ἐπετέλει ἤπερ τὸ ἑαυτοῦ. Ὁ μὲν γὰρ Πατὴρ ἀγαθός· ὁ δὲ Σωτὴρ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ· πάντα δὲ τὸν κόσμον εὐεργετῶν, ἐπεὶ Θεὸς ἐν Χριστῷ κόσμον καταλλάσσει ἑαυτῷ, πρότερον διὰ τὴν κακίαν ἐχθρὸν γεγενημένον, ὁδῷ καὶ τάξει τὰ εὐεργετούμενα εὐεργετεῖ, οὐχ ἀθρόως λαμβάνων ὑποπόδιον τῶν ποδῶν,
C πάντας τοὺς ἐχθρούς· λέγει γὰρ αὐτῷ ὁ Πατὴρ τῷ Κυρίῳ ἑκάστου ἡμῶν· « Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· » καὶ ταῦτα γίνεται ἕως ὁ ἔσχατος ἐχθρὸς, ὁ θάνατος, ὑπ' αὐτοῦ καταργηθῇ. Ἐὰν δὲ τὸ ὑποτάσσεσθαι τῷ Χριστῷ νοήσωμεν ὅ τι ποτ' ἐστὶ, μάλιστ' ἐκ τοῦ· « Ὅταν δὲ αὐτῷ τὰ πάντα ὑποταγῇ, τότε αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ πάντα· » ἀξίως τῆς ἀγαθότητος τοῦ τῶν ὅλων Θεοῦ νοήσομεν τὸν ἀμνὸν τοῦ Θεοῦ αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὐ πάντων δὲ ἡ ἁμαρτία ὑπὸ τοῦ ἀμνοῦ αἴρεται, μὴ ἀλγούντων, μηδὲ βασανιζομένων, ἕως οὗ ἀρθῇ (46). Ἄκανθαι γὰρ οὐ μόνον ἐμπαρεῖσαι, ἀλλὰ καὶ ἐπιπολὺ ῥιζωθεῖσαι (47) ἐν ταῖς χερσὶ παντὸς τοῦ διὰ τὴν κακίαν μεθυσθέντος, καὶ τὸ νήφειν
D ἀπολωλεκότος, κατὰ τὸ ἐν Παροιμίαις εἰρημένον· « Ἄκανθαι φύονται ἐν χειρὶ τοῦ μεθύσου, » ὅσον πόνον ἐνεργάσονται τῷ τὰ τοιαῦτα φυτὰ εἰς τὸ ἑαυτοῦ σῶμα τῆς ψυχῆς παραδεξαμένῳ ἤδη (48) καὶ λέγειν ἀμήχανον. Κατατμηθῆναι γὰρ ὑπὸ τοῦ τομωτέρου πάσης μαχαίρας διστόμου λόγου ζῶντος Θεοῦ, καὶ ἐνεργοῦς, καὶ καυστικωτέρου παντὸς πυρὸς, ἀνάγκη,

[33] Genes. XLIX, 11. [34] Joan. XV, 1. [35] Ephes. IV, 8; Psal. LXVII, 19. [36] Marc. II, 16. [37] Luc. VII, 38. [38] Philipp. II, 6, 8. [39] Sap. VII, 26. [40] II Cor. V, 19. [41] Psal. CIX, 1. [42] I Cor. XV, 26. [43] ibid. 28. [44] Prov. XXVI, 9. [45] Hebr. IV, 12.

(45) Codex Barberinus recte habet ἡγουμένου, refertur enim ad præcedens Ἰησοῦ μόνου· editio Huetii, perperam, ἡγούμενον.

(46) *Ἕως οὗ ἀρθῇ*. Sic recte habet codex Bodleianus; in Regio deest οὗ.

(47) *Ῥιζωθεῖσαι*. Sic codex Bodleianus; Regius, ῥιζῶσαι.

(48) *Ἤδη καὶ λέγειν ἀμήχανον*. Ita optime codex Bodleianus, sicque legit interpres Ferrarius. Codex Regius, perperam, ᾔδει καὶ λέγειν, omittendo ἀμήχανον.

τὸν ἐπὶ τοσοῦτον εἰς βάθος τῆς ἑαυτοῦ ψυχῆς τὴν κακίαν χωρήσαντα, ὡς γενέσθαι αὐτὸν γῆν ἀκανθοφόρον. Καὶ δεήσει ἐπὶ τὴν τοιαύτην ψυχὴν πεμφθῆναι τὸ εὑρίσκον τὰς ἀκάνθας πῦρ, καὶ μέχρι αὐτῶν στησόμενον διὰ τὴν ἑαυτοῦ θειότητα, καὶ οὐ προσεμπρῆσον ἅλωνας ἢ στάχυας πεδίων. Τοῦ αἴροντος (49) δὲ τὴν ἁμαρτίαν τοῦ κόσμου Ἀμνοῦ διὰ τῆς ἰδίας σφαγῆς ἀρχομένου ὁδοὶ τυγχάνουσι πλείονες, ὧν αἱ μὲν σαφεῖς εἶναι τοῖς πολλοῖς δύνανται, αἱ δὲ τοὺς τοσούτους λανθάνουσαι τοῖς τῆς θείας σοφίας ἀξιουμένοις, οἷς μόνοις εἰσὶ γνώριμοι. Τί γὰρ δεῖ λέγειν δι' ὅσων ὁδῶν τις ἐπὶ τὸ πιστεύειν ἔρχεται ἐν ἀνθρώποις, ἔτι ἐν τῷ τοιούτῳ σώματι παρὸν ἑκάστῳ καθ' αὑτὸν ἐπισκοπεῖν; πλὴν διὰ τῶν ὁδῶν ἐστι τοῦ πιστεύειν καὶ αἴρεσθαι τὴν ἁμαρτίαν, διὰ μαστίγων, B καὶ πνευμάτων πονηρῶν, καὶ νόσων χαλεπωτάτων, καὶ μαλακιῶν ἐπιπονωτάτων. Τίς οὖν (50) οἶδε καὶ τὰ μετὰ ταῦτα; Ἀναγκαῖον δὲ ἦν ὑπὲρ τοῦ μὴ ἀναινεθῆναι τὸν δοκοῦντα τῇ ἐξετάσει τοῦ λόγου παρακολουθεῖν τοῦ λέγοντος· « Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, » ἐπιπλεῖον περὶ τούτων διαλαβεῖν, ἵν', εἰδότες ὅτι καὶ θυμῷ Θεοῦ ἔστιν ἐλεγχθῆναι, καὶ ὀργῇ Θεοῦ παιδευθῆναι, διὰ τὸ εἰς ὑπερβολὴν φιλάνθρωπον οὐδένα πάντῃ ἀνέλεγκτον καὶ ἀπαίδευτον ἐῶντος, πάντα ποιήσωμεν εἰς τὸ δεηθῆναι (51) τοιούτων ἐλέγχων, καὶ τῆς διὰ τῶν ἐπιπονωτάτων παιδείας.

A supra omnem ignem comburente, quisquis eo profunditatis suæ ipsius animæ admisit vitium, ut factus sit terra spinas germinans. Et profecto opus erit ad hujusmodi animam ignem mitti invenientem spinas, propeque eas stantem, ac penetrantem sua ipsius divinitate, nec combusturum areas vel spicas camporum. Verum enimvero Agni tollentis peccatum mundi, idque per propriam cædem incipientis, complures sunt viæ; quarum aliæ quidem manifestæ possunt esse vulgo, aliæ vero, vulgus latentes, his qui divina sapientia digni habiti fuerint, quibus solis sunt notæ. Quid enim opus est recensere quot viis ad credendum veniat quis inter homines, cum liceat unicuique, dum adhuc in hoc est corpore, ex se id considerare? Verumtamen per vias credendi licet peccatum quoque tollere, per flagella, per spiritus malos, per morbos difficillimos, per infirmitates laboriosissimas. Quis ergo novit quæ sunt etiam post hæc? Cæterum necessarium fuit, ne respueremus eum qui assequi videtur veram intelligentiam sermonis illius qui dicit [46]: « Ecce Agnus ille Dei, qui tollit peccatum mundi, » diutius de hisce rebus disserere, ut scientes nos et furore Dei aliquando redargui, et ira Dei corripi, neminem ob amorem erga genus humanum, vel ad hyperbolen usque, sinentis omnino irredargutum, atque non correptum, omnia faciamus ut talibus redargutionibus atque correptione ea quæ sita est in rebus asperrimis atque molestissimis, non egeamus.

58. Ἐπισκεπτέον δὲ τῷ ἐντυγχάνοντι τὰ ἐν τοῖς C προτέροις ἡμῖν εἰρημένα, μετὰ παραθέσεως πλειόνων παραδειγμάτων, περὶ τοῦ τί σημαίνεται κατὰ τὴν Γραφὴν ἐκ τῆς *κόσμος* φωνῆς· οὐ γὰρ εὔλογον ἡγησάμην παλιλλογεῖν. Οὐκ ἀγνοοῦμεν δέ τινα κόσμον ἐξειληφέναι τὴν Ἐκκλησίαν μόνην, κόσμον οὖσαν τοῦ κόσμου· ἐπεὶ καὶ φῶς λέγεται τοῦ κόσμου· « Ὑμεῖς γάρ ἐστε, φησὶ, τὸ φῶς τοῦ κόσμου. » Κόσμος δὲ τοῦ κόσμου ἡ Ἐκκλησία, κόσμου αὐτῆς γινομένου Χριστοῦ, τοῦ πρώτου φωτὸς τοῦ κόσμου. Κατανοητέον δὴ εἰ μὴ τοῦ αὐτοῦ κόσμου φῶς εἶναι λέγεται ὁ Χριστὸς, καὶ οἱ μαθηταὶ αὐτοῦ· ἀλλ' ὅτε μὲν Χριστὸς φῶς τοῦ κόσμου ἐστὶ, τάχα τῆς Ἐκκλησίας ἐστὶ φῶς· ὅτε δὲ οἱ μαθηταὶ αὐτοῦ φῶς τοῦ κόσμου, μήποτε τῶν παρακαλουμένων εἰσὶ φῶς, ἑτέρων ὄντων παρὰ τὴν Ἐκκλησίαν, ὥσπερ τῷ D Παύλῳ περὶ τούτων εἴρηται ἐν τῷ προοιμίῳ τῆς προτέρας πρὸς τοὺς Κορινθίους Ἐπιστολῆς γράφοντι « τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. » Ἐάν τις ὑπονοῇ τοῦ κόσμου φῶς λέγεσθαι τὴν Ἐκκλησίαν, οἱονεὶ τοῦ λοιποῦ γένους τῶν ἀνθρώπων, καὶ τῶν ἀπίστων, εἰ μὲν προφητικῶς τοῦτο διὰ τὸν περὶ τέλους λόγον ἐκλήψεται, τάχα ἔχει χώραν τὸ λεγόμενον· εἰ δὲ ὡς ἤδη γινόμενον (ἐπεὶ τὸ φῶς τινος φωτίζει ἐκεῖνο οὗ ἐστι φῶς), δεικνύτωσαν πῶς τὸ

158 58. Consideret insuper lector oportet quæ supra sunt a nobis dicta, cum appositione complurium exemplorum de eo quod est, quid significetur juxta Scripturam per vocem *mundus* [47]; nec enim consentaneum esse putavi repetere. Non ignoramus autem quemdam exposuisse per mundum Ecclesiam solam, mundum et ornamentum exsistentem mundi; quandoquidem lux etiam mundi dicitur: « Vos enim estis, inquit [48], lux mundi. » Mundus autem et ornamentum mundi est Ecclesia, Christo exsistente mundo et ornamento Ecclesiæ, quippe qui sit prima lux mundi [49]. Considerandum autem est num ejusdem mundi lux esse dicatur Christus et discipuli ejus. Proinde vide, ne, quando Christus lux est mundi, fortassis lux sit Ecclesiæ; quando vero discipuli ejus lux sunt mundi, invocantium sint lux, qui diversi sunt ab Ecclesia, quemadmodum a Paulo dictum est in prœmio prioris Epistolæ ad Corinthios scribente « ad Ecclesiam Dei, cum omnibus qui invocant nomen Domini nostri Jesu Christi [50]. » Si quis suspicetur Ecclesiam dici lucem mundi, hoc est reliqui generis hominum et infidelium, siquidem prophetice hoc interpretabitur propter sermonem de consummatione, fortasse locum habet illud quod dicitur; sin vero tanquam jam factum id considerabit (quoniam

[46] Joan. I, 29. [47] Joan. I, 10. [48] Matth. V, 14. [49] Joan. VIII, 12. [50] I Cor. I, 2.

(49) *Τοῦ αἴροντος*, etc. Sic habet codex Bodleianus; in Regio deest τοῦ.

(50) Codex Bodleianus Τίς ἦν, Regius Τί ἦν, male.

(51) *Εἰς τὸ δεηθῆναι*. Ferrarius videtur legisse εἰς τὸ μὴ δεηθῆναι.

lux alicujus illustrat illud, cujus est lux), ostendant quomodo reliquum genus illustratur ab Ecclesia peregrinante in mundo. Quod si hoc ostendere nequeunt, advertant num recte exposuerimus lucem esse Ecclesiam, et mundum invocantes. Sed vocula quæ sequitur, posita in Evangelio a Matthæo tradito exprimet enarrationem ei qui diligentissime scrutatur Scripturas: « Vos enim, inquit [51], estis sal terræ; » fortasse per terram intelligens reliquos homines, quorum sal sunt qui crediderunt, auctores exsistentes ut mundus servetur propterea quod credant; tunc enim consummatio erit, si sal infatuatus fuerit, et non sit amplius qui saliat conserveique terram: quoniam liquet, si impleta fuerit iniquitas, et refriguerit charitas super terram [52] (ut etiam Servator ipse dubiam profert vocem de his qui in suo ipsius adventu erunt, dicens [53]: « Verumtamen cum venerit Filius hominis, num inveniet fidem super terram? ») futuram consummationem sæculi. Dicatur itaque Ecclesia mundus, quando a Servatore illustratur; nos autem quærimus, an propter illud: « Ecce Agnus ille Dei, qui tollit
159 peccatum mundi [54], » interpretari debeamus mundum spiritualiter esse Ecclesiam (ablatione peccatorum circumclusa in sola Ecclesia). Quomodo enim quod a discipulo suo in Epistola dicitur de Servatore, qui propitiatio est pro peccatis, interpretabimur, sic habens: « Sed et si quis peccaverit, advocatum habemus apud Patrem Jesum Christum justum; et ipse est propitiatio pro peccatis nostris; non pro nostris autem tantum, sed etiam pro totius mundi [55]? » Et quod apud Paulum est, huic reor esse simile, sic habens: « Qui est Servator omnium hominum, maxime fidelium [56]. » Rursus ad hunc locum Heracleon veniens, absque aliqua approbatione et appositione testimoniorum, enuntiat Joannem tanquam prophetam dicere: « Agnus Dei [57]; » et ut excellentiorem prophetam dicere, « qui aufert peccatum mundi. » Quorum primum existimat de corpore ejus dici, secundum vero de eo, quod est in corpore, quia agnus imperfectus sit in ovium genere; atque tale etiam sit corpus comparatione inhabitantis in ipso. « Perfectionem vero, inquit, si volebat corpori attribuere, arietem ipsum immolandum dixisset. » Sed non arbitror necessarium esse post tot inquisitiones factas, eadem hoc in loco repetere, contendentes contra ea quæ dixit Heracleon parum docte. Tantum hoc adhuc notetur, quod, ut vix mundus capax illius fuit, qui seipsum inanivit, sic agno et non ariete opus fuisse ad illius auferendum peccatum.

A λοιπὸν γένος φωτίζεται ὑπὸ τῆς παρεπιδημούσης τῷ κόσμῳ Ἐκκλησίας. Εἰ δὲ τοῦτο δεικνύναι οὐ δύνανται, ἐπιστησάτωσαν μήποτε ὑγιῶς ἐξειλήφαμεν φῶς μὲν εἶναι τὴν Ἐκκλησίαν, κόσμον δὲ τοὺς ἐπικαλουμένους. Ἡ δὲ ἑξῆς φωνὴ κειμένη ἐν τῷ κατὰ Ματθαῖον τῷ ἐπιμελέστατα ἐρευνῶντι τὰς Γραφὰς παραστήσει τὴν διήγησιν· « Ὑμεῖς γὰρ, φησὶν, ἐστὲ τὸ ἅλας τῆς γῆς· » τάχα τῆς γῆς τῶν λοιπῶν ἀνθρώπων νοουμένων, ὧν ἅλας εἰσὶν οἱ πεπιστευκότες, αἴτιοι τοῦ τηρεῖσθαι τὸν κόσμον διὰ τοῦ πιστεύειν τυγχάνοντες· τότε γὰρ ἡ συντέλεια ἔσται, ἐὰν τὸ ἅλας μωρανθῇ, καὶ μηκέτι ᾖ τὸ ἁλίζον, καὶ συντηροῦν τὴν γῆν· ἐπεὶ σαφὲς, ὅτι, ἐὰν πληθυνθῇ ἡ ἀνομία, καὶ ψυχῇ ἡ ἀγάπη ἐπὶ τῆς γῆς (ὡς καὶ αὐτὸν τὸν Σωτῆρα διστακτικὴν προενέγκα-
B σθαι περὶ τῶν ἐν τῇ ἐπιδημίᾳ ἑαυτοῦ φωνὴν, λέγοντα· « Πλὴν, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;) » τότε συντέλεια ἔσται τοῦ αἰῶνος. Λεγέσθω τοίνυν ἡ Ἐκκλησία κόσμος, ὅτε ὑπὸ τοῦ Σωτῆρος φωτίζεται· ἡμεῖς δὲ ζητοῦμεν εἰ κατὰ τό· « Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, » κόσμον ἡγητέον νοητῶς (52) τὴν Ἐκκλησίαν (περικλειομένου τοῦ αἴρεσθαι τὴν ἁμαρτίαν εἰς μόνην τὴν Ἐκκλησίαν). Πῶς γὰρ τὸ ἐν τῇ Ἐπιστολῇ ὑπὸ τοῦ αὐτοῦ μαθητοῦ εἰρημένον περὶ τοῦ Σωτῆρος ἱλασμοῦ περὶ τῶν ἁμαρτιῶν τυγχάνοντος διηγησόμεθα, οὕτως ἔχον· « Καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν
C ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου; » καὶ τὸ παρὰ τῷ Παύλῳ δὲ τούτων νομίζω εἶναι παραπλήσιον, οὕτως ἔχον· « Ὅς ἐστι Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. » Πάλιν ἐν τῷ τόπῳ ὁ Ἡρακλέων γενόμενος, χωρὶς πάσης κατασκευῆς, καὶ παραθέσεως μαρτυριῶν, ἀποφαίνεται, ὅτι τὸ μέν· « Ἀμνὸς τοῦ Θεοῦ, » ὡς προφήτης φησὶν ὁ Ἰωάννης· τὸ δέ· « Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, » ὡς περισσότερον προφήτου. Καὶ οἴεται τὸ μὲν πρότερον περὶ τοῦ σώματος αὐτοῦ λέγεσθαι, τὸ δὲ δεύτερον περὶ τοῦ ἐν τῷ σώματι, τῷ τὸν ἀμνὸν ἀτελῆ εἶναι ἐν τῷ τῶν προβάτων γένει· οὕτω δὲ καὶ τὸ σῶμα παραθέσει τοῦ ἐνοικοῦντος αὐτῷ. « Τὸ δὲ τέλειον εἰ ἐβούλετο, φησὶ, τῷ σώματι μαρτυρῆσαι, κριὸν εἶπεν ἂν τὸ μέλλον (53)
D θύεσθαι. » Οὐχ ἡγοῦμαι δὲ εἶναι ἀναγκαῖον μετὰ τηλικαύτας γεγενημένας ἐξετάσεις ταυτίζειν (54) περὶ τὸν τόπον, ἀγωνιζομένους πρὸς τὰ εὐτελῶς ὑπὸ τοῦ Ἡρακλέωνος εἰρημένα. Μόνον δὲ τοῦτο ἐπισημειωτέον, ὅτι, ὥσπερ μόγις (55) ἐχώρησεν ὁ κόσμος τὸν κενώσαντα ἑαυτὸν, οὕτως ἀμνοῦ, καὶ οὐ κριοῦ ἐδεήθη, ἵνα ἀρθῇ αὐτοῦ ἡ ἁμαρτία (56).

Λείπουσιν οἱ τόμοι ἕβδομος, καὶ ὄγδοος, καὶ ἔννατος.

[51] Matth. v, 13. [52] Matth. xxiv, 12. [53] Luc. xiii, 8. [54] Joan. i, 29. [55] I Joan. ii, 1, 2. [56] I Tim. iv, 10. [57] Joan. i, 29.

(52) *Ἡγητ. ν.* Sic Bodl.: Regius, νοητέον ὑγιῶς.

(53) *Τῷ σώματι μαρτυρῆσαι, κριὸν εἶπεν ἂν τὸ μέλλον*, etc. Ita codex Bodleianus, recte; Regius perperam habet τῷ σῶμα· τὸ μαρτυρῆσαι, κριὸν εἰπεῖν αὐτὸ τὸ μέλλον, etc.

(54) *Ταυτίζειν.* Sic codex Bodleianus; Regius perperam, τάζειν, pro quo Huetius legendum censebat, ἐξετάζειν.

(55) Codd. Barberinus et Bodleianus μόγις, Regius μόλις, quod idem est.

(56) *Αὐτοῦ ἡ ἁμαρτία.* Deest in codice Regio, sed restituitur e Bodleiano.

ΩΡΙΓΕΝΟΥΣ

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

ΤΟΜΟΣ Ι'.

—

ORIGENIS

COMMENTARIORUM IN EVANGELIUM SECUNDUM JOANNEM

TOMUS X.

—

1. « Μετὰ τοῦτο κατέβη εἰς Καφαρναοὺμ αὐτὸς, καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ, καὶ οἱ μαθηταί· καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας. Καὶ ἐγγὺς ἦν τὸ Πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς, καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας, καὶ πρόβατα, καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους· καὶ ποιήσας ὡς φραγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα, καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὰ κέρματα, καὶ τὰς τραπέζας ἀνέστρεψε, καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν· μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου. Τότε ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι γεγραμμένον ἐστὶν, ὅτι Ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με. Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ· Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπε· Λύσατε τὸν ναὸν τοῦ Θεοῦ, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι· Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. Ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι τοῦτο ἔλεγε, καὶ ἐπίστευσαν τῇ Γραφῇ καὶ τῷ λόγῳ ὃν εἶπεν ὁ Ἰησοῦς. Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ Πάσχα, ἐν τῇ ἑορτῇ, ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ πολλοὶ θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει. Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευσεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ ἀνθρώπου. Αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ. » Ἐν αὐτῇ (57) ἀναγεγραμμένοι ἀριθμοὶ, κατά τινα ἀναλογίαν ἁρμόζουσαν ἑκάστῳ πράγματι, Γραφῆς ἠξιώθησαν. Ἐξεταστέον δὲ μή ποτε μία τῶν

160 1. « Postea descendit Capharnaum ipse, et mater ejus, et fratres ejus, et discipuli ejus; et ibi manserunt non multis diebus. Instabat autem Pascha Judæorum, et ascendit Hierosolymam Jesus, et reperit in templo eos qui vendebant boves, et oves, et columbas, et mensarios sedentes : cumque fecisset quasi flagellum ex funiculis, omnes ejecit e templo, oves simul, ac boves; et mensariorum æs effudit, et mensas subvertit, et his qui columbas vendebant dixit : Auferte ista hinc, nec facite domum Patris mei, domum mercatus. Recordati vero sunt discipuli ejus quod scriptum est : Zelus domus tuæ exedit me. Responderunt ergo Judæi, et dixerunt ei : Quod signum nobis ostendis quandoquidem ista agis ? Respondit Jesus, et dixit eis : Destruite templum Dei, et in tribus diebus suscitabo illud. Dixerunt ergo Judæi : Quadraginta et sex annis ædificatum est templum hoc, et tu in tribus diebus suscitabis illud ? At ille dicebat de templo corporis sui. Cum ergo suscitatus esset e mortuis, recordati sunt discipuli ejus quod hoc dixisset, et crediderunt Scripturæ, et sermoni, quem dixerat Jesus. Cum autem esset Hierosolymis in Pascha, in die festo, multi crediderunt in nomen ejus, videntes signa ejus, quæ edebat. Ipse autem Jesus non credebat semetipsum eis, eo quod ipse nosset omnes, nec opus haberet ut aliquis testaretur de homine. Ipse enim sciebat quid esset in homine [88]. » Numeri qui in ipso Numerorum libro scripti fuerunt, juxta quamdam proportionem convenientem unicuique rei, Scriptura digni habiti sunt. Inquirendum autem est an unus ex Moysis libris Numerorum inscriptione notatus, rationem numerorum eximie doceat eos,

[88] Joan. II, 12 seqq.

(57) Codex Bodleianus ἐν αὐτῇ, etc.; Regius, perperam, ἐν αὐτοῖ, etc. Apud utrumque locus est manifeste mendosus. Ita videtur legisse Ferrarius : Ἐν αὐτῇ Ἀριθμῶν βίβλῳ ἀναγεγραμμένοι ἀριθμοί. Quidni legatur : Αὐτοὶ ἀναγεγραμμένοι ἀριθμοὶ, κατά τινα ἀναλογίαν ἁρμόζουσαν ἑκάστῳ πράγματι, Γραφῆς ἠξιώθησαν, ἐξεταστέον δὴ μήποτε, etc.? Certe ejusmodi lectio minus absona videtur, et, si cui placet, vertenda erit : « Si litteris consignati Numeri, juxta quamdam unicuique rei congruam proportionem »

qui hujuscemodi accurate investigare valent. Hæc A autem ad te initio decimi **161** tomi dicuntur a me, frequenter in Scriptura numerum denarium eximia prærogativa impertitum observante, ut tibi quoque licet diligenter considerare, tum speranti etiam fore, ut aliquid majus a Deo in hunc tomum accipias; quod ut contingat, pro viribus præbere nos ipsos Deo tentemus, qui cupit optima largiri. Sed incipiendus hinc est liber: « Postea descendit Capharnaum ipse, et mater ejus, et fratres ejus, et discipuli ejus, et manserunt ibi non multis diebus [59]. » Etiam cæteri tres qui Evangelia scripserunt, inquiunt Dominum in Galilæam secessisse post ipsius contra diabolum certamen, Matthæus autem et Lucas, prius cum venisset Nazareth, postea illa relicta profectum habitasse Capharnaum. B Matthæus vero et Marcus causam etiam quamdam dicunt cur ipse inde discesserit, nempe quia audisset Joannem ab Herode in carcerem conjectum fuisse. Habent autem se sic verba, Matthæi quidem [60]: « Tunc omittit illum diabolus, et ecce angeli accedebant, et ministrabant ei. Cum audisset autem Jesus Joannem traditum esse, secessit in Galilæam; et, relicta Nazareth, profectus habitavit in Capharnao maritima, in finibus Zabulon et Nephthalim, ut impleretur quod dictum fuerat per Isaiam prophetam, dicentem: Terra Zabulon, et terra Nephthalim: » et post ea, quæ dicta sunt in Isaia, dicit: « Ex eo tempore cœpit Jesus prædicare, et dicere: Resipiscite, instat enim regnum cœlo- C rum. » Marcus vero: « Et erat, inquit, in deserto quadraginta dies et quadraginta noctes, et tentabatur a Satana: eratque cum feris, et angeli ministrabant illi. Postquam autem traditus est Joannes, venit Jesus in Galilæam, prædicans Evangelium Dei, nempe: Impletum est tempus, instatque regnum Dei. Resipiscite, et credite Evangelio [61]. » Deinde cum enarrasset de Andrea et de Petro, Jacoboque ac Joanne, scribit hæc: « Et ingressus est Capharnaum, et statim sabbatis docebat in Synagoga. » Lucas vero: « Et cum consummasset, inquit, tentationem diabolus, recessit ab illo usque ad tempus. Et reversus est Jesus in virtute Spiritus in Galilæam, et fama exiit per universam regionem de ipso, et ipse docebat in D synagogis eorum, et glorificabatur ab omnibus. Et venit in Nazara, ubi erat nutritus, intravitque **162** secundum consuetudinem suam die sabbatorum in Synagogam [62]. » Cumque docuisset quæ in Nazaris ab ipso dicta fuerant [63], furoremque

βίβλων Μωσέως ἐπιγεγραμμένη Ἀριθμοὶ, ἐξαιρέτως τὸν περὶ ἀριθμῶν τοῖς τὰ τοιαῦτα ἐξιχνεύειν δυναμένοις διδάσκει λόγον. Ταῦτα δέ μοι ἐν ἀρχῇ τοῦ δεκάτου τόμου λέγεται πρὸς σὲ, πολλαχοῦ ὁρῶντι τῆς Γραφῆς διαφερούσης προνομίας τετυχότα τὸν δέκα ἀριθμὸν, ὡς ἔνεστι καὶ σοὶ ἐπιμελῶς κατανοεῖν, ἐλπίζοντι τὸ λήψεσθαι ἀπὸ Θεοῦ πλέον τι καὶ εἰς τοῦτον τὸν τόμον· ὅπερ ἵνα ὑπαρχθῇ, κατὰ δύναμιν, ἐμπαρέχειν ἑαυτοὺς τῷ δωρεῖσθαι τὰ κάλλιστα βουλομένῳ Θεῷ πειρώμεθα. Ἀρκτέον δὲ τοῦ βιβλίου ἐντεῦθεν· « Μετὰ τοῦτο κατέβη εἰς Καφαρναοὺμ αὐτὸς, καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ, καὶ οἱ μαθηταὶ, καὶ ἐκεῖ ἔμεινεν οὐ πολλὰς ἡμέρας. » Καὶ οἱ λοιποὶ τρεῖς (58) γράψαντες τὰ Εὐαγγέλια μετὰ τὸν πρὸς τὸν διάβολον ἀγῶνα τοῦ Κυρίου, εἰς τὴν Γαλιλαίαν φασὶν αὐτὸν ἀνακεχωρηκέναι, Ματθαῖος δὲ καὶ Λουκᾶς, πρότερον γενόμενον ἐν Ναζάροις, μετὰ ταῦτα καταλελοιπότα αὐτὰ ἐλθόντα κατῳκηκέναι εἰς Καφαρναούμ. Ὁ δὲ Ματθαῖος καὶ Μάρκος καὶ αἰτίαν τινὰ λέγουσι τοῦ αὐτὸν ἐκεῖθεν ἀνακεχωρηκέναι, τὸ ἀκηκοέναι, ὅτι Ἰωάννης παρεδόθη. Ἔχει δὲ οὕτως τὰ ῥητὰ, τοῦ μὲν Ματθαίου· « Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ (59). Ἀκούσας δὲ, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς Γαλιλαίαν, καὶ καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλεὶμ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ (60)· » καὶ μετὰ τὰ ἐν τῷ Ἡσαΐᾳ ῥητὰ, λέγει· « Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν· Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. » Ὁ δὲ Μάρκος· « Καὶ ἦν, φησὶν, ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας (61), πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ· καὶ ἦν μετὰ τῶν θηρίων, καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ. Μετὰ δὲ τὸ παραδοθῆναι τὸν Ἰωάννην, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ὅτι πεπλήρωται ὁ καιρὸς, καὶ ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ. Μετανοεῖτε, καὶ πιστεύετε τῷ Εὐαγγελίῳ. » Ἔπειτα, διηγησάμενος καὶ περὶ Ἀνδρέου, καὶ Πέτρου, Ἰακώβου τε καὶ Ἰωάννου, ἀναγράφει ταῦτα· « Καὶ εἰσπορευόμενος εἰς Καφαρναοὺμ, καὶ εὐθέως τοῖς σάββασιν ἐδίδασκεν εἰς τὴν συναγωγήν. » Ὁ δὲ Λουκᾶς· « Καὶ συντελέσας, φησὶ, τὸν πειρασμὸν ὁ διάβολος, ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ. Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν, καὶ φήμη ἐξῆλθε καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων. Καὶ ἦλθεν εἰς Νά-

[59] Joan. II, 12. [60] Cap. IV, v. 11 seqq. [61] Marc. I, 13 seqq. [62] Luc. IV, 13 seqq. [63] ibid. 21 seqq.

Scriptura digni habiti sunt, certe inquirendum est num forte unus, etc. »

(58) *Καὶ οἱ λοιποὶ τρεῖς*. Sic codex Bodleianus, optime; male vero codex Regius, καὶ οἱ λοιποὶ γάρ. Huic perversæ lectioni originem dedit littera Γ numeralis pro τρεῖς.

(59) *Αὐτῷ*. Deest in codice Regio, sed revocatur e codice Bodleiano.

(60) *Καὶ γῆ Νεφθαλείμ*. Hæc desiderantur in codice Regio, sed restituuntur e Bodleiano.

(61) *Καὶ τεσσαράκοντα νύκτας*. Deest in codice Bodleiano, nec lectum est ab interprete Ferrario.

ζαρα, οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν. » Παραστήσας δὲ τὰ ἐν Ναζάροις αὐτῷ εἰρημένα, καὶ τὸν κατ' αὐτοῦ θυμὸν τῶν ἐν τῇ συναγωγῇ, ἐκβαλλόντων αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἀγαγόντων « ἕως τῆς ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ αἱ πόλεις αὐτῶν ᾠκοδόμηντο, ὥστε καταχρημνίσαι αὐτὸν, » καὶ « ὡς διελθὼν διὰ μέσου αὐτῶν ὁ Κύριος ἐπορεύετο, » ἐπισυνάπτει ταῦτα· « Καὶ κατῆλθεν εἰς Καφαρναοὺμ πόλιν τῆς Γαλιλαίας, καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι. »

A eorum qui erant in Synagoga adversus ipsum, ut qui ejecissent eum e civitate, ac duxissent « usque ad supercilium montis, super quem civitas illorum erat ædificata, ut præcipitarent eum, » et ut « transiens per medium illorum ibat, » superaddit hæc : « Et descendit Capharnaum civitatem Galilææ, et docebat illos sabbatis [64]. »

2. Τὴν περὶ τούτων (62) ἀλήθειαν ἀποκεῖσθαι ἐν τοῖς νοητοῖς, μὴ λυομένης τῆς διαφωνίας ἀφεῖσθαι τῆς περὶ τῶν Εὐαγγελίων πίστεως, ὡς οὐκ ἀληθῶν, οὐδὲ θειοτέρῳ Πνεύματι γεγραμμένων (63), ἢ ἐπιτετευγμένως ἀπομνημονευθέντων· ἑκατέρως γὰρ λέγεται συντετάχθαι ἡ τούτων Γραφή. Λεγέτωσαν γὰρ ἡμῖν οἱ παραδεχόμενοι τὰ τέσσαρα Εὐαγγέλια, καὶ τὴν δοκοῦσαν διαφωνίαν οἰόμενοι μὴ λύεσθαι διὰ τῆς ἀναγωγῆς, πρὸς ταῖς προηρημέναις ἡμῖν ἐπαπορήσεσι περὶ τῶν τεσσαράκοντα τοῦ πειρασμοῦ ἡμερῶν οὐδαμῶς δυναμένων χώραν ἔχειν παρὰ τῷ Ἰωάννῃ, πότε γέγονεν ἐν τῇ Καφαρναοὺμ ὁ Κύριος· εἰ γὰρ μετὰ τὰς ἓξ τοῦ ὅτε ἐβαπτίσθη ἡμέρας (τῇ ἕκτῃ γενομένης τῆς κατὰ τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας γάμον οἰκονομίας), δῆλον ὅτι οὔτε πεπείρασται (64), οὔτε ἐν Ναζάροις ἐγένετο, οὔτε Ἰωάννης πω παρεδέδοτο. Μετὰ οὖν τὴν Καφαρναοὺμ, ἔνθα ἔμεινεν οὐ πολλὰς ἡμέρας, τοῦ Πάσχα τῶν Ἰουδαίων ἐγγὺς ὄντος, ἀνέβη Ἱεροσόλυμα, ὅτε ἐκβάλλει ἐκ τοῦ ἱεροῦ τά τε πρόβατα καὶ τοὺς βόας, καὶ ἐκχέει τῶν κερματιστῶν τὰ κέρματα. Ἔοικε δὲ ἐν τοῖς Ἱεροσολύμοις ὁ τῶν Φαρισαίων ἄρχων Νικόδημος νυκτὸς πρὸς αὐτὸν ἀρχὴν (65) ἐληλυθέναι, καὶ ἀκηκοέναι ταῦτα ἃ ἔξεστιν ἐκ τοῦ Εὐαγγελίου λαβεῖν. « Μετὰ δὲ ταῦτα ἦλθεν ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν, καὶ ἐβάπτιζε καθ' ὃν καιρὸν ἦν καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλεὶμ (66), ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ, καὶ παρεγίνοντο, καὶ ἐβαπτίζοντο. Οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης, » ὅτε καὶ ἐγένετο ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίων περὶ καθαρισμοῦ, καὶ ἦλθον πρὸς τὸν Ἰωάννην λέγοντες περὶ τοῦ Σωτῆρος τό· « Ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. » Ἀκηκόασιν ἀπὸ τοῦ Βαπτιστοῦ λόγους, οὓς ἔστιν ἐπ' αὐτῆς τῆς Γραφῆς ἀκριβέστερον λαβεῖν. Εἰ δὲ πυνθανομένοις ἡμῖν περὶ τοῦ, πότε γέγονε (67) πρῶτον ἐν τῇ Καφαρναοὺμ ὁ Χριστὸς, τῇ λέξει Ματθαίου καὶ τῶν λοιπῶν δύο ἀκολουθοῦντες φήσουσι μετὰ τὸν πειρασμὸν, ὅτε, καταλείπων τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ τὴν παραθαλασσίαν· πῶς

2. Veritatem de hisce rebus oportet repositam esse in his quæ animo cernuntur, aut si dissonantia non solvatur, recedere a fide Evangeliorum, tanquam quæ vere non sint scripta per Spiritum, B neque sint diviniora neque optimo ordine commentata; utroque enim modo dicitur Scriptura ordinata fuisse. Dicant enim nobis qui recipiunt quatuor Evangelia, et existimant apparentem dissonantiam non dissolvi per anagogen, præter prædictas a nobis dubitationes de quadraginta diebus tentationis, qui minime locum habere possunt apud Joannem, quando fuit in Capharnao Dominus. Nam si post sex dies ab eo tempore, postquam baptizatus est Jesus, fuit in Capharnao (sexta die facta dispensatione et miraculo in nuptiis, in Cana Galilææ) perspicuum est, neque tentatum fuisse, neque in Nazaris fuisse, neque Joannem adhuc traditum fuisse. Itaque post Capharnaum, ubi mansit non multos dies, cum Pascha esset Judæorum in pro- C pinquo [65], ascendit Hierosolymam, quando e templo ejecit tum oves, tum boves, et mensariorum æra effudit. Videtur autem Nicodemus, Pharisæorum princeps, noctu ad ipsum principio venisse Hierosolymam, audisseque quæ licet ex Evangelio accipere [66]. « Post hæc » autem « venit Jesus, et discipuli ejus in terram Judæam, et illic morabatur cum eis, ac baptizabat, quo tempore erat et Joannes baptizans in Ænon juxta Salim, quia aquæ multæ erant illic, et veniebant, ac baptizabantur. Nondum enim conjectus fuerat in carcerem Joannes, » quando et orta quæstio est ex discipulis Joannis de purificatione cum Judæis, et venerunt ad Joannem dicentes de Servatore: « Ecce is baptizat, et omnes veniunt ad eum [67]. ». Audierant enim Baptistæ D verba quæ accuratius ex ipsa Scriptura [68] licet assumere. **163** Quod si interrogantibus nobis quando primum fuit in Capharnao Christus, qui lectionem Matthæi reliquorumque duorum sequuntur, dicent, post tentationem, quando relicta Nazareth profectus habitavit in Capharnao, quæ est civitas maritima [69]: quomodo simul verum esse dicent et illud quod

[64] Luc. IV, 29-31. [65] Joan. II, 12-15. [66] Joan. III, 1 seqq. [67] ibid. 22-26. [68] Joan. I, 15 seqq. [69] Matth. IV, 11, 13.

(62) *Τὴν περὶ τούτων*, etc. Scribendum δεῖ τὴν περὶ τούτων, etc. Hic et sæpe alibi litteræ fidem detrahit Origenes, quam anagogicis suis expositionibus conciliare nititur. Vide præfationem nostram ad tomum secundum.

(63) *Οὐδὲ θειοτέρῳ Πνεύματι γεγραμμένων*. Sic recte habet codex Bodleianus, perperam vero Regius, οὐδὲ θειοτέρων πνεύματι γεγραμμένον.

(64) *Οὔτε πεπείρασται*. Sic codex Bodleianus; Regius, ὅτε πεπείρασται.

(65) *Ἀρχήν*. Sic codex Bodleianus; Regius, ἄρχων.

(66) *Σαλείμ*. Ita codex Bodleianus; Regius, Ἀλίμ, male.

(67) *Πότε γέγονε*. Sic codex Bodleianus; Regius omisit πότε.

apud Matthæum, et Marcum dictum est, Jesum scilicet secessisse in Galilæam [70], tanquam qui audisset Joannem traditum fuisse; et illud, quod positum est apud Joannem [71], scilicet nondum fuisse Baptistam conjectum in carcerem, sed baptizare in Ænon juxta Salim; id quod ponitur post mansionem Domini in Capharnao [72], et post ascensum ad Hierosolymam, indeque ad Judæam descensum [73], ac post multas alias œconomias et dispensationes? Quin si de aliis compluribus diligenter quis exquisierit Evangelia de dissonantia secundum historiam, quam singulatim tentabimus pro virili ob oculos ponere, vertigine affectus, vel renuet confirmare Evangelia tanquam vera, et judicio suo sibi eligens quod voluerit, alicui ipsorum Evangeliorum adhærebit, non audens funditus infirmare de Domino nostro fidem; vel admittens quatuor esse Evangelia, veritatem ipsorum non in formis et characteribus corporalibus esse adjunget.

3. Ut autem aliquam considerationem sententiæ ac voluntatis Evangeliorum de hisce rebus sumamus, nobis hoc est dicendum. Esto quibusdam Spiritu Deum videntibus, hujusque sermones ad sanctos, atque præsentiam, qua illis se offert, præcipuis temporibus profectus ipsorum (atque hi plures numero exsistant, et diversis in locis, nec similibus omnino beneficiis affecti); esto, inquam, propositum his singulis sua renuntiare, quæ Spiritu tum de Deo, tum de sermonibus ejus, ac de apparitionibus ad sanctos vident, ita ut hic quidem renuntiet quæ dicuntur, vel aguntur a Deo in tali loco huic justo, ille vero quæ alius per oracula vel audierit, vel receperit, et alius præter duos prædictos velit nos de aliquo tertio docere. Esto autem etiam aliquis quartus, perinde atque hi tres faciens, conferantque hi quatuor inter se de quibusdam quæ Spiritus illis suggesserit, et de aliis brevi oratione renuntient, adeo ut hujusmodi sint illorum narrationes: Visus est Deus huic hoc tempore, hoc in loco, et hæc illi fecit: hunc in modum si illi **164** apparuerit tali forma, et manu duxit ad hunc locum, ubi hæc fecit. Secundus eodem tempore quo hæc dicta sunt facta fuisse apud primum, referat Deum visum fuisse in quadam urbe cuipiam secundo (quem ipse velit) exsistenti in loco valde remoto a loco prioris, et alios eodem tempore sermones a Deo huic quem secundum posuimus, habitos fuisse dicat. Similiter de tertio et quarto existimandum est. Consentiant autem hi, ut prædiximus, inter se vera de Deo nuntiantes, deque ipsius erga aliquos beneficiis, in quibusdam narrationibus quas ipsi renuntient. Ei igitur qui existimat horum scriptionem esse historiam, vel per imaginem historiæ ad res quasdam veras accommodari, quique arbitratur Deum esse

A ἅμα ἀληθῆ εἶναι ἐροῦσι τό τε παρὰ τῷ Ματθαίῳ καὶ Μάρκῳ εἰρημένον, ὡς διὰ τὸ ἀκηκοέναι αὐτὸν περὶ τοῦ Ἰωάννου παραδοθέντος, εἰς τὴν Γαλιλαίαν ἀναχωρήσαντος· καὶ τὸ παρὰ τῷ Ἰωάννῃ μετὰ καὶ ἄλλας οἰκονομίας πρὸς τῇ ἐν Καφαρναοὺμ μονῇ κείμενον, καὶ τὴν εἰς Ἱεροσόλυμα (68) ἄνοδον, τήν τε εἰς τὴν Ἰουδαίαν ἐκεῖθεν κάθοδον, ὅτι οὔπω βεβλημένος ἦν εἰς φυλακὴν ὁ Ἰωάννης, ἀλλ' ἐβάπτιζεν ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ; Καὶ ἐπὶ ἄλλων δὲ πλειόνων εἴ τις ἐπιμελῶς ἐξετάζοι τὰ Εὐαγγέλια περὶ τῆς κατὰ τὴν ἱστορίαν ἀσυμφωνίας, ἥντινα καθ' ἕκαστον πειρασόμεθα κατὰ τὸ δυνατὸν παραστῆσαι, σκοτοδινιάσας ἤτοι ἀποστήσεται τοῦ κυροῦν ὡς ἀληθῶς τὰ Εὐαγγέλια, καὶ ἀποκληρωτικῶς ἑνὶ αὐτῶν προσθήσεται, μὴ τολμῶν πάντη ἀθετεῖν τὴν περὶ τοῦ Κυρίου ἡμῶν πίστιν· ἢ B προσιέμενος τὰ τέσσαρα, εἶναι ἀληθὲς αὐτῶν οὐκ ἐν τοῖς σωματικοῖς χαρακτῆρσιν.

3. Ὑπὲρ δὲ τοῦ ποσὴν ἐπίνοιαν τοῦ βουλήματος τῶν Εὐαγγελίων περὶ τῶν τοιούτων λαβεῖν, καὶ τοῦτο ἡμῖν λεκτέον. Ἔστω τισὶ προκείμενον βλέπουσι τῷ πνεύματι τὸν Θεὸν, καὶ τοὺς τούτου πρὸς τοὺς ἁγίους λόγους, τήν τε παρουσίαν, ἣν πάρεστιν αὐτοῖς ἐξαιρέτοις καιροῖς τῆς προκοπῆς αὐτῶν ἐπιφαινόμενος (πλέοσιν οὖσι τὸν ἀριθμὸν, καὶ ἐν διαφόροις τόποις, οὐχ ὁμοειδεῖς τε πάντη εὐεργεσίας εὐεργετουμένοις), ἑκάστῳ ἰδίᾳ ἀπαγγεῖλαι, ἃ βλέπει τῷ πνεύματι περὶ τοῦ Θεοῦ, καὶ τῶν λόγων αὐτοῦ, τῶν τε πρὸς τοὺς C ἁγίους ἐμφανειῶν, ὥστε τόνδε μὲν περὶ τῶνδε τῷδε τῷ δικαίῳ κατὰ τόνδε τὸν τόπον λεγομένων ὑπὸ Θεοῦ, καὶ πραττομένων ἀπαγγέλλειν· τόνδε δὲ περὶ τῶν ἑτέρων χρησμῳδουμένων, καὶ ἐπιτελουμένων, ἢ ἄλλον περί τινος τρίτου παρὰ τοὺς προειρημένους δύο θέλειν ἡμᾶς διδάσκειν. Ἔστω δέ τις καὶ τέταρτος τὸ ἀνάλογον τοῖς τρισὶ περί τινος ποιῶν. Συμφερέσθωσαν δὲ οἱ τέσσαρες οὗτοι περί τινων ὑπὸ τοῦ πνεύματος αὐτοῖς ὑποβαλλομένων ἀλλήλοις, καὶ περὶ ἑτέρων ἐν ὀλίγῳ παραγγελλέτωσαν, ὥστε εἶναι τοιαύτας αὐτῶν τὰς διηγήσεις· « Ὤφθη ὁ Θεὸς τῷδε κατὰ τόνδε τὸν καιρὸν ἐν τῷδε τῷ τόπῳ, καὶ τάδε αὐτῷ πεποίηκεν· οὕτως εἰ αὐτῷ ἐπιφαινόμενος τοιῷδε τῷ σχήματι, καὶ ἐχειραγώγησε εἰς τόνδε (69) τὸν τόπον, ἔνθα πεποίηκε τάδε. Ὁ δεύτερος κατὰ τὸν αὐτὸν τοῖς εἰρημένοις γεγονέναι D παρὰ τῷ προτέρῳ χρόνον ἔν τινι πόλει ἀπαγγελλέτω (70) τὸν Θεὸν ὦφθαι, ᾧ καὶ αὐτὸς νοεῖ, τίνι δευτέρῳ ὄντι ἐν πολὺ ἀπεσχοινισμένῳ τόπῳ παρὰ τὸν τόπον τὸν τοῦ προτέρου, καὶ ἑτέρους λόγους ἀναγραφέτω κατὰ τὸν αὐτὸν καιρὸν εἰρῆσθαι, ᾧ κατὰ τὴν ὑπόθεσιν εἰλήφαμεν δευτέρῳ. Τὰ δὲ παραπλήσια περὶ τοῦ τρίτου καὶ τοῦ τετάρτου νοητέον. Συμφερέσθωσαν δὲ, ὡς προειρήκαμεν, οὗτοι τὰ ἀληθῆ ἀπαγγέλλοντες περὶ τοῦ Θεοῦ, καὶ τῶν πρός τινας εὐεργεσιῶν αὐτοῦ ἀλλήλοις, ἐπί τινων ἀπαγγελλομένων ὑπ' αὐτῶν διη-

[70] Ibid. 12; Marc. I, 14. [71] Joan. III, 23, 24. [72] Joann. II, 12, 13, seq. [73] Joan. III, 22.

(68) *Εἰς Ἱεροσόλυμα.* Sic codex Bodleianus; Regius omisit εἰς.
(69) *Εἰς τόνδε.* Sic habet codex Bodleianus; in Regio deest εἰς.
(70) Ἀπαγγελλέτω. Sic codex Bodleianus; Regius, ἀπαγγέλλεται.

γήσεων. Δόξει τοίνυν τῷ ἱστορίαν εἶναι νομίζοντι τὴν τούτων γραφὴν ἢ διὰ εἰκόνος ἱστορικῆς πρός τινα τὰ ὄντα παραστῆσαι πράγματα (71), καὶ τὸν Θεὸν ὑπολαμβάνοντι κατὰ περιγραφὴν εἶναι ἐν τόπῳ, μὴ δυνάμενον τῷ αὐτῷ πλείονας ἑαυτῷ ἐμποιῆσαι φαντασίας πλείοσιν, ἐν πλείοσι τόποις, καὶ πλείονα ἅμα λέγειν, δυνατὸν (72) εἶναι ἀληθεύειν οὓς ὑπεθέμην τέσσαρες, τῷ ἀδύνατον εἶναι ἐν τῷδέ τινι τῷ τεταγμένῳ καιρῷ τὸν Θεὸν εἶναι, ἅτε καὶ κατὰ περιγραφὴν αὐτὸν νενοημένον ἐν τόπῳ εἶναι, καὶ τῷδε, καὶ τῷδε λέγειν τάδε, καὶ τάδε, καὶ ποιεῖν τάδε, καὶ τὰ τούτοις ἐναντία, καὶ, φέρε εἰπεῖν, καθεζόμενον ἅμα, καὶ ἑστῶτα εἶναι· εἰ ὁ μὲν τῷδε τῷ καιρῷ λέγων (73) αὐτὸν ἑστῶτα τάδε τινὰ εἰρηκέναι, ἢ πεποιηκέναι ἐν τῷδε τῷ τόπῳ, ὁ δὲ καθεζόμενον.

4. Ὥσπερ οὖν ἐπὶ τούτων, ὧν ὑπεθέμην, ἐκληφθεὶς ὁ νοῦς τῶν ἱστορικῶν, χαρακτῆρι βουληθέντων ἡμᾶς διδάξαι τὰ ὑπὸ τοῦ νοῦ αὐτῶν τεθεωρημένα, οὐδεμίαν ἂν εὑρεθείη ἔχων διαφωνίαν, εἰ οἱ τέσσαρες εἶεν σοφοί· οὕτω νοητέον καὶ ἐπὶ τῶν τεσσάρων ἔχειν εὐαγγελιστῶν, καταχρησαμένων μὲν πολλοῖς τῶν κατὰ τὸ τεράστιον καὶ παραδοξότατον τῆς δυνάμεως Ἰησοῦ πεπραγμένοις καὶ εἰρημένοις, ἔσθ' ὅπου καὶ προσυφηνάντων τῇ Γραφῇ μετὰ λέξεως, ὡς περὶ αἰσθητῶν (74), τὸ καθαρῶς νοητῶς αὐτοῖς τετρανωμένον. Οὐ καταγινώσκω δήπου καὶ τὸ, ὡς κατὰ τὴν ἱστορίαν, ἑτέρως γενόμενον, πρὸς τὸ χρήσιμον τούτων μυστικοῦ σκοποῦ μετατιθέναι πως αὐτοὺς, ὥστε εἰπεῖν τὸ ἐν τόπῳ γενόμενον, ὡς ἐν ἑτέρῳ· ἢ τὸ ἐν τῷδε τῷ καιρῷ, ὡς ἐν ἄλλῳ, καὶ τὸ οὑτωσὶ ἀπαγγελλόμενον (75) μετά τινος παραλλαγῆς αὐτοὺς πεποιηκέναι. Προέκειτο γὰρ αὐτοῖς, ὅπου μὲν ἐνεχώρει, ἀληθεύειν πνευματικῶς ἅμα καὶ σωματικῶς· ὅπου μὴ ἐνεδέχετο ἀμφοτέρως, προκρίνειν τὸ πνευματικὸν τοῦ σωματικοῦ, σωζομένου πολλάκις τοῦ ἀληθοῦς πνευματικοῦ ἐν τῷ σωματικῷ, ὡς ἂν εἴποι τις, ψευδεῖ· ὡς εἰ καὶ ἀπὸ τῆς ἱστορίας λέγοιμεν, ὅτι ὁ Ἰακὼβ φάσκων τῷ Ἰσαάκ· « Ἐγὼ Ἡσαῦ ὁ πρωτότοκός σου υἱὸς, » κατὰ μὲν τὸ πνευματικὸν ἠλήθευε, μεταλαβὼν τῶν πρωτοτοκίων ἤδη ἐν τῷ ἀδελφῷ παραπολλυμένων, καὶ διὰ τῆς στολῆς τῶν τε ἐριφίων δερμάτων τὸν ἔξωθεν χαρακτῆρα τοῦ Ἡσαῦ ἀναλαβὼν, καὶ γενόμενος χωρὶς τῆς αἰνούσης τὸν Θεὸν φωνῆς Ἡσαῦ, ἵνα χώραν λάβῃ πρὸς τὸ εὐλογηθῆναι ὕστερον ὁ Ἡσαῦ. Τάχα γὰρ εἰ μὴ ηὐλόγητο Ἰακὼβ ὡς Ἡσαῦ, οὐκ ἂν οὐδὲ Ἡσαῦ καθ' ἑαυτὸν δέξασθαι τὴν εὐλογίαν οἷός τε ἦν. Καὶ ὁ Ἰησοῦς τοίνυν πολλά ἐστι ταῖς ἐπινοίαις, ὧν ἐπινοιῶν εἰκὸς τοὺς εὐαγγελιστὰς διαφόρους ἐννοίας λαμβάνοντας, ἔσθ' ὅτε καὶ συμφερομένους ἄλλους (76) περί τινων ἀναγεγραφέναι τὰ Εὐαγγέλια· οἷον ἀληθὲς εἰπεῖν τὰ, ὡς πρὸς τὴν λέξιν, ἀντικείμενα περὶ τοῦ Κυρίου ἡμῶν, ὅτι γέγονεν ἐκ Δαυῒδ, καὶ οὐ γέγονεν

[76] Gen. xxvii, 19.

A in loco secundum circumscriptionem, eodem tempore nequeuntem plures de ipso ingenerare visiones pluribus, in pluribus locis, nec plura etiam simul dicere, videbitur impossibile esse ut hi quatuor, quos supposuimus, vera narrent ex eo, quod facile factu non sit Deum esse in hoc quodam certo tempore, quia etiam consideratus fuerit esse in loco secundum circumscriptionem, et huic, et illi hæc, et illa dicere, et facere hæc, et his contraria, et, ut ita dicam, sedentem simul et stantem esse; siquidem unus dicat hoc tempore eum stantem hæc dixisse, et hæc fecisse in hoc loco, alius vero sedentem.

B 4. Ut igitur sensus perceptus historicorum, charactere et forma in his quos supposui velle nos dicere, quæ mens ipsorum perspexerit, nullam inveniretur habere dissonantiam, si quatuor fuerint sapientes; sic etiam in quatuor evangelistis rem se habere intelligendum est, abutentibus multis tum dictis Jesu, juxta illius prodigiosam et admirabilissimam potentiam; interdum etiam attexentibus ad Scripturam cum dictione veluti de sensibilibus, quod illis puro ac solo intellectu manifestatum erat. Non reprehendo autem ipsos aliquo pacto transposuisse ad utilitatem mysticæ considerationis harum rerum, id quod, quantum attinet ad historiam, alio modo factum fuerat, ita C ut quod uno loco factum fuerat, tanquam in alio gestum sit, narrarent; **165** vel quod uno tempore, tanquam in alio; et illud, quod uno modo pronuntiatum fuerat, cum quadam alteratione referrent. Propositum enim illis erat vera narrare, et spiritualiter et corporaliter, ubi liceret; ubi autem non contingebat utrumque, rem præferre spiritualem rei corporeæ, servata sæpe veritate spirituali in corporali, ut aliquis diceret, mendacio. Quemadmodum si etiam ex historia diceremus Jacob dicentem Isaac: « Ego sum Esau primogenitus tuus filius [76], » secundum intellectum quidem spiritualem narrasse vera (participem factum primogeniturarum, quæ in fratre jam perierant, et recepta forma et figura Esau externa per vestem hædina- D rum pellium), atque factum Esau sine voce laudante Deum, ut deinde locum inveniret Esau ad benedictionem consequendam. Nam fortasse, ni benedictus fuisset Jacob tanquam Esau, ne Esau quidem capere quivisset ex se benedictionem. Jesus igitur multa est secundum varias notiones, ex quibus probabile est evangelistas notiones sumentes diversas, interdum etiam alias de quibusdam consentien-

(71) *Ἢ διὰ εἰκόνος ἱστορικῆς πρός τινα τὰ ὄντα παραστῆσαι πράγματα.* Sic cod. Bodl.; Regius perperam habet, ἴδια εἰκόνος ἱστορικῆς προσθοιτὸν ὄντα παραστῆσαι τὰ πράγματα.

(72) *Δυνατόν.* Videtur scribendum ἀδύνατον, uti legit Ferrarius.

(73) *Λέγων.* Omnino scribendum est λέγοι.

(74) *Ὡς περὶ αἰσθητῶν.* Forte scribendum ὡσπερεὶ αἰσθητόν, etc.

(75) Codex Bodleianus, οὑτωσὶ ἀπαγγελλόμενον· codex Regius, male, οὕτως εἰ ἐπαγγελλόμενον. Mox codex Bodleianus, recte, πεποιηκέναι, Regius, πεπονηκέναι.

(76) *Ἄλλους.* Scribendum videtur ἀλλήλοις.

tes scripsisse Evangelia. Verbi gratia: Verum est, quod ad textum attinet, contraria dicere de Domino nostro, nempe eum genitum ex David, et non genitum ex David. Verum etenim est genitum fuisse ex David (ut etiam Apostolus inquit [75]: « genitum ex semine David secundum carnem»), si ad corpus ipsius referamus; falsum autem hoc ipsum est, si de diviniore ipsius potentia intellexerimus eum genitum fuisse ex semine David. Declaratus namque Filius Dei fuit cum potentia [76]. Et fortassis hanc ob causam sanctæ prophetiæ aliquoties eum servum, aliquoties autem eum Filium prædicant; servum quidem propter servi formam, et quia ex Davide; Filium vero Dei propter potentiam suam primogenitam: sic verum est dicere eum hominem et non hominem: hominem quidem, propter illud quod mortis est capax; cæterum non hominem, propter illud quod homine est divinius. Ego autem arbitror etiam Marcionem respuentem doctrinam sanam, et rejicientem ipsius ex Maria ortum, enuntiasse eum juxta divinam naturam genitum ex Maria non fuisse, et hanc ob causam ausum fuisse delere hos locos ex Evangelio; cui simile quiddam passi fuisse hi videntur qui illius humanitatem tollunt, solam illius divinitatem admittentes, **166** atque his contrarii, qui divinitatem ejus obliterant, hominem eum hominum omnium justissimum et sanctissimum fassi. Quin qui introducunt opinionem quia non intellexerint eum qui « seipsum ad mortem usque humiliavit obediens factus usque ad crucem [77], » et solam ejus eam partem, quæ perturbationibus vacat, quæque superior est quovis tali casu imaginaverunt, pro virili sua eo homine qui hominum omnium sit justissimus, privare nos volunt, qui non possumus per ipsum servari: ut enim « per unum hominem mors, » sic et « per unum hominem » vitæ justificatio [78]. Neque enim utilitatem percepissemus ex Filio Dei, si, remoto homine, talis esset qualis erat in principio apud Patrem Deum, neque hominem assumpsisset, qui omnium primus et omnibus honorabilior, ac longe omnibus purior valeret ipsum capere; post quem poterimus unusquisque nostrum tantum ac talem, qualis erat, ipsum capere, si locum magnitudini ejus convenientem in anima nostra præparaverimus. Hæc autem omnia mihi dicta sunt declarare volenti, via spiritualis intelligentiæ, apparentem Evangeliorum dissonantiam.

A ἐκ Δαυῒδ. Ἀληθὲς μὲν γὰρ τὸ, γέγονεν ἐκ Δαυῒδ (ὡς καὶ ὁ Ἀπόστολός φησι· « τοῦ γενομένου ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα »), εἰ τὸ σωματικὸν αὐτοῦ ἐκλάβομεν· ψευδὲς δὲ αὐτὸ τοῦτο, εἰ ἐπὶ τῆς θειοτέρας δυνάμεως ἀκούομεν τὸ γεγονέναι αὐτὸν ἐκ σπέρματος Δαυῒδ· ὡρίσθη γὰρ Υἱὸς Θεοῦ ἐν δυνάμει. Καὶ τάχα διὰ τοῦτο αἱ ἅγιαι προφητεῖαι ὅπου μὲν δοῦλον, ὅπου δὲ Υἱὸν αὐτὸν ἀναγορεύουσι· δοῦλον μὲν διὰ τὴν δούλου μορφὴν, καὶ τὸν ἐκ σπέρματος Δαυῒδ· Υἱὸν δὲ Θεοῦ κατὰ (77) τὴν πρωτότοκον αὐτοῦ δύναμιν· οὕτως αὐτὸν ἀληθὲς εἰπεῖν ἄνθρωπον, καὶ οὐκ ἄνθρωπον· ἄνθρωπον κατὰ τὸ θανάτου δεκτικόν· οὐκ ἄνθρωπον δὲ κατὰ τὸ ἀνθρώπου θειότερον. Ἐγὼ δ' οἶμαι καὶ τὸν Μαρκίωνα (78) παρεκδεξάμενον ὑγιεῖς λόγους, ἀθετοῦντα αὐτοῦ τὴν ἐκ Μαρίας γένεσιν, κατὰ τὴν B θείαν αὐτοῦ φύσιν ἀποφήνασθαι, ὡς ἄρα οὐκ ἐγεννήθη ἐκ Μαρίας, καὶ διὰ τοῦτο τετολμηκέναι περιγράψαι τούτους τοὺς τόπους ἀπὸ τοῦ Εὐαγγελίου· ᾧ παραπλήσιον πεπονθέναι φαίνονται οἱ ἀναιροῦντες αὐτοῦ τὴν ἀνθρωπότητα, καὶ μόνην αὐτοῦ τὴν θεότητα παραδεξάμενοι, οἵ τε τούτοις ἐναντίοι, καὶ τὴν θεότητα αὐτοῦ περιγράψαντες, τὸν δὲ ἄνθρωπον ὡς ἅγιον καὶ δικαιότατον πάντων ἀνθρώπων ὁμολογήσαντες. Καὶ οἱ τὴν δόκησιν δὲ εἰσάγοντες, « τὸν ταπεινώσαντα αὐτὸν μέχρι θανάτου, καὶ ὑπήκοον γενόμενον μέχρι σταυροῦ » μὴ νοήσαντες, μόνον δὲ τὸ ἀπαθὲς τὸ κρεῖττον παντὸς τοιούτου συμπτώματος φαντασθέντες, ἀποστερεῖν ἡμᾶς τὸ ὅσον ἐφ' ἑαυτοῖς θέλουσι τοῦ πάντων ἀνθρώπων δικαιοτάτου ἀνθρώπου, οὐ δυναμένους δι' ἐκείνου σώζεσθαι (79)· ὡς γὰρ « δι' ἑνὸς C ἀνθρώπου ὁ θάνατος, οὕτως καὶ δι' ἑνὸς ἀνθρώπου » ἡ τῆς ζωῆς δικαίωσις. Οὐκ ἂν χωρὶς τοῦ ἀνθρώπου χωρησάντων ἡμῶν τὴν ἀπὸ τοῦ λόγου ὠφέλειαν, μένοντος ὁποῖος ἦν τὴν ἀρχὴν πρὸς τὸν Πατέρα Θεὸν, καὶ μὴ ἀναλαβόντος (80) ἄνθρωπον, τὸν πάντων πρῶτον, καὶ πάντων τιμιώτερον, καὶ πάντων μᾶλλον καθαρώτερον αὐτὸν χωρῆσαι δυνάμενον· μεθ' ὃν καὶ ἡμεῖς δέξασθαι οἷοί τε αὐτὸν ἐσόμεθα, ἕκαστος τοσοῦτον καὶ τοιοῦτον, ὁποῖος ἦν, αὐτῷ ποιοῦμεν καὶ πηλίκην χώραν (81) ἐν τῇ ψυχῇ ἡμῶν. Ταῦτα δέ μοι (82) πάντα εἴρηται τῆς ἐμφαινομένης διαφωνίας τῶν Εὐαγγελίων παραστῆσαι θέλοντι ὁδῷ τῆς πνευματικῆς ἐκδοχῆς.

5. In eumdem autem locum hujusmodi etiam exemplo utendum est, scilicet Paulum carnalem se esse venditum sub peccato dicere [79], nec quidquam

D 5. Εἰς δὲ τὸν αὐτὸν τόπον καὶ τοιούτῳ παραδείγματι χρηστέον, ὅτι Παῦλος ὁ μὲν σαρκικὸς πεπρᾶσθαι λέγει ὑπὸ τὴν ἁμαρτίαν, καὶ οὐδὲν ἀνακρίνειν οἷός τε

[75] Rom. I, 3. [76] Ibid. 4. [77] Philipp. II, 8. [78] I Cor. XV, 21. [79] Rom. VII, 14, 15.

(77) *Καὶ τὸν ἐκ σπέρματος Δαυῒδ· Υἱὸν δὲ Θεοῦ κατά*, etc. Ita cod. Bodl.; Regius pro καὶ τόν habet τήν, et omisit vocem Θεοῦ.

(78) *Ἐγὼ δ' οἶμαι καὶ τὸν Μαρκίωνα*, etc. Vesanam hanc de Christo opinionem ex inquinatis Cerdonianorum lacunis hauserat Marcio. Vide quæ de eo et ejus opera corruptis Scripturæ locis adnotavit Epiphanius hæres. XLI, cap. 1; hæres. XLII, cap. 8, 9, 11, et alibi passim. HUETIUS.

(79) *Οὐ δυναμένους δι' ἐκείνου σώζεσθαι*. Sic habent codices Barberinus et Regius; Bodleianus vero, οὐ δυναμένου δι' ἑαυτοῦ σώζεσθαι, quam lectionem male secutus est Ferrarius.

(80) *Ἀναλαβόντος*. Sic codex Bodleianus; Regius et Barberinus, ἀναλαβόντα.

(81) *Αὐτῷ ποιοῦμεν καὶ πηλίκην χώραν*. Forte legendum εἰ αὐτῷ ποιοῦμεν καὶ τηλίκην χώραν.

(82) *Ταῦτα δέ μοι*. Hæc desiderantur in codice Regio, sed restituuntur e codicibus Bodleiano et Barberino. Mox pro τῆς ἐμφαινομένης scribendum videtur τὰς ἐμφαινομένας.

ἦν (83)· ὁ δὲ πνευματικὸς ἀνακρίνειν πάντα, καὶ A ὑπ' οὐδενὸς ἀνακρίνεσθαι. Καὶ τοῦ μὲν σαρκικοῦ εἰσι φωναί· « Οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ· » τοῦ δὲ πνευματικοῦ· Ὃ θέλω πράσσω, καὶ ὃ μισῶ οὐ ποιῶ. Ἀλλὰ καὶ ὁ ἁρπαγεὶς ἕως τρίτου οὐρανοῦ, καὶ ἀκούσας ἄῤῥητα ῥήματα, ἕτερος ἦν παρὰ τὸν λέγοντα· « Περὶ τοῦ τοιούτου καυχήσομαι, ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι. » Εἰ δὲ καὶ τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος γίνεται, ἵνα Ἰουδαίους κερδήσῃ· καὶ τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσῃ (84)· τοῖς τε ἀνόμοις, ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστοῦ, ἵνα κερδήσῃ τοὺς ἀνόμους· καὶ τοῖς ἀσθενέσιν ἀσθενὴς, ἵνα τοὺς ἀσθενεῖς κερδήσῃ, δῆλον, ὅτι ἐξεταστέον αὐτοῦ τοὺς λόγους, ἰδίᾳ μὲν τοὺς Ἰουδαίους, ἰδίᾳ δὲ ὅτε ἐστὶν ὡς ὑπὸ νόμον, καὶ ἄλλοτε ὅτε ἐστὶν ὡς ἄνομος, ἔσθ' ὅτε B δὲ ὅτε γίνεται ἀσθενής. Οἷον ἃ λέγει κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγὴν, ἀσθενὴς ὢν λέγει· « Τίς γὰρ, φησὶν, ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; » Ὅτε δὲ ξύρεται, καὶ προσφορὰν προσφέρει, ἢ τὸν Τιμόθεον περιτέμνει, Ἰουδαῖος γίνεται· ὅτε δὲ Ἀθηναίοις φησίν· « Εὗρον βωμὸν, ἐν ᾧ ἐγέγραπτο, Ἀγνώστῳ Θεῷ· ὃ οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτο ἐγὼ καταγγέλλω ὑμῖν· » καὶ τό· « Ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· Τοῦ γὰρ καὶ γένος ἐσμὲν, » τοῖς ἀνόμοις ὡς ἄνομος γίνεται, εὐσέβειαν μαρτυρῶν τοῖς ἀσεβεστάτοις, καὶ τῷ εἰπόντι· « Ἐκ Διὸς ἀρχώμεσθα· τοῦ γὰρ καὶ γένος ἐσμὲν, » καταχρησάμενος πρὸς ὃ ἐβούλετο. Τάχα δ' ἔσθ' ὅπου τοῖς μὴ Ἰουδαίοις, ὑπὸ νόμον δὲ, ὑπὸ νόμον γίνεται.

6. Ταῦτα δὲ οὐ μόνον εἰς τὰ περὶ τοῦ Σωτῆρος C χρήσιμα ἡμῖν ἐστι τὰ παραδείγματα, ἀλλὰ καὶ εἰς τὰ περὶ τῶν μαθητῶν, περὶ ὧν καὶ αὐτῶν ἐστί τις κατὰ τὸ ῥητὸν διαφωνία. Τάχα γὰρ τῇ ἐπινοίᾳ εὑρισκόμενος ὑπὸ τοῦ ἰδίου ἀδελφοῦ Σίμων Ἀνδρέου, καὶ ἀκούων· « Σὺ κληθήσῃ Κηφᾶς, » ἕτερός ἐστι παρὰ τὸν ὁρώμενον ἅμα τῷ ἀδελφῷ ὑπὸ τοῦ περιπατοῦντος παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας Ἰησοῦ, καὶ ἀκούοντα ἅμα ἐκείνῳ τῷ Ἀνδρέᾳ· « Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. » Ἔπρεπε γὰρ τῷ Θεῷ (85) λογικώτερον ἀπαγγέλλοντι περὶ τοῦ γενομένου σαρκὸς Λόγου, καὶ τὴν γένεσιν διὰ τοῦτο μὴ ἀναγράψαντι τοῦ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Λόγου, μηδὲ τὸν παρὰ τῇ θαλάσσῃ εὑρημένον, καὶ ἐκεῖθεν καλούμενον εἰπεῖν, ἀλλὰ τὸν εὑρισκόμενον ὑπὸ τοῦ ἀδελφοῦ μείναντος παρὰ τῷ D Ἰησοῦ τῇ δεκάτῃ ὥρᾳ, καὶ διὰ τὸ οὕτως εὑρίσκεσθαι εὐθέως λαμβάνοντα τὸ Κηφᾶς. Ὁ γὰρ ὁρώμενος ὑπὸ τοῦ περιπατοῦντος παρὰ τὴν θάλασσαν τῆς Γαλι-

A dijudicare posse; spiritualem vero omnia dijudicare posse, et a nemine judicari [80]. Et carnalis quidem hæc sunt voces: « Non enim quod volo, hoc facio, sed quod odi, hoc facio [81]; » spiritualis vero: Quod volo, hoc facio, et quod odi, non facio. Quin etiam qui raptus fuit usque ad tertium cœlum, et audivit arcana verba [82], diversus erat ab eo qui dicebat: « Pro hac re gloriabor, pro me ipso autem non gloriabor [83]. » Sin vero etiam Judæis sit quasi Judæus, ut Judæos lucrifaciat; et his qui sub lege erant, tanquam sub lege esset, ut eos qui sub lege erant, lucrifaceret [84]; et his qui sine lege erant; tanquam esset sine lege, cum non esset sine lege Deo, sed obnoxius legi Christi, ut lucrifaceret exleges; et infirmis infirmus, ut infirmos lucrifaceB ret, perspicuum est inquirendas esse diligenter rationes hujus rei, idque privatim in singulis sive cum efficitur tanquam Judæus, sive cum tanquam sub lege, sive cum est quasi sine lege, sive interdum etiam efficitur infirmus. Verbi gratia, illa quæ dicit propter veniam non propter **167** imperium [85], tanquam infirmus exsistens dicit: « Quis enim, inquit, infirmatur, et ego non infirmor [86]? » Cum autem tondetur, et oblationem offert, vel Timotheum circumcidit, fit Judæus [87]. Quando autem Atheniensibus inquit: « Inveni aram in qua scriptum erat: Ignoto Deo. Quod ergo ignorantes colitis, hoc ego vobis annuntio [88]; » et illud: « Sicut et quidam vestratium poetarum dixerunt. Hujus enim et genus sumus [89], » his qui sine lege erant, fit tanquam sine lege, pietatem testibus firmans impiissimis, et illo qui dicit: « Ab Jove principium, » illo illius hemistichio, « Nam hujus progenies etiam sumus, » abusus ad id quod volebat. Fortasse vero interdum his, qui non sunt Judæi, sed sub lege, fit sub lege.

C 6. Cæterum hæc exempla non solum utilia nobis sunt in rebus Servatoris, verum etiam in rebus discipulorum, de quibus etiam ipsis est quædam secundum textum dissonantia. Nam fortasse Simon, qui a suo fratre Andrea invenitur, et audit: « Tu vocaberis Cephas [90], » cogitatione diversus est ab eo qui videtur cum fratre a Jesu deambulante juxta mare Galilææ; diversus etiam ab eo qui cum illo Andrea pariter audit: « Venite post me, et faciam vos piscatores hominum [91]. » Decebat enim ut qui renuntiabat solidiori ratione de Λόγῳ, [hoc est de Filio Dei,] qui factus est caro, qui etiam ortum hanc ob causam non scripsit Filii Dei exsistentis in principio apud Deum, ne inventum quidem apud mare, indeque vocatum dicere, sed narrare inventum a D fratre, qui mansit apud Jesum hora decima, qui etiam eo quod sic inventus fuerit, mox acceperit nomen Cephæ. Nam qui videtur a deambulante juxta mare Galilææ, vix aliquando etiam post illud

[80] I Cor. II, 15. [81] Rom. VII, 15, 19. [82] II Corinth. XII, 3. [83] ibid. 5. [84] I Cor. IX, 20, seq. [85] I Cor. III, 36. [86] II Cor. I, 29. [87] Act. XVI, 3; XXI, 24, 26. [88] Act. XVII, 23. [89] ibid. 28 [90] Joan. I, 41, 42. [91] Matth. IV, 18, 19; Marc. I, 16, 17.

(83) Codex Regius, ἀνακρίνει οἷός τε ᾖ, male; Bodleianus autem et Barberinus ut in nostro textu.

(84) *Καὶ τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσῃ*. Ita cod. Bodl.; male vero codex Regius, καὶ τοῖς ὑπὸ νόμον κερδήσῃ.

(85) Θεῷ. Hæc vox παρέλκει, et omnino est rescinda.

accipit: « Tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam [91]. » Et Jesum quidem apud Joannem agnoscunt baptizare Pharisæi in discipulis ejus, cum aliis rebus præcipuis etiam hoc faciens: at apud tres Jesus haudquaquam baptizat. Insuper Baptista Joannes apud ejusdem nominis evangelistam perseverat non conjectus in carcerem. Contra apud Matthæum fere tentato Jesu in carcerem traditur; quam ob causam secedit etiam Jesus in Galilæam, cavens trudi in carcerem: **163** quando ne carceri quidem traditus invenitur Baptista apud Joannem. Proinde quis adeo sapiens et in tantum idoneus est, ut totum Jesum ex quatuor evangelistis discat, quique valeat unamquamque rem privatim agnoscere, omnesque Christi videre vel peregrinationes, vel sermones, vel opera? Ac convenienter quidem præsenti loco existimamus sexto die Servatorem, quando factum est negotium illud nuptiarum in Cana Galilææ, descendisse Capharnaum, quod interpretatur *ager consolationis*, cum matre, et fratribus, et discipulis. Ad agrum namque consolationis post epulum illud vino celebre cum matre, cumque discipulis venire Servatorem necesse erat consolaturum discipulos, atque eam animam quæ ex Spiritu sancto conceperat, et eos qui illic utilitatem perceperunt: consolaturum, inquam, e fructibus in agro pleno futuris.

A λαίας μόλις ποτὲ καὶ ὕστερον λαμβάνει τό· « Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. » Καὶ ὁ μὲν παρὰ τῷ Ἰωάννῃ Ἰησοῦς γινώσκεται παρὰ τοῖς Φαρισαίοις βαπτίζων ἐν τοῖς μαθηταῖς αὐτοῦ, βαπτίζων (86) καὶ μετὰ τῶν ἄλλων ἐξαιρέτων καὶ τοῦτο ποιῶν· ὁ δὲ παρὰ τοῖς τρισὶν Ἰησοῦς οὐδαμῶς βαπτίζει. Ἔτι δὲ καὶ ὁ Βαπτιστὴς Ἰωάννης μέχρι πολλοῦ παρὰ τῷ ὁμωνύμῳ εὐαγγελιστῇ διαρκεῖ, μὴ βεβλημένος εἰς φυλακήν. Ὁ δὲ παρὰ τῷ Ματθαίῳ σχεδὸν Ἰησοῦ πειραζομένου εἰς τὴν φυλακὴν παραδίδοται· δι' ὃν καὶ ἀναχωρεῖ ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν περιιστάμενος τὸ γενέσθαι ἐν τῇ φυλακῇ· ἀλλ' οὐδὲ εὑρίσκεται ἐν τῷ Ἰωάννῃ ὁ Βαπτιστὴς παραδιδόμενος εἰς φυλακήν. Τίς δ' οὕτως σοφὸς, καὶ ἐπὶ τοσοῦτον ἱκανὸς, B ὡς πάντα τὸν Ἰησοῦν ἀπὸ τῶν τεσσάρων εὐαγγελιστῶν μαθεῖν, καὶ ἕκαστον ἰδίᾳ χωρῆσαι νοῆσαι (87), καὶ πάσας αὐτοῦ τὰς καθ' ἕκαστον τόπον ἰδεῖν ἐπιδημίας, καὶ λόγους, καὶ ἔργα; Καὶ ἃ μέντοιγε κατὰ τὸν (88) προκείμενον τόπον, ἀκολούθως νομίζομεν τῇ ἕκτῃ ἡμέρᾳ τὸν Σωτῆρα (89), ὅτε γεγένηται ἡ κατὰ τὸν γάμον οἰκονομία ἐν Κανᾷ τῆς Γαλιλαίας, καταβεβηκέναι ἅμα τῇ μητρὶ, καὶ τοῖς ἀδελφοῖς, καὶ τοῖς μαθηταῖς εἰς τὴν Καφαρναοὺμ, ὅπερ ἑρμηνεύεται *ἀγρὸς παρακλήσεως* (90). Ἐχρῆν γὰρ μετὰ τὴν ἐν τῷ οἴνῳ εὐωχίαν καὶ εἰς τὸν τῆς παρακλήσεως ἀγρὸν ἅμα τῇ μητρὶ, καὶ τοῖς μαθηταῖς ἐληλυθέναι τὸν Σωτῆρα, παρακαλέσοντα ἐπὶ τοῖς ἐν τῷ πλήρει ἀγρῷ ἐσομένοις καρποῖς τοὺς μαθητευομένους καὶ τὴν συνειληφυῖαν ψυχὴν (91) ἐκ τοῦ ἁγίου Πνεύματος, ἢ τοὺς ἐκεῖ ὠφελημένους.

7. Quærendum attamen quare ad nuptias fratres ejus non vocentur; sed neque erant illic; nec enim dictum est: In Capharnaum autem descendunt cum ipso, et matre sua, et discipulis. Insuper quærendum quare nunc non ingrediuntur Capharnaum, neque ascendunt ad ipsam, sed descendunt. Quare vide an hoc in loco per fratres intelligendæ sint hæ potentiæ quæ cum ipso descenderunt, quæ etiam ad nuptias vocatæ non sunt ob ea quæ prædiximus, cum infra et in locis humilioribus inveniatur ii qui Christi habentur discipuli, et alterius generis homines; quoniam, si vocatur mater ejus, sint quidam proficientes et fructificantes, ad quos etiam descendit Dominus ipse cum ministris verbi Dei et discipulis, tales adjuvans, matre sibi etiam assistente. Sane qui appellantur Capharnaum, videntur non capere diuturniorem Jesu, eorumque, qui cum ipso descenderant, apud se consuetudinem, unde manent quidem apud ipsos non multis diebus. Nam ager consolationis infernæ non capit illuminationem de multis dogmatibus, rerum tenuium cum sit capax.

C 7. Ζητητέον μέντοιγε διὰ τί εἰς μὲν τὸν γάμον οὐ καλοῦνται οἱ ἀδελφοὶ αὐτοῦ· ἀλλ' οὐδὲ ἦσαν ἐκεῖ, οὐ γὰρ εἴρηται· εἰς δὲ τὴν Καφαρναοὺμ καταβαίνουσι μετ' αὐτοῦ, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν μαθητῶν. Ἔτι δὲ ἐξεταστέον διὰ τί νῦν οὐκ εἰσέρχονται εἰς τὴν Καφαρναοὺμ, μηδὲ ἀναβαίνουσιν εἰς αὐτὴν, ἀλλὰ καταβαίνουσιν. Ὅρα οὖν εἰ ἐνταῦθα τοὺς ἀδελφοὺς ἀντὶ τῶν συγκαταβεβηκυιῶν αὐτῷ δυνάμεων ἐκληπτέον, οὐ καλουμένων εἰς τὸν γάμον καθ' ἃς εἴπαμεν διηγήσεις, κατωτέρω δὲ ἐν ὑποδεεστέροις τῶν χρηματιζόντων μαθητῶν τοῦ Χριστοῦ, καὶ ἄλλου εἴδους ὠφελημένων· ὅτι, εἰ καλεῖται μήτηρ αὐτοῦ, εἰσί τινες καρποφοροῦντες, πρὸς οὓς αὐτός τε καταβαίνει ὁ Κύριος σὺν τοῖς ὑπηρέταις τοῦ Λόγου, καὶ μαθηταῖς, τοὺς τοιούτους ὠφελῶν, D καὶ τῆς μητρὸς αὐτῷ συμπαρούσης. Ἐοίκασί γε οἱ καλούμενοι Καφαρναοὺμ μὴ χωρεῖν τὴν ἐπιπλεῖον διατριβὴν παρ' αὐτοῖς τοῦ Ἰησοῦ, καὶ τῶν συγκαταβαινόντων αὐτῷ· ὅθεν μένουσι μὲν παρ' αὐτοῖς οὐ μὴν πολλὰς ἡμέρας· τὸν γὰρ περὶ πλειόνων (92) δογμάτων φωτισμὸν ὁ τῆς κατωτέρω παρακλήσεως

[91] Matth. XVI, 18.

(86) *Βαπτίζων*. Deest in cod. Bodleian. et videtur resecandum.

(87) *Ἰδίᾳ χωρῆσαι νοῆσαι*. Ita codex Bodleianus; Regius, διαχωρῆσαι νοῆσαι.

(88) *Καὶ ἃ μέντοιγε κατὰ τόν*, etc. Ita legitur in omnibus nostris mss.; Huetius vero legendum putavit κατὰ μέντοιγε τόν, etc.

(89) Post Σωτῆρα codex Bodleianus addit πεποιηκέναι, sed omnino redundat.

(90) *Καφαρναοὺμ, ὅπερ ἑρμηνεύεται Ἀγρὸς παρακλήσεως*. Hieronymus *De nominib. Hebr.*; *Capharnaum, ager, vel villa consolationis*. A כפר *pagus*, et נחם, *consolatus est*.

(91) *Συνειληφυῖαν ψυχήν*. Ita codex Bodleianus; Regius, συνειληφυῖαν αὐτὴν ψυχήν, etc.

(92) *Περὶ πλειόνων*, etc. In editione Huetii deest περί, quod restituitur e codice Bodleiano.

ἀγρὸς οὐ χωρεῖ, ὀλιγωτέρων τυγχάνων δεκτικός. A Παραθετέον δὲ πρὸς τὸ θεωρῆσαι διαφορὰς τῶν ἐπιπλεῖον ἢ ἔλαττον δεχομένων τὸν Ἰησοῦν ἐν τῷ· « Ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας, » τὸ ἐν τῷ κατὰ Ματθαῖον τῷ ἀναστάντι ἐκ νεκρῶν μεμαθητευμένοις λεγόμενον, καὶ ἀποστελλομένοις μαθητεῦσαι πάντα τὰ ἔθνη, οὕτως ἔχον· « Ἰδοὺ, μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος· » τοῖς μὲν γὰρ πάντα ὅσα ἐνδέχεται φύσιν ἀνθρωπίνην γνῶναι ἔτι ἐνταῦθα τυγχάνουσαν εἰσομένοις λέγεται δεικτικῶς τό· « Ἐγὼ μεθ' ὑμῶν εἰμι· » καὶ περὶ πάσης τῆς ἐν τοῖς θεωρουμένοις (93) ἀνατολῆς ἡμέρας πλείονας ποιούσης τοῖς μακαριωτάτοις τό· « Πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος· » περὶ δὲ τῶν ἐν Καφαρναοὺμ, πρὸς οὓς, ὡς ὑποδεεστέρους καταβαίνουσιν, οὐ μόνον ὁ Ἰησοῦς, B ἀλλὰ καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ μαθηταί· « Ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας. »

8. Εἰκὸς δὲ οὐκ ἀλόγως ζητήσειν τινὰς, εἰ μετὰ πάσας τὰς ἡμέρας τούτου τοῦ αἰῶνος οὐκ ἔτι ἔσται ὁ εἰπών· « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν, » μετὰ τῶν χωρησάντων αὐτὸν, « ἕως τῆς συντελείας τοῦ αἰῶνος· » τὸ γὰρ ἕως, οἱονεὶ περιγραφήν τινα δηλοῖ χρόνου. Λεκτέον δὲ καὶ πρὸς τοῦτο, ὅτι οὐ ταὐτόν ἐστι τὸ, « Μεθ' ὑμῶν εἰμι (94), » τῷ, Ἐν ὑμῖν εἰμι. Τάχα οὖν κυριώτερον λέγοιμεν οὐκ ἐν τοῖς μαθητευομένοις εἶναι τὸν Σωτῆρα, ἀλλὰ μετ' αὐτῶν, ὅσον τῷ νῷ οὐκ ἐφθάκασιν (95) ἐπὶ τὴν τοῦ αἰῶνος συντέλειαν. Ἐπὰν δὲ τὴν τοῦ κόσμου σταυρωθέντος αὐτοῖς τὴν C συντέλειαν αὐτοῦ ἐνστᾶσαν τὸ ὅσον ἐπὶ τῇ αὐτῶν παρασκευῇ θεωρήσωσι, τότε οὐκ ἔτι μετ' αὐτῶν, ἀλλ' ἐν αὐταῖς γενομένου τοῦ Ἰησοῦ, ἐροῦσι τὸ, « Οὐκ ἔτι ζῶ ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· » καὶ τὸ, « Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; » Ταῦτα δὲ λέγομεν, τηρουμένης πως ἰδίᾳ καὶ τῆς παριστάσης ἐκδοχῆς τὸ, « πάσας τὰς ἡμέρας » λέγεσθαι, τὰς « ἕως συντελείας τοῦ αἰῶνος, » κατὰ τὰ ἐφικτὰ τῇ ἀνθρωπίνῃ φύσει καταλαβεῖν ἔτι ἐνταῦθα τυγχανούσῃ· ἔστι γὰρ καὶ ἐκείνης τῆς ἑρμηνείας τηρουμένης ἐπιστῆσαι τῷ (96) ἐγώ, ἵνα ὁ μὲν ἕως τῆς συντελείας μετὰ τῶν ἀποστελλομένων μαθητεύειν πάντα τὰ ἔθνη ᾖ ὁ κενώσας ἑαυτὸν, καὶ τὴν τοῦ δούλου μορφὴν λαβών· ὡσπερεὶ δὲ τοῦτο (97) ἕτερος ἐν τῇ καταστάσει ὢν, τῇ πρὸ τοῦ κενῶσαι D ἑαυτὸν, μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος, γένηται μετὰ τούτων, « ἕως » ὑπὸ τοῦ Πατρὸς « τεθῶσι πάντες οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, » μετὰ ταῦτα « ὅτε παραδίδωσιν » ὁ Υἱὸς « τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ, » τοῦ Πατρὸς ἐροῦντος

Præterea ut videamus differentiam eorum qui plus vel minus suscipiunt Jesum, addendum est verbis illis: « Illic manserunt non multis **169** diebus [92], » illud quod dicitur a Domino resuscitato ex mortuis apud Matthæum, discipulis missis ad docendum omnes gentes, sic habens: « Ecce ego vobiscum sum omnibus diebus, usque ad consummationem sæculi [93]. » Namque agnituris quidem omnia quæcunque agnoscere potest humana natura, dum hic degit, dicitur demonstrative hoc: « Ego vobiscum sum: » de omni vero ortu, et illuminatione, quæ his exoritur, qui speculantur, quæque dies plures ob oculos ponit beatissimis, illud: « Omnibus diebus, usque ad consummationem sæculi; » de his autem qui sunt in Capharnao, ad quos, utpote infra exsistentes, descendunt non solum Jesus, verum etiam mater ejus, et fratres ejus, et discipuli, dicitur: « Illic manserunt non multis diebus. »

8. Credibile autem est aliquos non sine causa quæsituros an post omnes hujus sæculi dies non amplius futurus sit cum his qui eum acceperint usque ad consummationem sæculi, ille qui dixit: « Ecce ego vobiscum sum usque ad consummationem sæculi; » nam particula *usque* veluti circumscriptionem quamdam denotat temporis. Proinde ad hoc etiam est dicendum, non idem esse, « Vobiscum sum, » et, In vobis sum. Quamobrem fortasse magis proprie diceremus, non in discipulis Servatorem esse, sed cum ipsis, quantum mente non prævenerint consummationem sæculi. Cum vero instantem consummationem mundi viderint sibi crucifixi, quantum ad illorum conatum attinet, tunc non amplius cum ipsis, sed in ipsis exsistente Jesu, dicent illud: « Non amplius vivo ego, sed vivit in me Christus [94], » et illud: « An experimentum quæritis loquentis in me Christi [95]? » Hæc autem dicimus, observata privatim a nobis aliquo modo ea expositione quæ docet, « omnibus diebus, usque ad consummationem sæculi » dici juxta ea quæ humana natura comprehendere potest, dum hoc in mundo exsistit; nam possumus etiam, servata illa interpretatione, notare vocabulum *ego*, ut usque ad consummationem cum his qui mittentur ad docendum omnes gentes [96], sit ille, qui evacuavit seipsum, forma servi sumpta [97]: tanquam autem ab hoc alius in statu præcedenti suam exinanitionem, post consummationem sæculi sit cum istis, « donec » a Patre « positi fuerint omnes inimici ejus subsellium pedum ejus [98] » post hæc, « cum tradiderit »

[92] Joan. II, 12. [93] Matth. XXVIII, 20. [94] Galat. II, 20. [95] II Cor. XIII, 3. [96] Matth. XXVIII, 19. [97] Philipp. II, 7. [98] Hebr. X, 13.

(93) *Λέγεται δεικτικῶς.... ἐν τοῖς θεωρουμένοις.* Hæc omnia desunt in codice Regio, ac proinde in editione Huetii; sed restituuntur e codice Bodleiano.

(94) Codex Bodleianus restituit τῷ, Ἐν ὑμῖν εἰμι, quod desideratur in codice Regio.

(95) *Ὅσον τῷ νῷ οὐκ ἐφθάκασιν.* Ita optime habet codex Bodleianus; male vero Regius, ὅσων τῷ νῷ οὐκ ἐφθακόσιν.

(96) *Τῷ.* Sic codex Bodleianus; Regius, τό.

(97) *Τοῦτο.* Lege τούτου. Totum hunc locum Ferrarius videtur legisse: ὥσπερ εἰ εἶπε τοῦτο· vertit enim, *tanquam si hoc dixisset, quod sit cum his post consummationem sæculi alius, exsistens in statu præcedenti suam exinanitionem.*

Filius « regnum Deo, et Patri [99],» **170** Patre dicente illis: « Ecce ego vobiscum sum [1]. » Utrum vero omnibus diebus usque ad hoc tempus, an simpliciter omnibus diebus, an non omnibus, sed omni, potest qui velit considerare. Nunc enim quæ proposita sunt nos non permittunt usque adeo ab oratione digredi.

9. Sane Heracleon ipse enarrans: « Postea descendit in Capharnaum [2], » alterius rursus dispensationis principium inquit declarari, voce *descendit* non otiose dicta; et inquit Capharnao significari hæc extrema mundi, hæc materialia, ad quæ descendit. « Et quia non aptus, inquit, esset locus, nihil ea in civitate vel fecisse, vel locutus fuisse dicitur. » Quamobrem si in reliquis evangelistis scriptum fuisset, nihil in Capharnao Dominum nostrum vel fecisse vel dixisse, fortasse dubitassemus recipere ipsius interpretationem. Nunc autem Matthæus quidem Dominum nostrum, relicta Nazareth, profectum habitasse Capharnaum civitatem maritimam [3], et exinde initium prædicandi fecisse inquit, dicentem: « Resipiscite, instat enim regnum cœlorum [4]. » Marcus vero [5], postquam tentasset Dominum diabolus, postquam traditus fuisset Joannes in carcerem, nobis annuntiat Dominum advenisse in Galilæam prædicantem Evangelium Dei; ingrediuntur etiam Capharnaum post electionem quatuor piscatorum ad functionem muneris apostolici, statimque sabbatis docuit in synagoga, et obstupescebant super doctrina illius. Quin etiam actionem quamdam eum fecisse in Capharnao scribit, statim enim inquit [6]: « Erat in synagoga eorum homo spiritui immundo obnoxius, et exclamavit dicens: Ah quid rei nobis tecum est, Jesu Nazarene? venisti ad perdendum nos? novi te, quis sis, nimirum ille Filius Dei. Et increpavit illum Jesus dicens: Obmutesce, et exi ab homine. Et cum discerpsisset eum spiritus immundus, exclamassetque voce magna, exiit ab eo. Et obstupuerunt omnes. » Et socrus Simonis liberatur in Capharnao a febri. Ad hæc Marcus inquit [7] vesperi curatos fuisse omnes male habentes, et qui a dæmoniis agitabantur. Quin etiam Lucas similia cum Marco loquitur [8] de Capharnao, dicens: « Et venit in Capharnaum civitatem Galilææ, ibique docebat illos sabbatis. Et stupebant super **171** doctrina ejus, quia cum potestate conjunctus erat sermo ipsius. Et in synagoga erat homo habens spiritum dæmonis immundi, et exclamavit voce magna dicens: Eia, quid tibi nobiscum est, Jesu Nazarene? venisti ad perdendum nos? scio te quis sis, Sanctus ille Dei. Et increpavit illum Jesus, dicens: Obmutesce, et exi ab eo. Et cum projecisset illum dæmonium in medium, exiit ab illo, nihilque illi nocuit. » Et postea narrat [9], quomodo surgens Dominus e synagoga ingressus est in domum Si-

A αὐτοῖς τό· « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι. » Πότερον δὲ, πάσας ἡμέρας ἕως τοῦδε τοῦ χρόνου, ἢ ἁπλῶς, πάσας τὰς ἡμέρας, τοῦδε πάσας (98), ἀλλὰ πᾶσαν, ἔνεστι σκοπεῖν τῷ βουλομένῳ. Νῦν γὰρ ἡμᾶς οὐκ ἀπαιτεῖ τὰ προκείμενα ἐπὶ τοσοῦτον παρεκβῆναι τοῦ λόγου.

9. Ὁ μέντοιγε Ἡρακλέων τὸ, « Μετὰ τοῦτο κατέβη εἰς Καφαρναοὺμ, » αὐτὸς διηγούμενος, ἄλλης πάλιν οἰκονομίας ἀρχὴν φησι δηλοῦσθαι, οὐκ ἀργῶς τοῦ *κατέβη* εἰρημένου· καί φησι τὴν Καφαρναοὺμ σημαίνειν ταῦτα τὰ ἔσχατα τοῦ κόσμου, ταῦτα τὰ ὑλικὰ εἰς ἃ κατῆλθε· καὶ διὰ τὸ ἀνοίκειον, φησὶν, εἶναι τὸν τόπον, οὐδὲ πεποιηκώς τι λέγεται ἐν αὐτῇ, ἢ λελαληκώς. Εἰ μὲν οὖν μηδὲ ἐν τοῖς λοιποῖς Εὐαγ-
B γελίοις πεποιηκώς τι, ἢ λελαληκὼς ἐν τῇ Καφαρναοὺμ ὁ Κύριος ἡμῶν ἀνεγέγραπτο, τάχα ἂν ἐδιστάξαμεν περὶ τοῦ παραδέξασθαι αὐτοῦ τὴν ἑρμηνείαν. Νυνὶ δὲ ὁ Ματθαῖος καταλιπόντα φησὶ τὸν Κύριον ἡμῶν τὴν Ναζαρὲτ, ἐλθόντα κατῳκηκέναι εἰς Καφαρναοὺμ τὴν παραθαλασσίαν, καὶ ἀπὸ τότε ἀρχὴν τοῦ κηρύσσειν πεποιῆσθαι λέγοντα· « Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. » Ὁ δὲ Μάρκος ἀπὸ τοῦ πρὸς τὸν διάβολον πειρασμοῦ, μετὰ τὸ παραδοθῆναι τὸν Ἰωάννην, ἀπαγγέλλει ἡμῖν εἰς τὴν Γαλιλαίαν κηρύσσοντα τὸ Εὐαγγέλιον τοῦ Θεοῦ ἐληλυθέναι τὸν Κύριον· καὶ μετὰ τὴν εἰς ἀποστολὴν ἐκλογὴν τῶν τεσσάρων ἁλιέων εἰσπορεύονται εἰς Καφαρναοὺμ, καὶ εὐθὺς τοῖς σάββασιν ἐδίδασκεν εἰς
C τὴν συναγωγὴν, καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. Ἀλλὰ καὶ πρᾶξιν αὐτοῦ ἀναγράφει γεγενημένην ἐν Καφαρναούμ· εὐθὺς γάρ φησιν· « Ἐν τῇ συναγωγῇ αὐτῶν ἦν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἀνέκραξε λέγων· Ἔα, τί ἡμῖν καὶ σοὶ, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; Οἴδαμέν σε τίς εἶ, ὁ Υἱὸς τοῦ Θεοῦ. Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων· Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ· ὅτε καὶ ἐσπάραξεν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον, καὶ φωνῆσαν φωνῇ μεγάλῃ ἐξῆλθεν ἐξ αὐτοῦ. Καὶ ἐθαμβήθησαν ἅπαντες. » Καὶ ἡ πενθερὰ Σίμωνος τοῦ πυρετοῦ ἀπαλλάσσεται ἐν τῇ Καφαρναούμ. Πρὸς τούτοις ὁ Μάρκος φησὶ ἑσπέρας γεγενημένης ἐν τῇ Καφαρναοὺμ τεθεραπεῦσθαι πάντας τοὺς κακῶς ἔχοντας καὶ δαιμονιζομένους. Καὶ ὁ Λουκᾶς δὲ τὰ πα-
D ραπλήσια τῷ Μάρκῳ ἀπαγγέλλει περὶ τῆς Καφαρναοὺμ, λέγων· « Καὶ ἦλθεν εἰς Καφαρναοὺμ, πόλιν τῆς Γαλιλαίας, καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι. Καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ· Ἔα, τί ἡμῖν καὶ σοὶ, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; Οἶδά σε τίς εἶ, ὁ Ἅγιος τοῦ Θεοῦ. Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων· Φιμώθητι, καὶ ἔξελθε ἀπ' αὐτοῦ. Τότε καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς

[99] I Cor. xv, 25. [1] Matth. xxviii, 20. [2] Joan. ii, 12. [3] Matth. iv, 13. [4] ibid. 17. [5] Marc. i, 13, 14 seq. [6] ibid. 24 seq. [7] ibid. 31 seq. [8] Luc. iv, 33 seq. [9] Luc. iv, 38, 39.

(98) *Τοῦδε πάσας*. Lego ἢ οὐδὲ πάσας.

μέσον, ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν.» Καὶ μετὰ ταῦτα (99) ἀπαγγέλλει ὡς ἀναστὰς ὁ Κύριος ἀπὸ τῆς συναγωγῆς εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος, καὶ ἐπιτιμήσας τῷ ἐν τῇ πενθερᾷ αὐτοῦ πυρετῷ ἀπήλλαξεν αὐτὴν τῆς νόσου· μεθ' ἣν θεραπευθεῖσαν, «Δύντος, φησὶ, τοῦ ἡλίου, πάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις (1) ποικίλαις, ἦγον αὐτοὺς πρὸς αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς ἐθεράπευεν (2) αὐτούς. Ἐξήρχοντο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν κραυγάζοντα, καὶ λέγοντα, ὅτι Σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν Χριστὸν αὐτὸν εἶναι.» Ταῦτα δὲ πάντα περὶ τῶν ἐν Καφαρναοὺμ τῷ Σωτῆρι εἰρημένων καὶ πεπραγμένων παρεστήσαμεν, ὑπὲρ τοῦ ἐλέγξαι τὴν Ἡρακλέωνος ἑρμηνείαν, λέγοντος· «Διὰ τοῦτο οὐδὲ πεποιηκώς τι λέγεται ἐν αὐτῇ, ἢ λελαληκώς.» Ἢ γὰρ δύο ἐπινοίας διδότω καὶ αὐτὸς τῆς Καφαρναοὺμ, καὶ παριστάτω, καὶ πειθέτω ποίας· ἢ τοῦτο ποιῆσαι μὴ δυνάμενος ἀφιστάσθω τοῦ λέγειν τὸν Σωτῆρα μάτην τινὶ τόπῳ (3) ἐπιδεδημηκέναι. Καὶ ἡμεῖς δὲ, Θεοῦ διδόντος, γενόμενοι κατὰ τὰ τοιαῦτα χωρία τῆς συναναγνώσεως ὅπου δόξαι μηδὲν (4) ἠνυκέναι ἐπιδημήσας χωρίοις τισὶ, πειρασόμεθα τὸ μὴ μάταιον τῆς ἐπιδημίας αὐτοῦ τρανῶσαι.

A monis, et cum increpasset febrim in socru ipsius, liberavit eam a morbo. Post quam liberatam, «Occidente, inquit [10], sole omnes qui habebant infirmos variis morbis, ducebant illos ad eum: at ille singulis manus imponens sanabat eos. Exibant autem dæmonia a multis clamantia, ac dicentia: Tu es ille Filius Dei: et increpans non sinebat ea loqui, quod sciebant ipsum esse Christum.» Hæc autem omnia docuimus ex his quæ Servator vel dixit, vel fecit in Capharnao, ut redargueremus Heracleonis interpretationem, dicentis: «Hanc ob causam Jesus dicitur neque fecisse aliquid in ea, aut locutus fuisse.» Aut enim considerationes duas urbi Capharnaum tribuat etiam ipse, et doceat, et persuadeat qualesnam sint; aut hoc facere non valens, dicere B cesset Servatorem frustra in aliquem locum advenisse. At nos, Deo dante, cum pervenerimus ad hunc textum, conabimur manifestare non vanum fuisse illius accessum, etiamsi ex lectione ferme appareat eum ad aliqua loca profectum nihil fecisse.

10. Ἔτι δὲ ὁ Ματθαῖος, εἰσελθόντος τοῦ Κυρίου εἰς τὴν Καφαρναοὺμ, φησὶ τὸν ἑκατόνταρχον αὐτῷ προσεληλυθέναι, λέγοντα· «Ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς, δεινῶς βασανιζόμενος,» καὶ ἀκηκοέναι μεθ' ἕτερα εἰρημένα τῷ Κυρίῳ περὶ αὐτοῦ (5) τό· «Ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι·» καὶ τὰ περὶ τῆς τοῦ Πέτρου (6) πενθερᾶς σύμφωνα τοῖς ἄλλοις δυσὶ καὶ αὐτὸς παρέστησεν. Ἡγοῦμαι δὲ εἶναι φιλότιμον, καὶ πρέπον τῷ ἐν Χριστῷ φιλομαθεῖ συναγαγεῖν (7) ἀπὸ τῶν τεσσάρων Εὐαγγελίων πάντα τὰ περὶ τῆς Καφαρναοὺμ ἀναγεγραμμένα, καὶ τοὺς ἐν αὐτῇ λόγους, καὶ ἔργα τοῦ Κυρίου, καὶ ὁσάκις εἰς αὐτὴν ἐπιδεδήμηκε, καὶ ὥς ποτε (8) μὲν λέγεται καταβεβηκέναι εἰς αὐτὴν, ποτὲ δὲ εἰσεληλυθέναι, καὶ πόθεν· ταῦτα γὰρ ἀλλήλοις συντεθέντα οὐκ ἐάσει ἡμᾶς διαπεσεῖν εἰς τὴν περὶ τῆς Καφαρναοὺμ ἐκδοχήν. Πλὴν εἰ καὶ νοσοῦντες ἐκεῖ θεραπεύονται, καὶ ἄλλαι δυνάμεις ἐκεῖ γίνονται, τό τε κηρύσσειν, «Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν,» ἐκεῖθεν ἄρχεται, ἔοικεν εἶναι σύμβολον, ὡς κατὰ τὰς ἀρχὰς ὑπεδείξαμεν (9), ὑποδεεστέρου τινὸς χωρίου, παρακλήσεως τάχα διὰ τὸν Ἰησοῦν γινομένου, παρακαλέσαντα ἐφ' οἷς ἐδίδαξε, καὶ πεποίηκεν ἐκεῖ τοῦ τόπου *χωρίου παρακλήσεως*· ἴσμεν γὰρ καὶ τόπων ὀνόματα ἐπώνυμα τυγχάνοντα τοῖς κατὰ τὸν Ἰησοῦν πράγμασιν· ὥσπερ τὰ Γέργεσα, ἔνθα παρ-

10. Præterea vero Matthæus, ingrediente Domino in Capharnaum, inquit centurionem ad ipsum accessisse dicentem: «Famulus meus decumbit domi paralyticus, ac graviter discruciatur [11].» et post C alia quæ Dominus de ipso dicit, audisse: «Vade, et sicut credidisti, fiat tibi [12];» et de Petri socru consona aliis duobus etiam ipse docuit. Proinde honorificum et Christi studioso decorum arbitror esse, colligere ex quatuor Evangeliis omnia quæ de Capharnao sunt scripta, sermonesque in ea habitos, et opera Domini, et quoties ad ipsam accessit, et ut aliquando quidem descendisse **172** ad ipsam dicitur, aliquando vero ingressus fuisse; et unde. Hæc enim inter se collata non sinent nos aberrare in his quæ ad intelligentiam civitatis Capharnai pertinent. Cæterum etiamsi ægrotantes illic curentur, et aliæ virtutes illic fiant, inde tamen incipit Dominus prædicare, quod «instat regnum cœlorum [13].» id quod videtur signum esse, ut principio subostenD dimus, loci cujusdam humilioris, qui fortasse consolationis locus efficitur per Jesum dantem illi solamen ex his quæ illic docuit et fecit in loco qui est *consolationis ager*: scimus enim etiam locorum nomina ejusdem nominis esse cum rebus per Jesum factis; quemadmodum Gergesa urbs, ubi rogaverunt eum locorum illorum cives ut e finibus suis

[10] Luc. IV, 40, 41. [11] Matth. VIII, 6. [12] ibid. 13. [13] Matth. IV, 17.

(99) *Καὶ μετὰ ταῦτα*. In Regio codice deest καί, sed habetur in Bodleiano.

(1) Codex Bodleianus, ἀσθενεῖς ἐν νόσοις.

(2) Codex Bodleianus, ἐθεράπευεν, Regius ἐθεράπευσεν.

(3) Codex Bodleianus, τῷ τόπῳ.

(4) Codex Bodleianus, τῆς συναναγνώσεώς που δοξάσῃς μηδὲν ἂν ἠνυκέναι.

(5) *Περὶ αὐτοῦ*. Sic codex Bodleianus recte; Regius παρ' αὐτοῦ.

(6) *Τοῦ Πέτρου*, deest in codice Regio, sed restituitur e Bodleiano, ubi mox legitur σύμφωνα, non συμφώνως, uti habet codex Regius.

(7) *Συναγαγεῖν*. Ita codex Bodleianus; Regius, συνάγειν.

(8) *Ὥς ποτε*. Sic codex Bodleianus; in Regio deest ὡς.

(9) *Ὑπεδείξαμεν*. Sic codex Bodleianus; Regius, ὑπεδεξάμεθα.

A discederet[14], interpretatione est, *habitatio ejicientium*. Rursum de Capharnao hæc etiam observavimus, in ea non solum prædicare Dominum incepisse : « Instat cœlorum regnum ; » verum, ut tres evangelistæ ostendunt, primas illic etiam virtutes edidisse. Quorum nullus in his mirabilibus quæ primum facta fuisse scripsit in Capharnao, imitatus est in notando primo miraculo discipulum Joannem dicentem : « Hoc initium signorum edidit Jesus in Cana Galilææ[15]. » Neque enim erat initium signorum illud quod editum fuit in Capharnao, eo quod præcipuum quidem signum Filii Dei sit exhilaratio ; at propter ea quæ hominibus accidunt, sit repræsentativum ; non tam per curationem Verbo pulchritudinem suam ostentante, dum ægros curat, quam dum sobria potione eos exhilarat, quibus per valetudinem convivio B interesse licet.

εκάλεσαν αὐτὸν μεταδῆναι ἐκ τῶν ὁρίων αὐτῶν οἱ τῶν χοίρων (10) πολῖται, ἑρμηνεύεται *παροικία ἐκδεδληκότων*. Ἔτι δὲ καὶ τοῦτο περὶ τῆς Καφαρναοὺμ τετηρήκαμεν, ὅτι οὐ μόνον ἐν αὐτῇ κηρύσσειν τὸ, « Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν, » ἤρξατο· ἀλλὰ, κατὰ τοὺς τρεῖς εὐαγγελιστὰς, τὰς πρώτας δυνάμεις ἐκεῖ πεποίηκεν. Οὐδεὶς δὲ τῶν τριῶν ἐφ' οἷς πρῶτον ἀνέγραψε παραδόξοις ἐν τῇ Καφαρναοὺμ γεγενημένοις τὴν τοῦ μαθητοῦ Ἰωάννου ἐπὶ τῷ πρώτῳ ἔργῳ σημείωσιν πεποίηται λέγοντος· « Ταύτην ἀρχὴν τῶν σημείων ἐποίησεν ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας. » Οὐ γὰρ ἦν ἀρχὴ τῶν σημείων τὸ ἐν Καφαρναοὺμ, τῷ προηγούμενον μὲν σημεῖον εἶναι τοῦ Υἱοῦ τοῦ Θεοῦ τὴν εὐφροσύνην· διὰ δὲ τὰ τοῖς ἀνθρώποις συμβεβηκότα παραστατικὸν (11), οὐχ οὕτως τὴν θεραπείαν ἐπιδεικνυμένου τοῦ Λόγου τὸ ἴδιον κάλλος, ἐν τῷ θεραπεύειν τοὺς πεπονθότας, ὅσον ἐν τῷ εὐφραίνειν τῷ νηφαλίῳ πόματι τοὺς διὰ τοῦ ὑγιαίνειν καὶ εὐωχίᾳ σχολάζειν δυναμένους.

11. « Et proximum erat Pascha Judæorum[16]. » Sapientissimi Joannis diligentiam mecum reputans, quærebam quid sibi velit additamentum *Judæorum*. Quæ enim alia gens habet Paschatis solemnitatem ? Quocirca cum suffecisset dicere : Et in propinquo erat Pascha : vide ne forte Pascha Judæorum dicatur ad differentiam Paschatis divini : quandoquidem alterum est Pascha humanum, nempe eorum qui non celebrant illud ex voluntate Scripturæ ; alterum vero divinum, verum scilicet, quod spiritu et veritate perficitur ab his qui Deum spiritu et veritate adorant. Audiamus igitur Domini de Pa- C schate legem sancientis verba, quando etiam primum nominatum fuit in Scriptura[17] : « Et locutus est Dominus ad Moysen et Aaron in terra Ægypti, dicens : [(13) Mensis iste vobis initium mensium erit : primus erit vobis in mensibus anni. Loquere ad universum cœtum filiorum Israel, dicens :] **173** Decima mensis hujus tollat unusquisque agnum per familias, et domos suas ; » et post pauca, in quibus nondum Pascha nominatim dictum fuerat, subjungit[18] : « Sic autem illum comedetis : Renes vestri circumcincti erunt, et calceamenta vestra in pedibus vestris, et baculi in manibus vestris, et comedetis ipsum cum festinatione : Pascha est Domini : » nec enim dicit : Pascha est vestrum. Et paulo post[19] sic iterum nominat solemnitatem : « Et erit, si di- D xerint vobis filii vestri : Quæ est ista religio ? dicetis ad eos : Victima est Pascha Domini, quoniam protexit domos filiorum Israel. » Rursumque post pauca[20] : « Locutus est autem Dominus ad Moysen et Aaron dicens : Hæc est lex Paschatis : Omnis alienigena ex eo non comedet[21]. » Et rursus post pauca : « Si quis autem accesserit ad vos prosely-

11. « Καὶ ἐγγὺς ἦν τὸ Πάσχα τῶν Ἰουδαίων. » Τὴν τοῦ σοφωτάτου Ἰωάννου ἐξετάζων ἀκρίβειαν κατ' ἐμαυτὸν, ἐζήτουν τί βούλεται αὐτῷ ἡ προσθήκη, *τῶν Ἰουδαίων*. Ποίου γὰρ ἄλλου ἔθνους ἐστὶν ἑορτὴ τὸ Πάσχα ; Διόπερ αὔταρκες ἦν εἰπεῖν (12)· Καὶ ἦν ἐγγὺς τὸ Πάσχα· μήποτε δὲ ἐπεὶ τὸ μέν τί ἐστι Πάσχα ἀνθρώπινον τῶν μὴ κατὰ βούλησιν τῆς Γραφῆς ἐπιτελούντων αὐτό· τὸ δέ τι θεῖον, τὸ ἀληθὲς, πνεύματι καὶ ἀληθείᾳ ἐνεργούμενον ὑπὸ τῶν πνεύματι καὶ ἀληθείᾳ προσκυνούντων τὸν Θεὸν, ἀντιδιέσταλται πρὸς τὸν θεῖον, τὸ λεγόμενον *τῶν Ἰουδαίων*. Ἀκούσωμεν γοῦν τοῦ Κυρίου νομοθετοῦντος τὸ Πάσχα, τί φησι, ὅτε καὶ πρῶτον ὠνόμασται ἐν τῇ Γραφῇ· « Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν ἐν γῇ Αἰγύπτου λέγων· Ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτός ἐστιν ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ. Λάλησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ, λέγων· Τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ' οἴκους πατριῶν· » καὶ μετ' ὀλίγα, ἐν οἷς οὐδέπω τὸ Πάσχα ὀνομαστὶ εἴρητο, ἐπιφέρει· « Οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν, καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς· Πάσχα ἐστὶ τοῦ Κυρίου. » Οὐ γάρ φησι· Πάσχα ἐστὶν ὑμῶν. Καὶ μετ' ὀλίγα δεύτερον οὕτως ὀνομάζει τὴν ἑορτήν· « Καὶ ἔσται, ἐὰν λέγωσι πρὸς ὑμᾶς οἱ υἱοὶ ὑμῶν· Τίς ἡ λατρεία αὕτη ; καὶ ἐρεῖτε αὐτοῖς· Θυσία τὸ Πάσχα τοῦ Κυρίου, ὡς ἐσκέπασε τοὺς οἴκους τῶν υἱῶν Ἰσραήλ. » Καὶ πάλιν δὲ μετ' ὀλίγα· « Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν λέγων· Οὗτος ὁ νόμος τοῦ Πάσχα· Πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ. » Καὶ πάλιν μετ' ὀλίγα· « Ἐὰν δέ τις προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος, καὶ ποιῇ τὸ Πάσχα Κυρίου, περιτεμεῖται αὐτοῦ

[14] Matth. VIII, 4 ; Marc. V, 17 ; Luc. VIII, 17. [15] Joan. II, 11. [16] ibid. 13. [17] Exod. XII, 1-3 seq. [18] ibid. 11. [19] ibid. 26, 27. [20] ibid. 43. [21] ibid. 42.

(10) *Χοίρων*. Scribendum videtur χωρίων.

(11) *Πειραστατικόν*. Sic codex Bodleianus ; Regius, περιστατικόν. Huetius legebat περιστατικὰ, οὐχ οὕτως κατὰ τὴν θεραπείαν.

(12) *Εἰπεῖν*. Codex Bodleianus, εἰ εἶπεν.

(13) Hæc ex interpretatione Perionii supplevimus.

πᾶν ἀρσενικόν. » Παρατηρητέον δὲ, ὅτι ἐν τῇ νομοθεσίᾳ οὐδαμοῦ λέγεται, Πάσχα ὑμῶν, ἀλλ' ἅπαξ μὲν ἐν οἷς προεθέμεθα χωρὶς πάσης προσθήκης, τρὶς δὲ, « Τὸ Πάσχα τοῦ Κυρίου » Πρὸς δὲ τὸ παραδέξασθαι τοῦθ' οὕτως ἔχειν περὶ τῆς διαφορᾶς τοῦ πάσχα Κυρίου καὶ πάσχα Ἰουδαίων ἴδωμεν καὶ τὰ ἐν τῷ Ἠσαΐᾳ τοῦτον τὸν τρόπον εἰρημένα· « Τὰς νουμηνίας ὑμῶν, καὶ τὰ σάββατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν, καὶ ἀργίαν καὶ τὰς νουμηνίας ὑμῶν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. » Οὐκ ἴδια γὰρ ἑαυτοῦ φησιν ὁ Κύριος τὰ ὑπὸ τῶν ἁμαρτανόντων ἐπιτελούμενα, ὑπὸ τῆς ψυχῆς αὐτοῦ, εἴ τίς ποτέ ἐστι, μισούμενα (14), οὔτε τὰς νουμηνίας, οὔτε τὰ σάββατα, οὔτε ἡμέραν μεγάλην, οὔτε νηστείαν, οὔτε τὰς ἑορτάς. Ἐν μέντοιγε τῇ νομοθεσίᾳ τῆς Ἐξόδου περὶ σαββάτου ταῦτα λέγεται· « Εἶπε δὲ Μωϋσῆς πρὸς αὐτούς· Τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε Κύριος· Σάββατα ἀνάπαυσις ἁγία τῷ Κυρίῳ· » Καὶ μετ' ὀλίγα· « Εἶπε δὲ ὁ Μωϋσῆς· Φάγετε, σήμερον γάρ ἐστι σάββατα τῷ Κυρίῳ. » Καὶ ἐν Ἀριθμοῖς πρὸ τούτων ἐφ' ἑκάστῃ ἑορτῇ θυσιῶν, ὡς ἑορτῆς οὔσης κατὰ τὸν νόμον τοῦ ἐνδελεχισμοῦ, καὶ ἑκάστης ἡμέρας, ταῦτα γέγραπται· « Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν· Ἀπάγγειλαι τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς λέγων· Τὰ δῶρά μου, δόματά μου, καρπώματά μου εἰς ὀσμὴν εὐωδίας διατηρήσετε προσφέρειν μοι ἐν ταῖς ἑορταῖς μου. Καὶ ἐρεῖς πρὸς αὐτούς· Ταῦτα τὰ καρπώματα, ὅσα προσάξετε τῷ Κυρίῳ. » Ἰδίας γὰρ ἑορτὰς ὠνόμασε, καὶ οὐ τῶν νομοθετουμένων, τὰς ἐκκειμένας ἐν τῇ Γραφῇ, καὶ δῶρα αὐτοῦ, καὶ δόματα αὐτοῦ. Ὅμοιον δέ τι τούτοις ἐστὶ καὶ περὶ τοῦ λαοῦ ἐν τῇ Ἐξόδῳ ἀναγεγραμμένον, ὅστις ὑπὸ τοῦ Θεοῦ ἴδιος εἶναι λέγεται, ὅτε μὴ ἁμαρτάνει· ἀποκηρύττων δὲ αὐτὸν ἐν τῇ μοσχοποιίᾳ λαὸν Μωϋσέως ὠνόμασε· « Πρὸς γὰρ μὲν τὸν Φαραὼ ἐρεῖς, φησί· Τάδε λέγει Κύριος· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσῃ μοι ἐν τῇ ἐρήμῳ· ἐὰν δὲ μὴ βούλῃ ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐξαποστέλλω ἐπὶ σὲ, καὶ ἐπὶ τοὺς θεράποντάς σου, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τοὺς οἴκους σου κυνόμυιαν, καὶ πλησθήσονται αἱ οἰκίαι τῶν Αἰγυπτίων τῆς κυνομυίας, καὶ εἰς τὴν γῆν, ἐφ' ἧς εἰσιν, ἐπ' αὐτῆς· καὶ παραδοξάσω τῇ ἡμέρᾳ ἐκείνῃ τὴν γῆν Γεσὲμ, ἐφ' ἧς ὁ λαός μου ἔπεστιν ἐπ' αὐτῆς, ἐφ' ᾧ οὐκ ἔστι κυνόμυια, ἵνα εἰδῇς, ὅτι ἐγώ εἰμι Κύριος, ὁ Κύριος πάσης τῆς γῆς. Καὶ δώσω διαστολὴν ἀνὰ μέσον τοῦ ἐμοῦ λαοῦ. Πρὸς δὲ τὸν Μωϋσέα ἐλάλησε Κύριος λέγων· Βάδιζε, κατάβηθι τὸ τάχος, ἠνόμησε γὰρ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς (15) Αἰγύπτου. » Ὥσπερ οὖν ὁ λαὸς μὴ ἁμαρτάνων μὲν, τοῦ Θεοῦ ἐστιν, ἁμαρτάνων δὲ οὐκ ἔτι λέγεται εἶναι αὐτοῦ· οὕτω καὶ αἱ ἑορταὶ, ὅτε μὲν μισοῦνται ὑπὸ τῆς τοῦ Κυρίου ψυχῆς, τῶν ἁμαρτανόντων εἰσὶν ἑορταί·

A tus, et fecerit Pascha Domini, circumcidetis omne ipsius masculinum. » Cæterum illud observandum est, quod in legis sanctione nullibi dicatur, Pascha vestrum, sed in his quæ citavimus, semel tantum, « Pascha, » absque ullo additamento, et ter, « Pascha Domini. » Ut vero confirmemus hoc sic se habere de differentia Paschatis Domini et Paschatis Judæorum, videamus quæ in Isaia hunc in modum sunt scripta [22]: « Novilunia vestra, et Sabbata, et diem magnam non tolero; jejunium, et segnitium, et novilunia vestra, et festivitates vestras odit anima mea. » Minime enim ad seipsum proprie pertinere inquit Dominus quæ a peccatoribus perficiuntur, [(16) ab anima ejus, si quæ tandem illa est, odio habita,] non novilunia, non Sabbata, non diem ma-
6. Quod si dicimus aliqua esse supra ea quæ scripta sunt, non hoc dicimus ea posse multis esse nota, sed Joanni, qui audiens, scribere etiam qualia essent ea tonitruum verba non permittitur[54]; cumque ea didicisset, ea non scribit, ut parcat mundo : rebatur enim ne ipsum quidem mundum capturum, qui scriberentur, libros[55]. Quin etiam, quæ Paulus didicit, sunt supra ea quæ scripta sunt, quandoquidem homines ea locuti sunt ; et quæ oculus non vidit[56], sunt supra ea quæ scripta sunt; et quæ auris non audivit[57], scribi non possunt. Quin et quæ in cor hominis non ascenderunt[58], fonte Jacob sunt majora, quippe quæ a fonte aquæ salientis ad vitam æternam manifestantur his qui cor hominis non amplius habent, sed dicere valent : « Nos autem mentem Christi habemus, ut videamus quæ a Deo donata sunt nobis ; quæ et loquimur non in doctis humanæ sapientiæ verbis, sed in doctrina Spiritus[59]. » Et inspice an fieri possit ut humana sapientia non loquatur falsa dogmata, sed quæ veritatem confirment, **217** et ad homines posteriores perveniant; quæ vero Spiritus edocet, sint fortasse fons aquæ salientis ad vitam æternam[60]. Introductiones ergo sunt Scripturæ, a quibus accurate intellectis, et nunc nominatis fons Jacob, ascendendum est ad Jesum, ut nobis largiatur fontem aquæ salientis ad vitam æternam. Cæterum non similiter omnis haurit e fonte Jacob; nam etiam si bibebat Jacob, et filii ejus, et pecora ejus[61], atque etiam Samaritis illa venit ad fontem ipsum, et haurit, vide ne aliter et prudenter biberit Jacob cum filiis, aliter et simplicius moreque magis pecuino biberint pecora ejus : rursus biberit etiam aliter quam Jacob et filii et pecora ejus, Samaritis illa. Qui enim docti sunt in Scripturis, bibunt sicut Jacob et filii ejus ; rudiores vero et simpliciores, qui dicuntur oves Christi, bibunt perinde atque oves Jacob ; tum aliqui laudantes Scripturas, et quædam constituentes male dicta, prætextu quod eas intellexerint, non secus bibunt atque bibebat Samaritis illa antequam crederet in Jesum.

7. « Dicit ad illum mulier : Domine, da mihi hanc aquam, ne sitiam, neque veniam huc ad hauriendum[62]. » Jam secundo prædicat Samaritis Dominum Servatorem, primum cum dicit : « Domine, neque haustorium habes, et puteus altus est[63] ; » quando etiam interrogat, unde habeat aquam vivam, et num major sit Jacob, qui putabatur esse pater ejus : et nunc etiam, quando petit aquam illam, quæ in bibente fit fons aquæ salientis ad vitam æternam,

A 6. Ἐὰν δὲ λέγωμεν τὰ ὑπὲρ ἃ γέγραπται εἶναί τινα, οὐ τοῦτό φαμεν, ὅτι γνωστὰ τοῖς πολλοῖς εἶναι δύναται, ἀλλὰ Ἰωάννῃ ἀκούοντι, καὶ γράφειν αὐτὰ μὴ ἐπιτρεπομένῳ, ὁποῖα ἦν τὰ τῶν βροντῶν ῥήματα, καὶ μανθάνοντι, καὶ διὰ τὸ φείδεσθαι τοῦ κόσμου οὐ γράφοντι αὐτά· ᾤετο γὰρ μηδὲ αὐτὸν τὸν κόσμον χωρεῖν τὰ γραφόμενα βιβλία. Ἀλλὰ καὶ ἅπερ ὁ Παῦλος μεμάθηκεν ἄῤῥητα ῥήματα, ὑπὲρ ἃ γέγραπται, εἴ γε τὰ γεγραμμένα ἄνθρωποι λελαλήκασι· καὶ ἃ ὀφθαλμὸς οὐκ εἶδεν, ἔστιν ὑπὲρ τὰ γεγραμμένα· καὶ ἃ οὖς οὐκ ἤκουσε, γραφῆναι οὐ δύναται· καὶ τὰ ἐπὶ καρδίαν δὲ ἀνθρώπου μὴ ἀνεβεβηκότα, μείζονά ἐστι τῆς τοῦ Ἰακὼβ πηγῆς, ἀπὸ πηγῆς ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον φανερούμενα τοῖς οὐκέτι καρδίαν ἀνθρώπου ἔχουσιν, ἀλλὰ δυναμένοις λέγειν· B « Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν· ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος. » Καὶ ἐπίστησον εἰ οἷόν τ' ἐστὶν ἀνθρωπίνην σοφίαν μὴ τὰ ψευδῆ καλεῖν δόγματα, ἀλλὰ τὰ στοιχειωτικὰ τῆς ἀληθείας, καὶ εἰς τοὺς ἔτι ἀνθρώπους φθάνοντας· τὰ δὲ διδακτὰ Πνεύματος τάχα ἐστὶν ἡ πηγὴ τοῦ ἀλλομένου ὕδατος εἰς ζωὴν αἰώνιον. Εἰσαγωγαὶ οὖν εἰσιν αἱ Γραφαὶ, ἀφ' ὧν ἀκριβῶς νενοημένων, νῦν ὀνομαζομένων πηγῆς τοῦ Ἰακὼβ, ἀνελθετέον πρὸς τὸν Ἰησοῦν, ἵν' οὖν ἡμῖν χαρίσηται πηγὴν τοῦ ἀλλομένου ὕδατος εἰς ζωὴν αἰώνιον. Οὐχ ὁμοίως δὲ πᾶς ἀντλεῖ ἀπὸ τῆς πηγῆς τοῦ Ἰακώβ· εἰ γὰρ ἔπιεν Ἰακὼβ ἐξ αὐτῆς, καὶ οἱ C υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ, διψῶσα δὲ καὶ ἡ Σαμαρεῖτις διέρχεται ἐπ' αὐτοῦ, καὶ ἀντλεῖ, μήποτε καὶ ἄλλως ἔπινε, καὶ ἐπιστημόνως ὁ Ἰακὼβ σὺν τοῖς υἱοῖς· ἄλλως δὲ καὶ ἁπλούστερον, καὶ κτηνωδέστερον, καὶ τὰ θρέμματα αὐτοῦ· ἄλλως δὲ παρὰ τὸν Ἰακὼβ, καὶ τοὺς υἱοὺς, καὶ τὰ θρέμματα αὐτοῦ ἡ Σαμαρεῖτις· οἱ μὲν γὰρ κατὰ τὰς Γραφὰς σοφοὶ πίνουσιν, ὡς ὁ Ἰακὼβ, καὶ οἱ υἱοὶ αὐτοῦ· οἱ δὲ ἁπλούστεροι, καὶ ἀκερέστεροι (4), οἱ λεγόμενοι πρόβατα Χριστοῦ, πίνουσιν ὡς τὰ θρέμματα τοῦ Ἰακώβ· οἱ δὲ παρεκδεχόμενοι τὰς Γραφὰς, καὶ δύσφημά τινα συνιστάντες, προφάσει τοῦ νενοηκέναι αὐτὰς, πίνουσιν ὡς ἡ πρὸ τοῦ πιστεῦσαι εἰς Ἰησοῦν Σαμαρεῖτις ἔπινε.

7. « Λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι D τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ διέρχωμαι ἐνθάδε ἀντλεῖν. » Ἤδη δεύτερον Κύριον ἀναγορεύει τὸν Σωτῆρα ἡ Σαμαρεῖτις· πρότερον μὲν ὅτε φησί· « Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· » ὅτε καὶ ἐπιποθεῖ (5) πόθεν ἔχει τὸ ζῶν ὕδωρ, καὶ εἰ μείζων εἴη τοῦ νομιζομένου πατρὸς αὐτῆς Ἰακώβ· νῦν δὲ ὅτε καὶ αἰτεῖν ἀπὸ τοῦ ὕδατος, τοῦ γινομένου πηγῆς ἐν τῷ πίνοντι ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώ-

[53] Eccli. III, 22. [54] Apoc. X, 3. [55] Joan. XXI, 25. [56] I Cor. II, 9. [57] ibid. [58] ibid. [59] ibid. 12, 13, 16. [60] Joan. IV, 14. [61] ibid. 12. [62] ibid. 15 [63] ibid. 11.

(4) Ἀκερέστεροι. Notent grammatici hanc vocem, quasi ab ἀκερής, nisi fortasse ille locus corruptus sit, et legendum sit fortasse, ἀκεραιότεροι, vel, ἀκραιφνέστεροι. HUETIUS.

(5) In margine codicis Bodleiani legitur ἔτι αἰτεῖ, quam lectionem secutus est Ferrarius.

νον· καὶ εἴπερ ἀληθὲς τό· « Σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν, » δῆλον, ὅτι, εἰποῦσα· « Δός μοι τοῦτο τὸ ὕδωρ, » ἔλαβε τὸ ζῶν ὕδωρ, ἵνα μηκέτι ἀπορῇ διψῶσα, μηδὲ διέρχηται ἐπὶ τὴν πηγὴν τοῦ Ἰακὼβ, διὰ τὸ ἀντλεῖν, ἀλλὰ χωρὶς τοῦ ὕδατος τοῦ Ἰακὼβ θεωρῆσαι τὴν ἀλήθειαν ἀγγελικῶς καὶ ὑπὲρ ἄνθρωπον δυνηθῇ (6). Οὐδὲ γὰρ οἱ ἄγγελοι δέονται τῆς τοῦ Ἰακὼβ πηγῆς, ἵνα πίωσιν, ἀλλ' ἕκαστος ἐν ἑαυτῷ ἔχει πηγὴν ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον γεγενημένην, καὶ ἀποκαλυφθεῖσαν ἀπὸ αὐτοῦ τοῦ Λόγου, καὶ αὐτῆς τῆς σοφίας. Οὐ δυνατὸν μέντοι γε τὸ ἕτερον παρὰ τὸ ἐκ τῆς πηγῆς τοῦ Ἰακὼβ ὕδωρ χωρῆσαι τὸ ὑπὸ τοῦ Λόγου διδόμενον, μὴ ἐπιμελέστατα ἀσχοληθέντα ἐκ τοῦ διψᾷν, περὶ τοῦ διέρχεσθαι (7) καὶ ἀντλεῖν ἐντεῦθεν, ὡς τὸν κατὰ τοῦτο πολλὰ ἔνδεινα (8) τοῖς πολλοῖς ὡς ἐπιπλεῖον ἐγγεγυμνασμένοις τῷ ἀντλεῖν ἀπὸ τῆς τοῦ Ἰακὼβ πηγῆς.

8. « Λέγει αὐτῇ· Ὕπαγε, φώνησόν σου τὸν ἄνδρα, καὶ ἐλθὲ ἐνθάδε. Ἀπεκρίθη ἡ γυνὴ, καὶ εἶπεν· Οὐκ ἔχω ἄνδρα. » Ἐλέγομεν καὶ ἐν τοῖς ἀνωτέρω τὸν ἄρχοντα τῆς ψυχῆς νόμον, ᾧ ἕκαστος ὑπέταξεν ἑαυτὸν, τοῦτον εἶναι τὸν ἄνδρα. Νῦν δὲ καὶ τοῦ Ἀποστόλου ἐκ τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς εἰς τοῦτο μαρτύριον παραθησόμεθα, λέγοντος (9)· « Ἢ ἀγνοεῖτε, ἀδελφοὶ, (γινώσκουσι γὰρ νόμον λαλῶ) ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ; » Τίς δὲ ζῇ; Ἀπὸ κοινοῦ λαμβανόντων ἡμῶν τὸν νόμον, ὁ νόμος. Εἶτ' εὐθέως φησίν· « Ἡ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· » ὡς εἰ ἔλεγε, Ζῶντι ἀνδρὶ, ὅστις ἀνὴρ νόμος ἐστίν. Εἶτα πάλιν φησίν· « Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός· » οἱονεὶ γυνὴ κατήργηται ἀποθανόντος τοῦ νόμου, καὶ οὐκέτι τὰ τῆς γυναικὸς ὡς πρὸς ἄνδρα ἐνεργεῖ· εἶτα λέγει· « Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ. » Ἀπέθανε δὲ ὁ νόμος κατὰ τὸ γράμμα, καὶ οὐκ ἔστιν ἡ ψυχὴ μοιχαλὶς γενομένη ἀνδρὶ ἑτέρῳ, τῷ νόμῳ, τῷ κατὰ τὸ πνεῦμα· ἀποθανόντος δὲ τοῦ ἀνδρὸς τῇ γυναικὶ, ἀποτεθνηκέναι πῶς ἂν λέγοιτο καὶ ἡ γυνὴ τῷ ἀνδρὶ, ὥστε οὕτως ἡμᾶς ἐκλαμβάνειν τό· « Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ Θεῷ. » Εἰ τοίνυν νόμος ἐστὶν ὁ ἀνὴρ, καὶ ἡ Σαμαρεῖτις ἔχει τινὰ ἄνδρα, ὑποτάξασα ἑαυτὴν κατὰ τὴν παρεκδοχὴν τῶν ὑγιαινόντων λόγων νόμῳ τινὶ, καθ' ὃν βιοῦν

A et si quidem verum est illud : « Tu forsitan petiisses ab eo, et dedisset tibi aquam vivam [64], » perspicuum est, eo quod dixerit : « Da mihi hanc aquam, » accepisse viventem aquam, ne in posterum egeret sitiens, neque veniret ad fontem Jacob hauriendi causa, sed posset sine aqua Jacob angelice videre veritatem supra hominem exsistentem : nam neque angeli egent fonte Jacob ut bibant, sed unusquisque ipsorum in seipso fontem habet aquæ salientis ad vitam æternam, orientem ac retectum ab ipso Sermone Dei Filio, atque sapientia ipsa. Neque enim facile factu est ut aquam quæ a Filio Dei datur, diversam exsistentem ab aqua fontis Jacob accipiat aliquis, qui se non diligentissime exercuerit veniendo, et inde hauriendo, eo quod B sitiat; **218** perinde atque ille qui petit hanc aquam frequenter inter multos magnos homines, ut qui diutius exerciti fuerint hauriendo e fonte Jacob.

8. « Dicit illi : Vade, voca virum tuum, et veni huc. Respondit mulier, et dixit : Non habeo virum [65]. » Diximus etiam in superioribus hunc virum esse legem, quæ princeps sit animæ, [nam habet unusquisque instituta quædam, ac mores, sub quibus tanquam sub lege vivit,] cui unusquisque seipsum subjecerit. Nunc vero etiam illud Apostoli ex Epistola ad Romanos ad hanc rem testimonium adducemus, dicentis : « An ignoratis, fratres (scientibus enim legem loquor), quod lex tantisper dominatur homini, quoad vixerit [66]? » Vixerit autem quis? Nempe lex, communiter intelligentibus C nobis legem. Postea statim ait : « Nam mulier obnoxia viro, viventi viro obligata est legi [67], » tanquam si diceret, viventi viro, qui vir est lex. Mox rursum inquit : « Quod si mortuus fuerit vir, liberata est a lege viri [68] : » veluti liberata est mulier a lege mortua, nec amplius opera mulieris erga virum exercet. Deinde inquit : « Proinde vivente viro, adultera vocabitur, si se junxerit alteri viro; sin autem mortuus fuerit vir, libera est a lege viri, ut non sit adultera, si juncta fuerit alteri viro [69]. » [(10) Lex autem secundum litteram mortua est, neque jam adulter est animus, si junctus fuerit alteri viro] nimirum ei legi, quæ est ex spiritu : mortuo autem viro mortua esse mulier aliquo modo D dicetur etiam viro, adeo ut nos hunc in modum exponamus illud : « Itaque, fratres mei, vos quoque mortificati estis legi per corpus Christi, ut jungeremini alteri, nimirum ei qui ex mortuis surrexit, ut fructificemus Deo [70]. » Si igitur lex est vir,

[64] Joan. IV, 10. [65] ibid. 16, 17. [66] Rom. VII, 1. [67] ibid. 2. [68] ibid. [69] ibid. 3. [70] ibid. 4.

(6) *Δυνηθῇ*. Sic codex Barberinus; Regius, δυνηθῆναι, male.

(7) *Περὶ τοῦ διέρχεσθαι*, etc. Codex Barberinus, παρὰ τὸ διέρχεσθαι, etc.

(8) *Ὡς τὸν κατὰ τοῦτο πολλὰ ἔνδεινα*, etc. Hæc nobis repræsentat codex Regius, quem fere sequitur Perionius, et ita vertit, « ita ut hoc ipso multa pericula eveniant plerisque qui plurimum, ut qui in haurienda aqua ex fonte Jacob, exercitati sint. » Pro ὡς τόν, legit ὥστε, et post, ἔνδεινα, supplet, συμβῆναι, vel legit, τοὺς πολλοὺς πεπονθέναι ὡς ἐπιπλεῖον ἐγγεγυμνασμένους, vel quid simile. At aliam penitus lectionem sequebatur Ferrarius, quam codex Bodleianus sic exhibet : ὡς αἰτῶν κατὰ τοῦτο πολλὰ ἐν δυνατοῖς πολλοῖς ὡς ἐπὶ πλεῖον ἐγγεγυμνασμένοις τῷ ἀντλεῖν ἀπὸ τῆς τοῦ Ἰακὼβ πηγῆς. Quæ quid sibi velint, divinare promptum non est.

(9) *Λέγοντος*. Sic cod. Bodleianus; Regius, λέγοντες.

(10) Hæc supplevimus a Perionio.

et Samaritis habet virum aliquem, quia seipsam A juxta perversam intelligentiam sanorum verborum subjecerit legi alicui, juxta quam vult vivere unusquisque ab Ecclesiæ decretis dissidens; et si vult etiam hoc in loco divinus sermo animam manifestari Ecclesiæ decretis dissentientem, quæ sibi ipsi præfecerit legem principem, ut spreto viro, ceu non legitimo, quærat alterum, nuptura alteri viro, nimirum Sermoni Filio Dei, qui resuscitatus est ex mortuis, non mutandus, neque moriturus, sed sempiternus, manens et regnans, omnesque inimicos subjiciens: « Christus enim excitatus a mortuis non amplius moritur, mors illi ultra non dominabitur: quod enim mortuus est, peccato mortuus est semel; quod vero vivit, vivit
219 Deo [71], » in dextera ejus sedens, donec omnes B inimici ejus positi fuerint subsellium pedum ipsi [72]. Si hæc, inquam, ita se habent, ubinam debebat Jesus manifestare eum, qui putabatur esse Samaritidis, virum non esse illius, nisi apud fontem Jacob, si a seipsa mulier non negasset virum? Hanc ob causam dicit illi Jesus: « Vade, voca virum tuum, et veni huc [73]. » Jam vero veluti nonnihil habens aquæ salientis ad vitam æternam, eo quod dixisset: « Da mihi hanc aquam [74], » nec fallere quiret qui prædixerat [75]: « Tu forsitan petiisses ab e... disset tibi aquam vivam; respondit mulier, » condemnans seipsam, quod cum hujusmodi v... suetudinem habuisset, « et dixit: Non habeo virum [76]. »

ἕκαστος τῶν ἑτεροδόξων θέλει· καὶ βούλεται τὴν ἑτερόδοξον ψυχὴν ὁ θεῖος λόγος παρατεθε... ἄρχοντα ἑαυτῆς νόμον διελεγχθῆναι (12), εἰ ...ταφρονήσασαν αὐτὴν, ὡς οὐ νομίμου ἀνδρὸ... σαι ἄνδρα ἕτερον, εἰς τὸ γενέσθαι αὐτὴν ἑτέ... νεκρῶν ἀναστησομένῳ Λόγῳ, μὴ ἀνατρεπομέ... τεθνηξομένῳ, ἀλλ' ἀϊδίῳ (13), μενοῦντι, κ... λεύοντι, πάντας τε τοὺς ἐχθροὺς ὑποτ... « Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν οὐκέ... θνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει· ὃ... θανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ· ὃ δὲ... τῷ Θεῷ, » ἐν δεξιᾷ ὢν αὐτοῦ, ἕως ἂν πάντες αὐτοῦ ὑποπόδιον τεθῶσιν αὐτῷ. Ποῦ δὲ ἔδει... ναι τὸν νομιζόμενον ἄνδρα τῆς Σαμαρείτιδο... ἄνδρα, ἢ παρὰ τῇ πηγῇ τοῦ Ἰακὼβ ὑπὸ τοῦ... εἰ μὴ ἀφ' ἑαυτῆς ἡ γυνὴ ἤρνητο τὸν ἄνδρα; το λέγει αὐτῇ ὁ Ἰησοῦς· « Ὕπαγε, φώνησό... ἄνδρα, καὶ ἐλθὲ ἐνθάδε. » Οἷον δὲ ἔχουσά τι... ἀλλομένου εἰς ζωὴν αἰώνιον ὕδατος, διὰ τὸ ε... « Δός μοι τοῦτο τὸ ὕδωρ, » καὶ ἀψευδεῖν τὸν... γειλάμενον, ὅτι, « Σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ... ὕδωρ ζῶν· ἀπεκρίθη ἡ γυνὴ, » καταγνοῦσα... ἐπὶ τῇ κοινωνίᾳ τῇ πρὸς τὸν τοιοῦτον ἄνδρα, ...πεν· Οὐκ ἔχω ἄνδρα. »

9. « Dicit illi Jesus: Bene dixisti, non habeo C virum: nam quinque viros habuisti; et nunc quem habes, non est tuus vir: hoc vere dixisti [77]. » Arbitror quod omnis anima quæ introducitur ad eam, quæ est per Scripturas, pietatem in Christo, incipiens ab his rebus quæ sensibus sunt obnoxiæ et quæ corporeæ vocantur, habeat priores quinque viros unoquoque sensu virum aliquem faciente: postea vero quam habita consuetudine cum his quæ sensu percipiuntur, emergere quis volens, et conversus ad ea quæ animo cernuntur, impegerit in sermonem spiritualem non sanum, prætextu allegoriæ, hic post quinque viros ad sextum pergit, dato, ut ita dicam, repudii libello quinque primis, et decernens cum sexto habitare. [(11) Atque donec Jesus adventu suo nos in ejusmodi viri conspe- D ctum consensumque duxerit, cum illo consuetudinem habemus et vivimus]; verum cum advenerit Sermo Domini, disserueritque nobiscum, negantes illum virum, dicimus: « Non habeo virum, » quando etiam laudat nos Dominus, dicens: « Bene dixisti, non habeo virum. » Illud vero: « Hoc vere dixisti, » veluti objurgatorium est, perinde quasi mulier in superioribus non vera dixerit. Ac fortasse verum illud non erat: « Non coutuntur Judæi Sa-

9. « Λέγει αὐτῇ ὁ Ἰησοῦς· Καλῶς εἶπας... δρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας ἔσχες· κα... ἔχεις, οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἰ... Οἶμαι (14) πᾶσαν τὴν εἰσαγομένην ψυχὴν ε... τῶν Γραφῶν ἐν Χριστῷ θεοσέβειαν, ἀπὸ τῶ... τῶν καὶ σωματικῶν λεγομένων ἀρχομένην, ...τε ἄνδρας καθ' ἑκάστην τῶν αἰσθήσεων ἀνδ... γινομένου ἔχειν· ἐπὰν δὲ μετὰ τὸ ὡμιληκ... αἰσθητοῖς, ἀνακύψαι τις θέλων, καὶ προτρα... τὰ νοητὰ, περιτύχῃ λόγῳ προφάσει ἀλληγο... πνευματικῶν οὐχ ὑγιαίνοντι, οὗτος μετὰ τε... ἄνδρας ἑτέρῳ προσέρχεται, δοὺς, ἵν' οὕτως ἀποστάσιον τοῖς προτέροις πέντε, καὶ κρίν... κεῖν τῷ ἕκτῳ. Καὶ ἕως ἄν γε (15) ἐλθὼν ὁ Ἰ... συναίσθησιν ἡμᾶς ἀγάγῃ τοῦ τοιούτου ἀνδρὸ... σύνεσμεν· ἐλθόντος δὲ τοῦ Κυρίου Λόγου, ...λεχθέντος ἡμῖν, ἀρνούμενοι ἐκεῖνον τὸν ἄνδρα « Οὐκ ἔχω ἄνδρα· » ὅτε καὶ ἐπαινεῖ ἡμᾶς λέγων· « Καλῶς εἶπας, ὅτι Οὐκ ἔχω ἄνδρα. « Τοῦτο ἀληθὲς εἴρηκας, » οἱονεὶ ἐλεγκτικὸν τῶν προτέρων οὐκ ἀληθῶς ὑπ' αὐτῆς εἰρημέ... τάχα οὐκ ἦν ἀληθὲς τό· « Οὐ συγχρῶνται Σαμαρείταις· » αὐτὸς γοῦν ὁ Ἰησοῦς, ὡς ἐν τούτων εἰρήκαμεν, συγχρῆται Σαμαρείταις αὐτοὺς ὠφελήσῃ. Οὐκ ἀληθὲς δὲ καὶ τό· « Οἱ...

[71] Rom. vi, 9, 10. [72] Hebr. x, 12, 13. [73] Joan. iv, 16. [74] ibid. 15. [75] ibid. 10. [76] ibid. 17. [77] 18.

(11) Hæc a Personii interpretatione deprompta sunt.

(12) *Διελεγχθῆναι*. Sic codex Bodleianus; Regius, διαλεχθῆναι, male.

(13) Perperam in codice Regio legitur, ἀλλὰ ἰδίῳ μὲν ὄντι.

(14) *Οἶμαι*. Sic codex Bodleianus; Reg... peram, εἶναι.

(15) *Ἕως ἄν γε*. Sic codex Bodleianus ὥς γε.

καὶ τὸ φρέαρ ἐστὶ βαθύ· » τάχα δὲ οὐκ ἀλη-
εὐ· Ἰακὼβ ἐκ τοῦ φρέατος ἔπιε, καὶ οἱ υἱοὶ
καὶ τὰ θρέμματα αὐτοῦ· εἰ γὰρ οὐχ ὁμοίως
Σαμαρείτιδι ὁ Ἰακὼβ, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ
ματα αὐτοῦ, οἴεται δὲ ἡ Σαμαρεῖτις τὸ ὅμοιον,
ὸν πάντη ποτὸν πεπωκέναι τῷ Ἰακὼβ, καὶ
αὐτοῦ, καὶ τοῖς θρέμμασιν αὐτοῦ, δῆλον, ὅτι

omnino potum atque eumdem bibisse cum
eam dixisse.

ωμεν δὲ καὶ τὰ Ἡρακλέωνος εἰς τοὺς τό-
τις φησὶν ἄτονον, καὶ πρόσκαιρον, καὶ ἐπιλεί-
ἐκείνην γεγονέναι τὴν ζωὴν, καὶ τὴν κατ'
ξαν· κοσμικὴ γὰρ, φησὶν, ἦν· καὶ οἴεται τοῦ
αὐτὴν εἶναι ἀπόδειξιν φέρειν ἐκ τοῦ θρέμ-
Ἰακὼβ ἐξ αὐτῆς πεπωκέναι· καὶ εἰ μὲν
καὶ πρόσκαιρον, καὶ ἐπιλείπουσαν ἐλάμβανε
μέρους γνῶσιν, ἤτοι τῇ ἀπὸ τῶν Γραφῶν
τῶν ἀῤῥήτων ῥημάτων, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ
πᾶσαν τὴν νῦν δι' ἐσόπτρου καὶ αἰνίγματος
ν γνῶσιν, καταργουμένην, ὅταν ἔλθῃ τὸ τέ-
κ ἂν αὐτὸ ἐνεκαλέσαμεν· εἰ δὲ ὑπὲρ τοῦ δια-
ὰ παλαιὰ τοῦτο ποιεῖ, ἐγκλητέος ἂν εἴη. Ὃ
ιν ὕδωρ ὁ Σωτὴρ, φησὶν εἶναι ἐκ τοῦ Πνεύ-
ὶ τῆς δυνάμεως αὐτοῦ, οὐ ψευδόμενος· καὶ
Οὐ μὴ διψήσει δὲ εἰς τὸν αἰῶνα, » ἀποδέδω-
ς λέξεσιν οὕτως· « Αἰώνιος γὰρ ἡ ζωὴ αὐ-
μηδέποτε φθειρομένη, ὡς καὶ ἡ πρώτη ἡ ἐκ
τος, ἀλλὰ μένουσα· ἀναφαίρετος γὰρ ἡ χάρις
ρεὰ τοῦ Σωτῆρος ἡμῶν, καὶ μὴ ἀναλισκομέ-
φθειρομένη ἐν τῷ μετέχοντι (16) αὐτῆς. »
νην δὲ τὴν πρώτην διδοὺς εἶναι ζωὴν, εἰ
κατὰ τὸ γράμμα ἔλεγε, ζητῶν τῇ περιαιρέ-
καλύμματος γινομένην, ἢ κατὰ τὸ Πνεῦμα,
σκων, ὑγιῶς ἂν ἔλεγεν· εἰ δὲ πάντη φθορὰν
ὶ τῶν παλαιῶν, δῆλον, ὅτι τοῦτο ποιεῖ, ὡς
τὰ ἀγαθὰ τῶν μελλόντων ἔχειν ἐκεῖνα (17)
ν. Οὐκ ἀπιθάνως δὲ τὸ, *ἀλλομένου*, διηγή-
ὶ τοὺς μεταλαμβάνοντας τοῦ ἄνωθεν ἐπιχορ-
ου πλουσίως, καὶ αὐτοὺς ἐκβλύσαι εἰς τὴν
αἰώνιον ζωὴν τὰ ἐπικεχορηγημένα αὐτοῖς.
ὶ ἐπαινεῖ τὴν Σαμαρεῖτιν ὡς ἀνενδειξαμένην
ριτον καὶ κατάλληλον τῇ φύσει ἑαυτῆς πί-
διακριθεῖσαν ἐφ' οἷς ἔλεγεν αὐτῇ· εἰ μὲν οὖν
ρεσιν ἀπεδέχετο, μηδὲν περὶ φύσεως αἰνιτ-
ὡς διαφερούσης, καὶ ἡμεῖς ἂν συγκατεθέ-
δὲ τῇ φυσικῇ κατασκευῇ ἀναφέρει τὴν τῆς
έσεως αἰτίαν, ὡς οὐ πᾶσι ταύτης παρούσης,
έον αὐτοῦ τὸν λόγον. Οὐκ οἶδα δὲ πῶς ὁ
ον τὸ μὴ γεγραμμένον ἐκλαβὼν φησι πρὸς
μοι τοῦτο τὸ ὕδωρ, » ὡς ἄρα βραχέα δια-
ὑπὸ τοῦ Λόγου ἐμίσησε λοιπὸν καὶ τὸν τόπον
οῦ λεγομένου Ἰακὼβ φρέατος (18). Ἔτι δὲ
τό· « Δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ,

A maritanis [78], » ipso Jesu, ut in superioribus diximus, commercium habente cum Samaritanis, ut illis esset adjumento. Ac ne illud quidem verum est: « Neque haustorium habes, et puteus altus est [79]: » fortassis etiam neque illud, quod Jacob ex puteo biberit, et filii ejus, et pecora ejus [80]; nam si Jacob, et filii ejus, et pecora ejus, non similiter biberunt, ut mulier Samaritis, existimatque illa sibi Jacob, et filiis ejus, et pecoribus ejus, perspicuum

220 10. Sed jam videamus quid Heracleon hoc in loco sentiat: inquit autem [fontem illum,] imbecillem, et temporariam, et deficientem fuisse vitam, illiusque gloriam; mundana enim, inquit, erat, B et existimat se demonstrationem afferre [per fontem] significari vitam mundanam, eo quod pecora Jacob ex eo biberint; et siquidem imbecillem, et temporariam, et deficientem accepisset cognitionem eam quæ est ex parte [81], nempe cognitionem e Scripturis provenientem, comparatione verborum indicibilium et quæ ad hominem eloqui non est fas [82], omnem scilicet præsentem cognitionem, quæ per speculum est et per ænigma [83], et quæ destruitur, cum venerit illud quod perfectum est [84], haudquaquam illud reprehendissemus; sin vero isthuc agit ut reprehendat vetera, reprehendendus est ipse. Porro quod ait aquam quam dat Servator, ex Spiritu esse et ex ipsius potentia, vera narrat: quin hæc verba: « Non sitiet in æternum [85], » iisdem pene verbis interpretatus est, sic dicens: « Vita C enim æterna est vita ipsius, et quæ nunquam corrumpitur, sicut prima illa aqua quæ est ex puteo, sed manens: nequit enim auferri donum, et gratia Servatoris nostri, quæ neque consumitur neque corrumpitur in eo qui particeps ipsius fuerit. » Porro autem cum primam vitam corruptibilem dederit, siquidem eam corruptibilem vitam dixit quæ est secundum litteram, quærens et inveniens ablatione velaminis vitam eam quæ est ex Spiritu, recte dixit: sin vero corruptibilem dicens, accusat vitam veterum, perspicuum est eum hoc facere, tanquam qui non videat bona illa umbram habere futurorum illorum [86]. Cæterum non inscite interpretatus est vocem *salientis* [87] aquæ, dicens eos qui e su- D pernis illam abundanter suppeditatam participarent, vicissim etiam ea scaturire quæ sibi suppeditata fuerint. Sed et Samaritidem laudat, ut quæ suæ ipsius naturæ fidem ostenderit æqualem et constantem; non motam ob ea quæ illi dicebat Servator; cui etiam nos annuimus, si propositum laudat, nihil de natura veluti excellenti innuens; sin vero ad naturale opificium refert, quod Servatori obtemperarit Samaritis, quasi hoc non omnibus insit, subvertenda est illius oratio. Nescio vero quomodo

…n. iv, 9. [79] ibid. 11. [80] ibid. 12. [81] I Cor. xiii, 12. [82] II Cor. xii, 4. [83] I Cor. xiii, 12.
…0. [85] Joan. iv, 13. [86] Hebr. x, 1. [87] Joan. iv, 14.

…*ετέχοντι*. Sic codex Bodleianus; Regius,
…τι.
…odex Bodleianus, ἔχειν ἐκείνων; Regius, ἔχει ἐκεῖνα.

(18) Pro Ἰακὼβ φρέατος codex Regius perperam habet ζῶντος ὕδατος.

Heracleon, quod scriptum etiam non est assumens, dixerit in hoc dictum: « Da mihi hanc aquam, » brevi a Sermone Dei Filio stimulatam mulierem odio habuisse etiam locum illius putei, qui dicebatur Jacob. Præterea in illud: « Da mihi aquam hanc, ut non sitiam, neque veniam huc ad hauriendum [88], » inquit **221** mulierem hæc dicere ostendentem labore hauriri, et cum difficultate parari aquam illam ad irrigandum non aptam neque nutrientem. Unde enim potest ostendere aquam Jacob irrigationi aptam non esse nec nutrientem?

μηδὲ διέρχωμαι ἐνθάδε ἀντλεῖν, » φησὶν ὅτι ταῦτα λέγει ἡ γυνὴ ἐμφαίνουσα τὸ ἐπίμοχθον, καὶ δυσπόριστον, καὶ ἄτροφον ἐκείνου τοῦ ὕδατος. Πόθεν γὰρ δεικνύναι ἔχει ἄτροφον εἶναι τὸ τοῦ Ἰακὼβ ὕδωρ;

11. Adhuc in hæc duo verba: « Dicit illi [89], » inquit Heracleon, scilicet tale quid dicens: « Si vis accipere hanc aquam, vade, voca virum tuum; » et existimat virum, quem Samaritidis esse Servator dicit, pleroma Samaritidis esse, ut profecta cum illo ad Servatorem, reportare ab ipso potentiam, et unionem, et commistionem ad pleroma suum posset: « cum Christus non dixerit, » inquit Heracleon, « mulieri de homine mundano, ut vocaret, quoniam non ignorabat eam legitimum virum non habere. » Cæterum manifeste hoc in loco urgetur dicens, quod mulieri Servator dixerit: « Voca virum tuum, et veni huc [90], » significans maritum, quem ex pleromate habebat: nam si hoc sic se habebat, oportuerat virum dicendo, modum etiam, quo vocandus erat, dicere, ut cum ipso ad Servatorem pergeret. « Sed quoniam, ut Heracleon inquit, juxta intelligentiam spiritualem ignorabat virum suum, secundum vero simplicem intelligentiam erubescebat dicere quod mœchum haberet, non virum, » quomodo non frustra imperabit, dicens: « Vade, voca virum tuum, et veni huc? » Deinde ad illud: « Vere dixisti, quoniam virum non habeo [91], » inquit: « Quoniam in mundo virum non habebat Samaritis, viro suo exsistente in Æone. » Atque nos quidem legimus: « Quinque enim viros habuisti [92]; » apud Heracleonem vero invenimus: « Sex viros habuisti; » interpretaturque per viros sex universam malitiam materialem declarari, cui complicata fuerat cuique approximarat præter rationem fornicans, contumeliis affecta, et separata, et derelicta ab ipsis. Sed ipsi Heracleoni dicendum est, si fornicata est spiritualis, peccasse spiritualem; si vero peccavit spiritualis, arborem bonam non fuisse spiritualem; juxta enim Evangelium: « Non potest arbor bona malos fructus ferre [93], » proinde aperte illis perire quæ finxerunt. Quod si fieri nequit ut arbor bona malos ferat fructus, et arbor bona est Samaritis, quia sit spiritualis, consequens illi est dicere, quod aut fornicatio ejus non sit peccatum, aut quod hæc non est fornicata.

11. Ἔτι δὲ ὁ Ἡρακλέων πρὸς τά· « Λέγει αὐτῇ, » φησὶ, δῆλον ὅτι τοιοῦτό τι λέγων· « Εἰ θέλεις λαβεῖν τοῦτο τὸ ὕδωρ, ὕπαγε, φώνησον τὸν ἄνδρα σου· » καὶ οἴεται τῆς Σαμαρείτιδος τὸν λεγόμενον ὑπὸ τοῦ Σωτῆρος ἄνδρα, τὸ πλήρωμα εἶναι αὐτῆς, ἵνα σὺν ἐκείνῳ γενομένη πρὸς τὸν Σωτῆρα κομίσεσθαι παρ' αὐτοῦ τὴν δύναμιν, καὶ τὴν ἕνωσιν, καὶ τὴν ἀνάκρασιν τὴν πρὸς τὸ πλήρωμα αὐτῆς δυνηθῇ· « οὐ γὰρ περὶ ἀνδρὸς, » φησὶ, « κοσμικοῦ, ἔλεγεν αὐτῇ (19), ἵνα καλέσῃ, ἐπείπερ οὐκ ἠγνόει, ὅτι οὐκ εἶχε νόμιμον ἄνδρα. » Προδήλως δὲ ἐνταῦθα βιάζεται λέγων αὐτῇ τὸν Σωτῆρα εἰρηκέναι· « Φώνησόν σου τὸν ἄνδρα, καὶ ἐλθὲ ἐνθάδε, » δηλοῦντα τὸν ἀπὸ τοῦ πληρώματος σύζυγον· εἴπερ γὰρ τοῦθ' οὕτως εἶχεν, ἐχρῆν τὸν ἄνδρα καὶ τίνα τρόπον φωνητέον ἔσται αὐτὸν (20), ἵνα σὺν αὐτῷ γένηται πρὸς τὸν Σωτῆρα. « Ἀλλ' ἐπεὶ, ὡς Ἡρακλέων φησὶ, κατὰ τὸ νοούμενον ἠγνόει τὸν ἴδιον ἄνδρα, κατὰ δὲ τὸ ἁπλοῦν ᾐσχύνετο εἰπεῖν, ὅτι μοιχὸν, οὐχὶ δὲ ἄνδρα εἶχε· » πῶς οὐχὶ μάτην ἔσται προστάσσων ὁ λέγων· « Ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε; » Εἶτα πρὸς τοῦτο· « Ἀληθὲς εἴρηκας, ὅτι ἄνδρα οὐκ ἔχεις, » φησίν· « Ἐπεὶ ἐν τῷ κόσμῳ οὐκ εἶχεν ἄνδρα ἡ Σαμαρεῖτις· ἦν γὰρ αὐτῆς ὁ ἀνὴρ ἐν τῷ Αἰῶνι. » Ἡμεῖς μὲν οὖν ἀνέγνωμεν· « Πέντε ἄνδρας ἔσχες· » παρὰ δὲ τῷ Ἡρακλέωνι εὕρομεν· « Ἓξ ἄνδρας ἔσχες· » καὶ ἑρμηνεύει γε τὴν ὑλικὴν πᾶσαν κακίαν δηλοῦσθαι διὰ τῶν ἓξ ἀνδρῶν, ᾗ συνεπέπλεκτο καὶ ἐπλησίαζε, παρὰ λόγον πορνεύουσα, καὶ ἐνυβριζομένη, καὶ ἀθετουμένη, καὶ ἐγκαταλειπομένη ὑπ' αὐτῶν. Λεκτέον δὲ πρὸς αὐτὸν, ὅτι, εἴπερ ἐπόρνευεν ἡ πνευματικὴ, ἡμάρτανεν ἡ πνευματική· εἰ δὲ ἡμάρτανε πνευματικὴ, δένδρον ἀγαθὸν οὐκ ἦν ἡ πνευματική· κατὰ γὰρ τὸ Εὐαγγέλιον, « Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ἐνεγκεῖν· » καὶ δῆλον ὅτι οἴχεται αὐτοῖς τὰ τῆς μυθοποιίας. Εἰ δὲ ἀδύνατόν ἐστι τὸ ἀγαθὸν δένδρον φέρειν πονηροὺς καρποὺς, καὶ ἀγαθὸν δένδρον ἡ Σαμαρεῖτις, ἅτε πνευματικὴ τυγχάνουσα, ἀκόλουθον αὐτῷ λέγειν ἐστὶν, ὅτι ἤτοι οὐκ ἦν ἁμαρτία ἡ πορνεία αὐτῆς, ἢ οὐκ αὐτὴ ἐπόρνευσε.

222 12. « Dicit ad eum mulier: Domine, video te esse prophetam. Patres nostri in monte hoc adoraverunt, et vos dicitis Jerosolymæ locum esse ubi oporteat adorare [94]. » Tertio jam Samaritis Servatorem nostrum Dominum prædicat, quando etiam scriptum est ultimo hoc eam illi dixisse; attamen

12. « Λέγει αὐτῷ ἡ γυνή· Κύριε, θεωρῶ, ὅτι προφήτης εἶ σύ. Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε, ἐν Ἱεροσολύμοις ἐστὶν (21) ὁ τόπος, ὅπου προσκυνεῖν δεῖ. » Τρίτον ἤδη ἡ Σαμαρεῖτις Κύριον ἀναγορεύει τὸν Σωτῆρα ἡμῶν, ὅτε καὶ τελευταῖον ἀναγέγραπται τοῦτο πρὸς

[88] Joan. IV, 15. [89] ibid. 16. [90] ibid. [91] ibid. 17. [92] ibid. 18. [93] Matth. VII, 18. [94] Joan. IV, 19, 20.

(19) *Ἔλεγεν αὐτῇ*. Deest in codice Bodleiano.
(20) Post αὐτόν addendum videtur εἰπεῖν.
(21) *Ἐστίν*. Sic codex Bodleianus; Regius, ἔσται.

αὐτὸν εἰρηκέναι· πλὴν οὐδέπω οἴεται αὐτὸν εἶναι τῶν προφητῶν κρείττονα, οὐδὲ τὸν προφητευθέντα, ἀλλά τινα προφήτην· καὶ ἡ ἑτερόδοξος δὲ γνώμη τῶν περὶ τὰς Γραφὰς καλινδουμένων διελεγχθέντων αὐτῆς (22) τῶν τε προτέρων πέντε ἀνδρῶν, καὶ τοῦ μετ' ἐκείνους καταλειφθέντας (23) ὑπ' αὐτῆς δόξαντος εἶναι ἀνδρὸς, τὸν ἐλέγξαντα Λόγον οὐ δυναμένη ἀρχῆθεν ὃ ἐστιν ἰδεῖν, προφήτην εἶναί φησιν, οἱονεὶ θεῖόν τινα, καὶ ἔχοντά τι τοῦ ἀνθρωπίνου κρεῖττον, οὐ μὲν τοσοῦτον ὅσον (24) ἦν· διόπερ φησὶ, οἱονεὶ ἀναβλέψασά πως καὶ ἐν θεωρίᾳ νομίσασα γεγονέναι· « Θεωρῶ, ὅτι προφήτης εἶ σύ. » Εἰς τοῦτο, « Οἱ πατέρες ἡμῶν, » καὶ τὰ ἑξῆς, ἰστέον τὴν Σαμαρειτῶν πρὸς Ἰουδαίους διάστασιν περὶ τοῦ νομιζομένου αὐτοῖς ἁγίου τόπου· οἱ μὲν γὰρ Σαμαρεῖς, τὸ καλούμενον Γαριζεὶν ὄρος ἅγιον νομίζοντες, ἐν αὐτῷ προσκυνοῦσι τῷ Θεῷ, οὗ μέμνηται Μωσῆς ἐν τῷ Δευτερονομίῳ οὕτως λέγων· « Καὶ ἐνετείλατο Μωσῆς τῷ λαῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· Οὗτοι στήσονται εὐλογεῖν τὸν λαὸν ἐν ὄρει Γαριζεὶν, διαβάντες τὸν Ἰορδάνην Συμεὼν, Λευὶ, Ἰούδας, Ἰσάχαρ, Ἰωσὴφ, καὶ Βενιαμείν· καὶ οὗτοι στήσονται ἐπὶ τῆς κατάρας ἐν ὄρει Γαιβὰλ, Ῥουβὴν, Γὰδ, καὶ Ἀσὴρ, Ζαβουλὼν, Δὰν, καὶ Νεφθαλείμ· » οἱ δὲ Ἰουδαῖοι, τὸ Σιὼν θεῖόν τι νενομικότες, καὶ οἰκεῖον τοῦ Θεοῦ ἐκεῖνον οἴονται εἶναι τὸν ἐκλελεγμένον ὑπὸ τοῦ Πατρὸς τῶν ὅλων τόπον· καὶ διὰ τοῦτο ἐν αὐτῷ ᾠκοδομῆσθαι τὸν ναὸν ὑπὸ τοῦ Σολομῶντος λέγουσι, καὶ πᾶσαν τὴν Λευϊτικὴν καὶ ἱερατικὴν λατρείαν ἐκεῖ ἐπιτελεῖσθαι. Ἀκολούθως δὲ ταύταις ἑκάτερον ἔθνος ταῖς ὑπολήψεσι νενόμικε τοὺς πατέρας ἐν τῷδε ὄρει προσκεκυνηκέναι τῷ Θεῷ.

13. Καὶ εἴ ποτε δὲ μέχρι τοῦ δεῦρο συγκατέβαινον ἀλλήλοις εἰς λόγον Σαμαρεῖς καὶ Ἰουδαῖοι, ἑκάτερος πρὸς τὸν λοιπὸν ἐπαπορήσει, καὶ ἐρεῖ γε ὁ Σαμαρεὺς τῷ Ἰουδαίῳ τὸν τῆς ἐνθάδε ἀναγεγραμμένον γυναικὸς λόγον· « Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, » δεικνὺς τὸ Γαριζείν· « ὑμεῖς δὲ λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου προσκυνεῖν δεῖ. » Ἀλλ' ἐπεὶ Ἰουδαῖοι μὲν, ἀπ' αὐτῶν γὰρ ἡ σωτηρία, εἰκόνες εἰσὶ τῶν τοὺς ὑγιαίνοντας φρονούντων λόγους, Σαμαρεῖς δὲ τῶν ἑτεροδόξων· ἀκολούθως τὸ μὲν Γαριζεὶν θεοποιοῦσιν οἱ Σαμαρεῖς, ὅπερ ἑρμηνεύεται *διατομὴ* (25) ἢ *διαίρεσις*· καὶ τῆς κατὰ τὴν ἱστορίαν διατομῆς (26), καὶ διαιρέσεως τῶν δέκα φυλῶν διατετμημένων ἀπὸ τῶν λοιπῶν δύο γεγενημένης κατὰ τοὺς τοῦ Ἱεροβοὰμ χρόνους, ὃς καὶ αὐτὸς ἑρμηνεύεται, *δικασμὸς λαοῦ* (27)· Ἰουδαῖοι δὲ τὸ Σιὼν, ὅπερ ἐστὶ, *σκοπευτήριον* (28). Εἰκὸς δέ τινα ἐπαπορήσειν διατί αἱ

A nondum credit eam esse prophetis præstantiorem, neque quem prophetæ prædixerint, sed prophetam aliquem. Sententia etiam ab Ecclesiæ decretis dissentiens eorum qui versantur in Scripturis, quinque illis viris in apertum sibi productis, cumque illis eo quem ipsa post illos occuparat, quique existimabatur vir esse, Λόγον et Sermonem Filium Dei, qui illos manifestarat, non valens a principio cernere, prophetam esse inquit, ceu divinum quempiam, eumque habentem homine quid majus, haud tamen tantum quantum erat: quam ob causam inquit, veluti quæ sustulisset aliquo modo oculos, et se existimaret in visione fuisse: « Video te esse prophetam. » Sane quod ad illud attinet, « Patres nostri, » et quæ sequuntur, agnoscenda est Sama- B ritanorum cum Judæis differentia, de loco quem illi rebantur sanctum: nam Samaritani montem sanctum existimantes eum qui vocatur Garizim, Deum ibi adorant; cujus meminit Moses in Deuteronomio, sic dicens [95]: « Et præcepit Moses populo in die illa, dicens: Hi stabunt ad benedicendum populum in monte Garizim, cum transierint Jordanem, Symeon, Levi, Judas, Issachar, Joseph, et Benjamin; et hi stabunt in exsecratione in monte Gebal, Ruben, Gad, Aser, Zabulon, Dan et Nephthalim; » Judæi autem, Sion montem divinum esse rati, proprium etiam Dei illum rentur esse locum, electum a Patre universorum; et hanc ob causam dicunt, in ipso ædificatum fuisse templum a Salo- C mone, omnemque Leviticum sacerdotalemque cultum illic perfici; quas suspiciones utraque gens sequens, existimavit patres in hoc vel illo monte adorasse Deum.

13. Quod si usque in hodiernum diem contenderent aliquando Judæi cum Samaritanis, addubitabit uterque ad alterum, dicetque sane Samaritanus Judæo præsentem mulieris scriptum sermonem: « Patres nostri in monte hoc adoraverunt [96], » ostendens Garizim; « vos autem dicitis Jerosolymæ locum esse, ubi oporteat adorare. » Sed quoniam Judæi (ab **223** ipsis enim salus [97]) gerunt imaginem eorum qui sanæ sunt opinionis, Samaritæ autem eorum qui ab Ecclesiæ decretis dissident, beatificant consequenter Samaritæ Garizim, qui mons interpre- D tatur *discissio* vel *divisio*; cum etiam separatio et divisio juxta historiam decem tribuum, quæ divisæ fuerunt a reliquis duabus, facta fuerit temporibus Jeroboam [98], qui et ipse interpretatur *judicium populi*: Judæi autem Sion, quem si interpreteris, sonat *specula*. Sed probabile est dubitaturum aliquem quare benedictiones fiant in monte Garizim apud

[95] Deut. xxvii, 11, 13. [96] Joan. iv, 20. [97] ibid. 21. [98] III Reg. xii, 20; II Paral. x, 19.

(22) *Διελεγχθέντων αὐτῆς*. Sic habent codd. Bodleianus et Barberinus: Regius, διελεγχθὲν αὐτῆς. Huetius legendum censebat διελεγχθεῖσα αὐτή.

(23) *Καταλειφθέντας*. Lege καταληφθέντος.

(24) Codex Bodleianus, τόσον ὅσον.

(25) *Ὅπερ ἑρμηνεύεται διατομή*. Hieronymus *De nom. Hebr.*, « Garisim, *divisio*, sive *advena*. » A גרז, « succidere, scindere. »

(26) Codex Bodleianus, διανομίας.

(27) *Δικασμὸς λαοῦ*. Hieronymus *De nom. Hebr.*, « Jeroboam, dijudicans populum, vel, dijudicans super nos. » Pro δικασμὸς λαοῦ, codex Bodleianus in margine habet, διχασμὸς λαοῦ.

(28) *Σκοπευτήριον*. Hieronymus, *De nom. Hebr.*, « Sion *specula*, vel, *speculator*. » ציון. « monumentum, titulus, specula. »

Mosen: ad quod dicendum est: quoniam vox Garizim *discissionem* et *divisionem* significat, discissionis quidem significatum sumendum esse, cum scinditur populus a Jeroboam, habitatque Samariam rex; divisionis vero vocem sumendam esse in bonam partem, quia apposite sapientes utantur divisione in unaquaque propositione disputabili, necessaria exsistente divisione ad cognitionem veritatis. Quocirca quia nondum venit hora illa dicta a Domino [99], quando neque in monte hoc, neque Jerosolymæ adorabunt Patrem, fugiendus est mons Samaritanorum, et interim in Sion, ubi est Jerosolyma, Deus adorandus; quæ Jerosolyma *civitas Regis magni* dicitur a Christo [1]. Sed quænam alia civitas erit Regis magni, et vera Jerosolyma, nisi Ecclesia ex vivis lapidibus ædificata, ubi est sacerdotium sanctum, ubi spirituales offeruntur hostiæ Deo a spiritualibus [2], et ab his qui spiritualem intellexerint legem? Cum enimvero aderit plenitudo illa temporis, ad hæc cum quis nequaquam in carne, sed in spiritu fuerit, nec amplius in figura, sed totus in veritate, et taliter instructus ut seipsum similem reddat eorum adoratorum quos Deus quærit, tunc non censendum est veram adorationem perfectumque Dei cultum Jerosolymis perfectum iri.

14. Bis autem scriptum est: « Venit hora [3]; » sed primum cum non addiderit evangelista, « et nunc est, » secundo inquit, « sed venit hora, et nunc est [4]. » Ac, mea quidem sententia, prima lectio declarat futuram adorationem extra corpora propter perfectionem, altera profectum eorum qui perficiuntur in hac vita, quoad licet humanæ naturæ. **224** Quamobrem licet adorare Patrem, et spiritu, et veritate, quando non solum « venit hora, » verum etiam « venit hora et nunc est, » et quando Jerosolymis esse existimamur propter eos qui eousque tantum ascenderunt. Quando ergo scriptum est: « Venit hora, et nunc est, » non amplius dicitur: « Neque in monte hoc, neque Jerosolymis adorabitis Patrem, » ut dictum est [(29) cum illud, « venit hora, » sine hoc toto « et nunc est, » scripsit.] Attamen falsa opinatur Samaritis hæc dicens, non aliter quam cum putabat fontem Jacob dici puteum. Illic etenim inquit: « Nam tu major es patre nostro Jacob, qui dedit nobis hunc puteum, et ipse ex eo bibit, et filii ejus, et pecora ejus [5]? » hic autem: « Patres nostri in monte hoc adoraverunt [6]. »

15. Cæterum in his verbis inquit Heracleon honeste Samaritidem fassam fuisse quæ sibi Jesus dixisset: « Solius enim prophetæ, inquit Heracleon,

A παρὰ Μωσεῖ εὐλογίαι ἐπὶ τοῦ Γαριζεὶν γίνονται. Λεκτέον δὲ καὶ πρὸς τοῦτο, ὅτι, ἐπείπερ σημαίνει ἡ Γαριζεὶν φωνὴ τὴν *διατομὴν*, καὶ τὴν *διαίρεσιν*, τὸ μὲν τῆς διατομῆς σημαινόμενον ληπτέον ὅτε σχίζεται ὁ λαὸς ὑπὸ τοῦ Ἱεροβοὰμ, καὶ οἰκεῖ τὴν Σαμάρειαν ὁ βασιλεύς· τὸ δὲ τῆς διαιρέσεως ἐπὶ τῆς εὐλογίας, τῶν σοφῶν τῇ διαιρέσει τεταγμένως χρωμένων ἐφ' ἑκάστου τῶν προβλημάτων ἥτις ἐστὶν ἀναγκαία πρὸς τὴν τῆς ἀληθείας κατανόησιν. Ὅσον μὲν οὖν οὐδέπω ἐλήλυθεν ἡ ὑπὸ τοῦ Κυρίου εἰρημένη ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσι τῷ Πατρὶ, φευκτέον τε τῶν Σαμαρειτῶν ὄρος, καὶ ἐν Σιὼν, ὅπου ἐστὶ τὰ Ἱεροσόλυμα, προσκυνητέον τῷ Θεῷ, ἅπερ Ἱεροσόλυμα *πόλις* εἶναι λέγεται ὑπὸ τοῦ Χριστοῦ *τοῦ μεγάλου* B *βασιλέως*. Τίς δ' ἂν εἴη ἡ πόλις τοῦ μεγάλου βασιλέως, τὰ ἀληθινὰ Ἱεροσόλυμα, ἢ ἡ Ἐκκλησία ἐκ λίθων ᾠκοδομημένη ζώντων; ἐνθάδε ἱεράτευμα ἅγιον, πνευματικαὶ θυσίαι προσφέρονται τῷ Θεῷ ὑπὸ τῶν πνευματικῶν καὶ τὸν πνευματικὸν νενοηκότων νόμον. Ἐπὰν δὲ ἐνστῇ τὸ πλήρωμα τοῦ χρόνου, τότε οὐχ ἡγητέον τὴν ἀληθινὴν προσκύνησιν καὶ τελείαν θεοσέβειαν τελεῖσθαι ἐν Ἱεροσολύμοις· ἔτι ὅταν τις γένηται μηδαμῶς ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, καὶ μηδαμῶς ἔτι ἐν τύπῳ, ἀλλὰ πᾶς ἐν ἀληθείᾳ, τοιοῦτος κατεσκευασμένος, ὥστε ἐξομοιοῦσθαι αὐτὸν οἷς ζητεῖ προσκυνηταῖς ὁ Θεός.

14. Δὶς δὲ τό· « Ἔρχεται ὥρα, » γέγραπται· καὶ κατὰ μὲν τὸ πρῶτον, οὐ πρόσκειται, « καὶ νῦν ἐστι· » C κατὰ δὲ τὸ δεύτερον, φησὶν ὁ εὐαγγελιστής· « Ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστι. » Καὶ οἶμαί γε τὸ μὲν πρότερον δηλοῦν τὴν ἔξω σωμάτων προσκύνησιν ἐνστησομένην κατὰ τὴν τελειότητα· τὸ δὲ δεύτερον τὴν τῶν ἐν βίῳ τούτῳ ὡς ἐνδέχεται κατὰ ἀνθρωπίνην φύσιν προκοπὴν (30) τελειουμένων. Ἔξεστι οὖν καὶ ἐν τῷ πνεύματι καὶ ἀληθείᾳ προσκυνεῖν τῷ Πατρὶ, ὅτε οὐ μόνον « ἔρχεται ὥρα, » ἀλλὰ καὶ « νῦν ἐστι, » καὶ ἐν τοῖς Ἱεροσολύμοις διὰ τοὺς ἐπὶ τοσοῦτον μόνον φθάνοντας τυγχάνειν νομιζόμεθα. Ὅ γοῦν γέγραπται· « Ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, οὐκέτι λέγεται τό· « Οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρὶ, » ὥσπερ εἴρηται ὅπου τὸ, « Ἔρχεται ὥρα, » χωρὶς τοῦ, « Νῦν ἐστιν, » ἀναγέγραπται. Ἔτι μέντοιγε ὁμοίαν D ψευδοδοξίαν τῇ ἐπὶ τοῦ νομιζομένου φρέατος εἰρημένου ἔχει ἡ Σαμαρεῖτις ταῦτα λέγουσα· Ἐκεῖ τε γάρ· « Μὴ σὺ, φησὶ, μείζων εἶ τοῦ Πατρὸς ἡμῶν Ἰακὼβ, ὃς δέδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ; » ἐνθάδε δὲ τό· « Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν. »

15. Ὁ δὲ Ἡρακλέων εἰς τὰ αὐτὰ ῥήματα λέγει εὐσχημόνως ὡμολογηκέναι τὴν Σαμαρεῖτιν τὰ ὑπ' αὐτοῦ πρὸς αὐτὴν εἰρημένα· « Προφήτου γὰρ μό-

[99] Joan. IV, 23. [1] Matth. V, 35. [2] I Petr. II, 5. [3] Joan. IV, 21. [4] ibid. 23. [5] ibid. 12. [6] ibid. 20.

(29) Supplevimus hæc ex Perionio.
(30) *Προκοπήν*. Sic codex Bodleianus; Regius, προσκόπτειν.

νου, φησὶν, ἐστὶν εἰδέναι τὰ πάντα, » ψευδόμενος ἑκατέρως· καὶ γὰρ οἱ ἄγγελοι τὰ τοιαῦτα δύνανται εἰδέναι, καὶ ὁ προφήτης οὐ πάντα οἶδεν· « Ἐκ μέρους γὰρ γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν, » κἂν προφητεύομεν, ἢ γινώσκομεν (31). Μετὰ δὲ ταῦτα ἐπαινεῖ ὡς πρεπόντως τῇ αὐτῆς φύσει ποιήσασαν τὴν Σαμαρεῖτιν, καὶ μήτε ψευσαμένην μήτε ἄντικρυς ὁμολογήσασαν τὴν ἑαυτῆς ἀσχημοσύνην, πεπεισμένην τέ φησιν αὐτὴν, ὅτι προφήτης εἴη, ἐρωτᾷν αὐτὸν, ἅμα τὴν αἰτίαν ἐμφαίνουσαν δι' ἣν ἐξεπόρνευσεν, ὅτι δι' ἄγνοιαν (31*) Θεοῦ, καὶ τῆς κατὰ τὸν Θεὸν λατρείας ἀμελήσασαν, καὶ πάντων τῶν κατὰ τὸν βίον αὐτῇ ἀναγκαίων, καὶ ἄλλως ἀεὶ τὴν ἐν τῷ βίῳ τυγχάνουσαν· οὐ γὰρ ἂν, φησὶν, αὐτὴ ἤρχετο ἐπὶ τὸ φρέαρ ἔξω τῆς πόλεως τυγχάνον. Οὐκ οἶδα δὲ πῶς ἐνόμισεν ἐμφαίνεσθαι τὴν αἰτίαν τοῦ ἐκπεπορνευκέναι, ἢ ἄγνοιαν αἰτίαν γεγονέναι ἐπὶ τῶν πλημμελημάτων, καὶ τῆς κατὰ Θεὸν λατρείας· ἀλλ' ἔοικε ταῦτα ὡς ἔτυχεν ἐσχεδιακέναι, χωρὶς πάσης πιθανότητος· προστίθησι περὶ τούτοις, ὅτι, βουλομένη μαθεῖν πῶς καὶ τίνι εὐαρεστήσασα, καὶ Θεῷ προσκυνήσασα ἀπαλλαγείη τοῦ πορνεύειν, λέγει τό· « Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, » καὶ τὰ ἑξῆς. Σφόδρα δέ ἐστιν εὐέλεγκτα τὰ εἰρημένα· πόθεν γὰρ (32) ὅτι βούλεται μαθεῖν τίνι εὐαρεστήσασα ἀπαλλαγείη τοῦ πορνεύειν;

16. « Λέγει αὐτῇ ὁ Ἰησοῦς· Πίστευέ μοι, γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε (33) ἐν ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. » Ὅτε ἔδοξε πιθανώτατα τετηρηκέναι ὁ Ἡρακλέων ἐν τούτοις τὸ ἐπὶ μὲν τῶν προτέρων μὴ εἰρῆσθαι αὐτῇ· « Πίστευέ μοι, γύναι, » νῦν δὲ τοῦτο αὐτῇ προστετάχθαι, τότε ἐπεθόλωσε τὸ μὴ ἀπίθανον παρατήρημα, εἰπὼν ὄρος μὲν (34) τὸν διάβολον λέγεσθαι, ἢ τὸν κόσμον αὐτοῦ, « ἐπείπερ μέρος ἓν (35) ὁ διάβολος ὅλης τῆς ὕλης, φησὶν, ἦν, ὁ δὲ κόσμος τὸ σύμπαν τῆς κακίας ὄρος, ἔρημον οἰκητήριον θηρίων, ᾧ (36) προσεκύνουν πάντες οἱ πρὸ νόμου καὶ οἱ ἐθνικοί. » Ἱεροσόλυμα δὲ τὴν κτίσιν ἢ τὸν Κτίστην, ᾧ προσεκύνουν οἱ Ἰουδαῖοι. Ἀλλὰ καὶ δευτέρως ὄρος μὲν ἐνόμισεν εἶναι τὴν κτίσιν, ᾗ (37) οἱ ἐθνικοὶ προσεκύνουν· Ἱεροσόλυμα δὲ τὸν Κτίστην, ᾧ (38) οἱ Ἰουδαῖοι ἐλάτρευον. « Ὑμεῖς οὖν, φησὶν, οἱονεὶ οἱ πνευματικοὶ, οὔτε τῇ κτίσει, οὐδὲ τῷ Δημιουργῷ προσκυνήσετε, ἀλλὰ τῷ Πατρὶ τῆς ἀληθείας· καὶ συμπαραλαμβάνει γε, φησὶν, αὐτὴν, ὡς ἤδη πιστὴν, καὶ συναριθμουμένην τοῖς κατὰ ἀλήθειαν προσκυνηταῖς. » Ἀλλ' ἡμεῖς τὴν μὲν ἐν φαντασίᾳ γνωστικῶν λόγων καὶ νομιζομένων ὑψηλῶν ὀνομαζομένην θεοσέβειαν παρὰ τοῖς ἑτεροδόξοις ὑπολαμβάνομεν (39) δηλοῦσθαι διὰ τοῦ· « Οὔτε ἐν τῷ ὄρει τούτῳ· » τὸν δὲ κανόνα κατὰ τοὺς πολλοὺς τῆς Ἐκκλησίας, ὃν καὶ αὐτὸν ὁ τέλειος καὶ

[7] I Cor. XIII, 9. [8] Joan. IV, 20. [8*] ibid. 21.

(31) *Ἢ γινώσκομεν*. Sic codex Bodleianus; Regius, καὶ γινώσκομεν.

(31*) Codex Regius, perperam, διάνοιαν.

(32) Supple aut subaudi δῆλον, ut fecisse videtur interpres. EDIT. PATROL.

(33) In codice Regio deest οὔτε.

(34) *Εἰπὼν ὄρος μὲν*, etc. Vide supra ad *Comment. in Matth.* XVII, tom. XIII, p. 579. Mox, *ἢ τὸν κόσμον*. Diabolum quippe δεσμοκράτορα et constituunt Valentiniani et appellant. Irenæus l. I, cap. 2; Epiphan. hæres. XXXI, cap. 19. HUETIUS.

(35) Codex Regius, ἦν pro ἕν.

(36) Codex Regius, perperam, ὡς pro ᾧ.

(37) In eodem codice Regio deest ᾗ.

(38) In codice Regio desideratur ᾧ.

(39) Idem codex Regius, ὑπολαμβανόμενον.

A est omnia cernere, » utrobique mentiens, cum etiam angeli hujusmodi cernere queant, et propheta non videat omnia: « Ex parte enim cognoscimus, et ex parte prophetamus [7], » etiamsi prophetemus vel agnoscamus. Deinde Samaritidem laudat, tanquam quæ decenter naturæ suæ fecerit, quæ neque mentita sit, neque continuo fassa fuerit turpitudinem suam, persuasamque Jesum prophetam esse, ipsam inquit interrogare eum, ostendentem simul etiam causam per quam fornicata fuerit, nimirum quod propter ignorantiam Dei et divini cultus, ut quæ neglexerit etiam omnia sibi ad præsentem vitam necessaria, quam alioquin ignorantiam hac in vita semper habuisset: neque enim, inquit, venisset hæc ad puteum, qui erat extra urbem. Sed nescio quo-

B modo existimaverit ostendi causam fornicandi, vel ignorantiam divini cultus causam fuisse delictorum; sed hoc videtur extemporaliter dixisse absque ulla verisimilitudine: hisque addit eam volentem discere quomodo Deum adorans, et illi grata, liberaretur a fornicatione, illud dixisse: « Patres nostri in monte hoc adoraverunt [8], » et ea quæ sequuntur. Sed facile admodum redarguuntur hæc dicta; unde enim liquet eam discere velle quo pacto Deo grata liberaretur a fornicatione?

225 16. « Dicit illi Jesus: Crede mihi, mulier, venit hora quando neque in monte hoc, neque Jerosolymis adorabitis Patrem [8*]. » Quando visus est

C Heracleon aptissime in hæc præcedentibus observasse non dictum fuisse illi: « Crede mihi, mulier, » nunc autem hoc illi adjunctum fuisse, tunc non inscitam observationem obscuravit, dicens per montem intelligi diabolum vel mundum ejus: « quandoquidem pars una est, inquit, diabolus totius materiæ; mundus vero universus malitiæ mons desertus, et habitatio ferarum, quem adorabant omnes ante legem, et gentiles. » Per Jerosolymam vero intelligi dicit creationem, vel Creatorem, quem adorabant Judæi. Quin rursum existimavit montem esse creationem, quam gentiles adorarent; Jerosolymam autem Creatorem, quem Judæi colerent. « Vos ergo, inquit, veluti spirituales, neque creationem, neque mundi Opificem adorabitis, sed Patrem

D veritatis: ac illam sane adjuvat, inquit, tanquam jam fidelem, et quæ annumeretur adorantibus eum in veritate. » At vero nos per hoc dictum, « neque in monte hoc, » declarari existimamus illud, quod Dei cultum appellant hi qui ab Ecclesiæ decretis dissident, exsistens in imaginatione sermonum qui sunt cognoscibiles et qui existimantur alti; per illud vero, « neque Jerosolymis adorabitis Patrem, »

regulam Ecclesiæ juxta multos declarari existimamus : quam etiam ipsam sanctus et perfectus transcendet, acutius, et apertius, et divinius adorans Patrem. Ut enim, quod et Judæi fatebuntur, angeli Jerosolymis non adorant Patrem, eo quod longe melius Patrem adorent quam Jerosolymis, etiam sic qui affectu id habent, ut pares sint angelis, neque Jerosolymis Patrem adorabunt, sed longe melius his qui sunt Jerosolymis, etiamsi propter eos qui Jerosolymis habitant, consuetudinem habent cum Judæis Jerosolymæ degentibus, facti Judæi, ut Judæos lucrifaciant [9]. Sed Jerosolyma mihi consideretur, ut antea ostendimus, atque etiam similiter Judæi. Quando vero neque in monte hoc, neque Jerosolymis quis adorat, quia venerit jam hora, is filius factus, Patrem cum fiducia adorat; quam ob causam non dictum est, Neque Jerosolymis adorabitis Deum, sed, « Neque Jerosolymis adorabitis Patrem. »

226 17. « Vos adoratis quod nescitis; nos adoramus quod scimus, quoniam salus ex Judæis est [10]. » Per voculam *vos*, quod ad expositionem attinet, intelliguntur Samaritani; quantum vero ad anagogen, illi qui in Scripturis diversa a nobis sentiunt : sic per voculam *nos*, quantum ad propositum, intelliguntur Judæi; quantum ad allegoriam, ego ipse Dei Sermo, ipse Dei Filius, et qui in me transformantur salutem habentes a scriptis Judaicis; nam manifestatum nunc mysterium manifestum est per Scripturas propheticas [11], et per adventum Domini nostri Jesu Christi. Vide vero an non improprie et præter consequentiam verborum Heracleon disseruerit, exponens illud *vos*, pro eo quod est, Vos Judæi et gentiles. Quale autem est, ut ad Samaritidem dicatur, Vos Judæi; vel ad Samaritidem, Vos gentiles? Sed profecto nesciunt, qui ab Ecclesiæ decretis dissident, quod adorant, figmentum esse, non veritatem; fabulam, non mysteria; at vero qui Creatorem adorat, præsertim juxta Judæum occultum [12], et juxta sermones Judaicos spirituales, novit quod adorat. Sed longum foret nunc ipsius Heracleonis dicta in medium apponere, quæ ab eo libro sumpsit qui *Prædicatio Petri* inscriptus est; insistereque etiam ad ea, disquirentes sit

A ἅγιος ὑπεραναβήσεται θεωρητικώτερον καὶ σαφέστερον προσκυνῶν τῷ Πατρὶ, διὰ τοῦ· « Οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. » Ὥσπερ γὰρ, καθὼς ὁμολογήσαιεν ἂν καὶ οἱ Ἰουδαῖοι, οἱ ἄγγελοι οὐκ ἐν Ἱεροσολύμοις προσκυνοῦσι τῷ Πατρὶ, τῷ κρειττόνως παρὰ τὸ ἐν Ἱεροσολύμοις προσκυνεῖν τῷ Πατρὶ, οὕτως οἱ ἤδη τῇ διαθέσει τὸ ἰσάγγελοι εἶναι ἐσχηκότες, οὐδὲ ἐν Ἱεροσολύμοις προσκυνήσουσι τῷ Πατρὶ, ἀλλὰ βέλτιον ἢ οἱ ἐν Ἱεροσολύμοις, κἂν διὰ τοὺς ἐν Ἱεροσολύμοις συμπεριφέρονται τοῖς ἐν Ἱεροσολύμοις τοῖς Ἰουδαίοις γινόμενοι Ἰουδαῖοι, ἵνα Ἰουδαίους κερδήσωσιν. Ἱεροσόλυμα δέ μοι νοείσθω (40), καθὼς προαποδεδώκαμεν, ὁμοίως δὲ καὶ οἱ Ἰουδαῖοι. Ὅτε μέντοιγε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις τις προσκυνεῖ, ἐλθούσης τῆς
B ὥρας προσκυνεῖ μετὰ παῤῥησίας υἱὸς γεγενημένος τὸν Πατέρα· διόπερ οὐκ εἴρηται· Οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε (41) τῷ Θεῷ· ἀλλά· « Οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. »

17. « Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί. » Τὸ (42) « Ὑμεῖς, » ὅσον ἐπὶ τῇ λέξει, οἱ Σαμαρεῖς· ὅσον δὲ ἐπὶ τῇ ἀναγωγῇ, οἱ περὶ τὰς Γραφὰς ἑτερόδοξοι· τὸ δὲ « Ἡμεῖς, » ὅσον ἐπὶ τῷ ῥητῷ (43), οἱ Ἰουδαῖοι· ὅσον δὲ ἐπὶ τῇ ἀλληγορίᾳ, ἐγὼ ὁ Λόγος, καὶ οἱ κατ' ἐμὲ μεμορφωμένοι, τὴν σωτηρίαν ἔχοντες ἀπὸ τῶν Ἰουδαϊκῶν λόγων· τὸ γὰρ φανερωθὲν νῦν μυστήριον πεφανέρωται διά τε Γραφῶν προφητικῶν, καὶ τῆς ἐπιφανείας τοῦ Κυρίου (44)
C ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὅρα δὲ εἰ μὴ ἰδίως καὶ παρ- τὴν ἀκολουθίαν τῶν ῥητῶν ὁ Ἡρακλέων ἐκδεξάμενος τὸ, *ὑμεῖς*, ἀντὶ τοῦ, Ἰουδαῖοι, ἐθνικοὶ, διηγήσατο· οἷον δέ ἐστι πρὸς τὴν Σαμαρεῖτιν λέγεσθαι, Ὑμεῖς οἱ Ἰουδαῖοι, ἢ πρὸς Σαμαρεῖτιν, Ὑμεῖς οἱ ἐθνικοί; Ἀλλ' οὐκ οἴδασί γε οἱ ἑτερόδοξοι ὃ προσκυνοῦσι, ὅ- πλάσμα ἐστὶ, καὶ οὐκ ἀλήθεια, καὶ μῦθος, οὐ μυστήρια (45)· ὁ δὲ προσκυνῶν τὸν Δημιουργὸν, μάλισ- κατὰ τὸν ἐν κρυπτῷ Ἰουδαῖον καὶ τοὺς λόγους το- πνευματικοὺς Ἰουδαϊκοὺς, οὗτος ὃ οἶδε προσκυ- Πολὺ δέ ἐστι (46) νῦν παρατίθεσθαι τοῦ Ἡρακλέ-νος τὰ ῥητὰ, ἀπὸ τοῦ ἐπιγεγραμμένου *Πέτρου Κηρύγματος* (47) παραλαμβανόμενα, καὶ ἵστασθαι πρ- αὐτὰ (48) ἐξετάζοντας καὶ περὶ τοῦ βιβλίου, πότερ- ποτε γνήσιόν ἐστιν (49), ἢ νόθον, ἢ μικτόν· διό-

[9] I Cor. IX, 20. [10] Joann. IV, 22. [11] Rom. XVI, 26. [12] Rom. II, 29.

(40) Codex Regius, νοῆσθαι, male.
(41) Item codex Regius, προσκυνῆσαι, male.
(42) Codex Regius τοῦ, male.
(43) Codex Bodleianus, ὄρει pro ῥητῷ.
(44) Codex Regius, Χριστοῦ, male.
(45) Idem codex Regius, καὶ μυστήρια.
(46) Codex Bodleianus, Πολὺ δὲ κάλλιόν ἐστι, etc. Sed codicis Regii lectionem anteponimus; sequitur enim διόπερ ἑκόντες ὑπερτιθέμεθα, etc.
(47) *Ἀπὸ τοῦ ἐπιγεγραμμένου Πέτρου Κηρύγματος*. De apocrypho hoc libro vide Lactantium lib. IV, cap. 20, et Hieronymum *De script. eccles.*, et *Ἐκλογὰς ἐκ τῶν προφητικῶν*, Clementis Alexandrini editioni subjectas; et Eusebium lib. III *Histor.*, cap. 3. HUETIUS.
(48) Codex Regius, πρὸς αὐτό.
(49) *Πότερόν ποτε γνήσιόν ἐστιν*, etc. Duplex librorum qui pro sacris proponerentur, ordo fuit;
D τῶν γνησίων, cujusmodi erant quos in Canone- suum Hebræi retulerant, quique erant intra arcam; et τῶν ἀποκρύφων. Rursus τῶν ἀποκρύφων duplex ordo fuit, τῶν ἀντιλεγομένων, seu μικτῶν, qui admitterentur ab aliquibus, ab aliis repudiarentur, et dubiæ essent auctoritatis; cujusmodi erant Machabæorum libri, Sapienta Sirach, et Salomonis, aliique, quos quamvis in Catalogum suum non contulissent Judæi, plurimi tamen recipiebant : alter ordo erat τῶν νόθων, quippe ab omnibus plane pro confictis et supposititiis habebantur. Priorem divisionem confirmant Hieronymus in Prologo Galeato, et Athanasius, seu quisquis auctor Indiculi librorum Scripturæ : hi enim quidquid præter γνησίους est, inter ἀποκρύφους recensent. At triplicem illum ordinem, τῶν γνησίων, τῶν ἀντιλεγομένων, et τῶν μικτῶν sequitur Eusebius *Hist*. lib. III, cap. 25 et 31. HUETIUS.

ἑκόντες ὑπερτιθέμεθα, ταῦτα μόνον ἐπισημειούμενοι φέρειν αὐτὸν, ὡς Πέτρου διδάξαντος, μὴ δεῖν καθ' Ἕλληνας (50) προσκυνεῖν, τὰ τῆς ὕλης πράγματα ἀποδεχομένους, καὶ λατρεύοντας ξύλοις, καὶ λίθοις· μήτε κατὰ Ἰουδαίους σέβειν τὸ Θεῖον· ἐπείπερ καὶ αὐτοὶ, μόνοι οἰόμενοι ἐπίστασθαι Θεὸν, ἀγνοοῦσιν αὐτὸν, λατρεύοντες ἀγγέλοις, καὶ μηνὶ, καὶ σελήνῃ (51).

